This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

6000941310

ΜΗΡΟΥ

ΙΛΙΑΣ

ΣΥΝ ΤΟΙΣ

ΟΛΙΟΙΣ ΨΕΥΔΕΠΙΓΡΑΦΟΙΣ

ΔΙΔΥΜΟΥ.

BIBLIOTHECA BODLEIANA

ΤΟΜ. II.

OXONII,
E TYPOGRAPHEO CLARENDONIANO.
MDCCXI.

2 : 154.

ΟΜΗΡΟΥ

ΙΛΙΑΣ

ΣΥΝ ΤΟΙΣ

ΣΧΟΛΙΟΙΣ ΨΕΥΔΕΠΙΓΡΑΦΟΙΣ

ΔΙΔΥΜΟΥ.

ΤΟΜ. II.

ΟΧΟΝΙΙ,
E TYPOGRAPHEO CLARENDONIANO.
MDCCCXI.

2 G 2. e 154.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΙΛΙΑΔΟΣ Ν.

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

ΠΟΣΕΙΔΩΝ, νικωμένους ἰλιῶν τοὺς Ἕλληνας, ὁμοιοῦται Κάλχαντι, καὶ ἀμφοτέρους τοὺς Αἴαντας παρορμᾷ, ἔπειτα δὲ καὶ τὰς ἄλλας. Μετὰ ταῦτα Ἰδομενεὺς ἀριστεύει, καὶ ἀναιρεῖ Ὀθρυονέα, καί τινας ἄλλους. Πολλοὶ δὲ καὶ αὐτῶν ἀναιροῦν). Τιτρώσκονται δὲ Δηΐφοβος, καὶ Ἕλενος. Τοὺς δὲ ὑπηκόους συναγαγὼν Ἕκτωρ, ἐπάγει τοῖς πολεμίοις· καὶ μεγάλως ἀμφοτέρωθεν ἀναιροῦνται.

ΚΑΙ ΑΛΛΗ.

ΔΙΑΡΡΗΞΑΣ τὰς πύλας τοῦ τείχους τῶν Ἑλλήνων Ἕκτωρ, μετὰ βάρους τε εἰσελθὼν, εἰς φυγὴν αὐτοὺς τρέπει. Καὶ Ζεὺς μὲν ἀποστρέψας τὰς ὄψεις ἐπὶ τὰ πέρατα τῆς γῆς, ἀλλοφύλους θεωρεῖ ἀνθρώπους. Ποσειδῶν δὲ, καθεζόμενος ἐπὶ Σαμοθρᾴκης, θεασάμενος ἡττημένους τοὺς Ἕλληνας, παραγίγνεται εἰς Αἰγάς· ἔνθα ἦν αὐτῷ τέμενος. Λαβὼν δὲ συνήθη κόσμον, καὶ ὑπαζεύξας ἵππους, παραγίγνεται εἰς τὸ πεδίον. Καὶ τὸ μὲν ἅρμα καθιστᾷ ἐν τῷ πελάγει· αὐτὸς δὲ, ὁμοιωθεὶς Κάλχαντι, παρορμᾷ τοὺς ἀρίστους τῶν Ἑλλήνων. Οἱ καὶ τρόπον τινὰ ἐμπνευσθέντες παρὰ τοῦ θεοῦ, γενναίως ἀγωνίζονται. Ἐν οἷς καὶ Ἰδομενεὺς καὶ Μηριόνης εὐδοκιμοῦσι. Συμβολῆς δὲ γενομένης, ἑκατέρων τῶν στρατευμάτων ἐξαίσιος βοὴ κίνεται.

Ἡ ἐπὶ ταῖς ναυσὶ μάχη.

Νῦ δ', ἐπὶ νηυσὶ μάχῃ Δαναοῖς ἤμυνε Ποσειδῶν.
Νῦ δὲ, Ποσειδάων Δαναοῖς κράτος ὤπασε λάθρῃ.

ΖΕΥΣ δ', ἐπεὶ ὃν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσε,
Τὸς μὲν ἔα παρὰ τῆσι πόνον τ' ἐχέμεν καὶ ὀϊζύν
Νωλεμέως· αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινὼ,
Νόσφιν ἐφ' ἱπποπόλων Θρηκῶν καθορώμενος αἶαν,
Μυσῶν τ' ἀγχεμάχων, καὶ ἀγαυῶν Ἱππημολγῶν, 5
Γλακτοφάγων, ἀβίων τε, δικαιοτάτων ἀνθρώπων.
Ἐς Τροίην δ' οὐ πάμπαν ἔτι τρέπεν ὄσσε φαεινώ·
Οὐ γὰρ ὅγ' ἀθανάτων τιν' ἐέλπετο ὃν κατὰ θυμὸν
Ἐλθόντ', ἢ Τρώεσσιν ἀρηγέμεν, ἢ Δαναοῖσιν.

1. ΕΚ. Κεχώρικε τῶν λοιπῶν Τρώων τὸν Ἕκτορα, κατ' ἐξοχήν. Μετὰ τὴν Ἰλίου πόρθησιν, Ἕκτωρ ὁ Πριάμου, καὶ μελλὰ θάνατον, τὴν ἀπὸ θεῶν εὐτύχησε τιμήν. Οἱ γὰρ ἐν Βοιωτίᾳ Θηβαῖοι, πιεζόμενοι κακοῖς, ἐμαντεύοντο περὶ ἀπαλλαγῆς. Χρησμὸς δὲ αὐτοῖς ἐδόθη, παύσεσθαι τὰ δεινὰ, ἐὰν ἐξ Ἀφνείου τοῦ Τρωάδος τὰ Ἕκτορος ὀστᾶ διακομιδῶσιν εἰς τὸν παρ' αὐτοῖς καλούμενον τόπον, Διὸς γονάς. Οἱ δὲ τοῦτο ποιήσαντες, καὶ τῶν κακῶν ἀπαλλαγέντες, διὰ τιμῆς ἔχον Ἕκτορα. Κατά τε τοὺς ἐπιγίγνοντας καιροὺς ἐπικαλοῦνται τὴν ἐπιφάνειαν αὐτοῦ. Ἡ ἱστορία παρ' Ἀριστοδήμῳ. ΠΕ. Προσεπέλασεν, ἐγγίσας ἐποίησε.

2. ΠΟ. Τὴν κατὰ τὸν πόλεμον ταλαιπωρίαν.

3. ΝΩ. Ἀδιαλείπτως. ΠΑ. Τὴν ἀπὸ τοῦ εὐθέως μεταστροφὴν δηλοῖ· ὡς καὶ τό· Ὅσσε πάλιν κλίνασα. Οἱ δὲ ἀνὰ μέρος ὕτως ἀκούουσι, Μυσίαν καὶ Θρᾴκην ὁρῶν. Ἔστι δὲ καὶ τοῦτο σύνηθες Ὁμήρῳ. Ὡς· Πάλιν ποίησε γέροντα. Καὶ· εἰς τὐπίσω, Πάλιν ὀρύσασ'. Καὶ· ἐναντίον, Οὐδὲ πάλιν ἐρέει. ΟΣ. Ὀφθαλμοὺς παρεχομένους τὸ φῶς· ἢ φιλπνές.

4. ΙΠ. Περὶ ἵππους πολέντων· ἐξ ὗ, πολεμικῶν. ΑΙ. Γῆν.

5. ΑΓΧ. Τῶν συγάδην καὶ ἐκ τοῦ πλησίον μαχομένων. ΑΓ. Λαμπρῶν, καὶ ἐνδόξων Ἱππημολγῶν· ἢ ὄνομα ἔθνους ὕτω καλουμένων, Ἀγαυῶν. ΙΠ. Ἵππους ἀμελγόντων· γαλακτοφάγοι γάρ εἰσιν· ὅθεν καὶ γαλακτοφάγους αὐτοὺς εἶπεν· ἢ, οἱ ἀρκούμενοι γάλακτι καὶ λιτῇ διαίτῃ. Τοιοῦτοι καλῶς εἴρηνται δικαιότατοι· ἐπιθυμία γὰρ πλειόνων, ἐπ' ἀδικίαν ἄγει. Τοῦτο συνιδὼν καὶ Λυκοῦργος, κοινὴν καὶ οὐ περιτὴν Λακεδαιμονίοις δίαιταν εἰσήνεγκεν.

6. ΑΒΙ. Ἤτοι, βιοῖς μὴ χρωμένων, ὅ ἐστι, τόξοις· ἢ, τὸ α, κατ' ἐπίτασιν, ἵν' ᾖ, πολυβίων καὶ πολυετῶν· ἢ, τῶν ἥμερον βίον μὴ ἐγνωκότων. Ἐπιφέρει γὰρ, δικαιοτάτων ἀνθρώπων· ἢ, μὴ βιαζομένων. Ἔστι ᾗ καὶ ἔθνος ἐν Σκυθίᾳ Ἄβιοι, οἱ καὶ Ἀμαξόβιοι, καὶ Νομάδες ὀνομαζόμενοι.

Οὐδ' ἀλαοσκοπιὴν εἶχε κρείων Ἐνοσίχθων· 10
Καὶ γὰρ ὁ θαυμάζων ἧστο πόλεμόν τε μάχην τε
Ὑψοῦ ἐπ' ἀκροτάτης κορυφῆς Σάμου ὑληέσσης,
Θρηϊκίης· ἔνθεν γὰρ ἐφαίνετο πᾶσα μὲν Ἴδη,
Φαίνετο δὲ Πριάμοιο πόλις, καὶ νῆες Ἀχαιῶν.
Ἔνθ' ἄρ' ὅγ' ἐξ ἁλὸς ἕζετ' ἰὼν, ἐλέαιρε δ' Ἀχαιοὺς 15
Τρωσὶν δαμναμένους, Διΐ δὲ κρατερῶς ἐνεμέσσα.
Αὐτίκα δ' ἐξ ὄρεος κατεβήσατο παιπαλόεντος,
Καιπνὰ ποσὶ προβιβάς· τρέμε δ' ἔρεα μακρὰ καὶ ὕλη
Ποσσὶν ὑπ' ἀθανάτοισι Ποσειδάωνος ἰόντος.
Τρὶς μὲν ὀρέξατ' ἰὼν, τὸ δὲ τέτρατον ἵκετο τέκμωρ, 20
Αἰγάς· ἔνθα δέ οἱ κλυτὰ δώματα βένθεσι λίμνης,
Χρύσεα, μαρμαίροντα τετεύχατο, ἄφθιτα αἰεί.
Ἔνθ' ἐλθὼν, ὑπ' ὄχεσφι τιτύσκετο χαλκόποδ' ἵππω,
Ὠκυπέτα, χρυσέησιν ἐθείρησιν κομόωντε.
Χρυσὸν δ' αὐτὸς ἔδυνε περὶ χροΐ· γέντο δ' ἱμάσθλην 25

10. ΑΛΑ. Ματαίαν τὴν κατασκοπήν· ὅ ἐστιν, ἀπιμελῶς ἐσκόπει. Ἀλαὸς γὰρ, ὁ τυφλός.

11. ΘΑΥ. Θεώμενος, καθορῶν.

12. ΣΑ. Σάμιοι οἱ ἐν Ἰωνίᾳ, μετὰ ἑξακοσιοστὸν καὶ ἕκατον ἔτος τῶν Τρωϊκῶν, χρησμὸν ἔλαβον παρὰ τοῦ Πυθίου, εἰς τὴν ἐν Τρωάδι Θρᾴκην μετοικῆσαι, ἀφ' ὧν ἡ Σαμοθρᾴκη προσηγορεύθη. Ἡ ἱστορία παρὰ Ἀπολλοδώρῳ. ΣΑ. Τῆς Σαμοθρᾴκης. Τὸ μέν τοι ἐν αὐτῇ ὄρος, Σαώκη καλεῖται.

16. ΕΝΕ. Ἐμίμφετο.

17. ΠΑΙ. Τραχίος.

18. ΚΡΑ. Κραιπνῶς, ταχέως. ΠΡΟ. Ἠρέμα προβαίνων.

20. ΟΡΕ. Ἵνα ἐφίετο, ἐξέτεινε, δείξη. ΤΕ. Προσληπτέον, ὀρεξάμενος.

21. ΑΙ. Αἰγαὶ, πόλις Ἀχαΐας ἐν Πελοποννήσῳ. Ἔνθα τιμᾶται ὁ Ποσειδῶν. Ἄγεται δὲ καὶ Διονύσῳ ἑορτὴ ἐν ᾗ ἐπειδ' ἂν ὁ χορὸς συγὰς τὰς Ὑ δαίμονος τελεταὶς ὀργιάζῃ, καὶ θαυμάσιον ἐπιτελεῖσθαί φασιν ἔργον. Ἄμπελοι γὰρ, ἃς καλοῦσιν ἐφημέρους, ἀνιχούσης ἡμέρας, καρπὸν βλαστάνουσιν· ἄχρι δὲ τοῦ ἐσπέρας οἶνον ἄφθονον ἴχνυσιν. Ἡ ἱστορία παρὰ Εὐφορίωνι. Ἐζήτηται δὲ, διατὶ εὐθέως ὑ πορεύεται ὁ Ποσειδῶν εἰς Τροίαν, ἀπὸ τοῦ χρόνου δαπανᾷ, παρευθεὶς εἰς Αἰγάς. Ῥητέον, ὅτι δυοῖν ἕνεκα πραγμάτων μεμηχάνηται ἡ ἀποδημία· πρῶτον μὲν, ἵνα ἀποπλανήσῃ τὸν Δία, ὡς ἀπολελοιπὼς τὸ πόλεμον· δεύτερον δὲ, ἵνα καθοπλισθῇ εἰς τὸν Διὸς πόλεμον, ἐὰν ἄρα φοραθεὶς εἰς τὴν συμμαχίαν κινδυνεύσῃ.

24. ΩΚΥ. Ταχέως τρέχοντας. ΧΡ. Χρυσῷ κεκοσμημένους· ἢ καλούς. ΕΘ. Ἔθειραι δὲ εἴρηνται παρὰ τὸ ἐξ ἔθους εἴρεσθαι, ὅ ἐστιν, πλέκεσθαι.

25. ΙΜΑ. Μάστιγα.

Χρυσείην, εὔτυκτον, ἐὺ δ' ἐπεβήσατο δίφρυ·
Βῆ δ' ἐλάαν ἐπὶ κύματ'· ἄταλλε δὲ κήτε' ὑπ' αὐτῷ
Πάντοθεν ἐκ κευθμῶν, ὀδ' ἠγνοίησεν ἄνακτα·
Γηθοσύνη δὲ θάλασσα διΐστατο· τοὶ δ' ἐπέτοντο
Ῥίμφα μάλ', ὀδ' ὑπένερθε διαίνετο χάλκεος ἄξων· 30
Τὸν δ' ἐς Ἀχαιῶν νῆας ἐύσκαρθμοι φέρον ἵπποι.
Ἔστι δέ τι σπέος εὐρὺ βαθείης βένθεσι λίμνης,
Μεσσηγὺς Τενέδοιο καὶ Ἴμβρου παιπαλοέσσης·
Ἔνθ' ἵππους ἔσησε Ποσειδάων ἐνοσίχθων,
Λύσας ἐξ ὀχέων, παρὰ δ' ἀμβρόσιον βάλεν εἶδαρ 35
Ἑδμεναι· ἀμφὶ δὲ ποσσὶ πέδας ἔβαλε χρυσείας,
Ἀρρήκτους, ἀλύτους, ὄφρ' ἔμπεδον αὖθι μένοιεν
Νοσήσαντα ἄνακτα· ὁ δ' ἐς στρατὸν ᾤχετ' Ἀχαιῶν.
Τρῶες δὲ φλογὶ ἶσοι ἀολλέες, ἠὲ θυέλλῃ,
Ἕκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτες ἕποντο, 40
Ἄβρομοι, αὐταχοι· ἔλπετο δὲ νῆας Ἀχαιῶν
Αἱρήσειν, κτενέειν δὲ παρ' αὐτόφι πάντας Ἀχαιούς·
Ἀλλὰ Ποσειδάων γαιήοχος, ἐννοσίγαιος,

27. ΑΤΑΛ. Ἐν ποότητι κατὰ διάθεσιν ἐγίγνετο· ὅ ἐστιν, ἰσκίστα, καὶ ἔχαιρεν. ΥΠ. Ἀντὶ τοῦ, δι' αὐτόν.

28. ΚΕΥ. Ἐκ τῶν καταδύσεων καὶ φωλεῶν.

29. ΓΗ. Τῇ χαρᾷ.

30. ΔΙ. Διάβροχος ἐγίγνετο.

31. ΕΥ. Εὔσκαριστοι. Ὅ ἐστιν, εὐκίνητοι, ταχεῖς. Σκαρθμὸς γὰρ, κατὰ διάλεκτον, ὁ πῶς.

32. ΣΠΕ. Ἀφώτιστον οἴκημα πλατύ· παρὰ τὴν σβέσιν τοῦ φωτός. ΛΙΜ. Νῦν, θαλάσσης.

33. ΤΕ. Νῆσοι πλησίον Τροίας κείμεναι. Καὶ ἡ μὲν Τένεδος κεῖται μέση τριῶν πελάγων, Αἰγαίου, Ἑλλησπόντου, Μιθυμνίου κόλπου. Διὸ καὶ Τρόοδος ὑπ' ἐνίων καλεῖται. Ἡ δὲ Ἴμβρος ἐστὶν ἐν τῷ Μίλαν κόλπῳ.

36. ΕΔ. Ἐδέειν. ΠΕ. Δεσμούς. Ἤτοι παρὰ τὸ πιέζειν εἴρηται, ἢ παρὰ τοὺς πόδας. Ὥσπερ παρὰ τὸ ὀβολὸν, τὸ ἡμιωβόλιον.

37. ΑΛΥ. Δυσλύτους.

40. ΑΜΟ. Ἀμότους, ἀπληρώτους.

41. ΑΒΡΟ. Ἀντὶ Ῥ, πολύβρομοι, καὶ πολύηχοι. Ἑκάστοτε θορυβώδεις τοὺς Τρῶας παρίστησι. ΑΥ. Ἀντὶ Ῥ, αὐτάχοι· Ῥ γὰρ ν ἐξαιρεθέντος, ὑπεισῆλθε τὸ υ, διὰ τὸ μέτρον. Χρύσιππος δὲ ὁ Στωϊκὸς, καὶ Διονύσιος ὁ Θρᾷξ ἐκ τοῦ αὖος, τοῦ ξηροῦ, συντιθέασιν· ἵν' ᾖ, ξηρόφωνοι.

43. ΓΑΙ. Ἐπίθεία Ποσειδῶνος. Καὶ τὸ μὲν ἓν δηλοῖ, ὁ τὴν γῆν συνέχων· τὸ δὲ ἕτερον, ὁ κινῶν αὐτήν. Καὶ γὰρ, περὶ ἰατρόν· δύο ἐστὶν ὧν χρὴ προΐσθαι, καὶ

Ἀργείους ὤτρυνε, βαθείης ἐξ ἁλὸς ἐλθών,
Εἰσάμενος Κάλχαντι δέμας καὶ ἀτειρέα φωνήν· 45
Αἴαντε πρώτω προσέφη, μεμαῶτε καὶ αὐτώ·
« Αἴαντε, σφὼ μέν κε σαώσετε λαὸν Ἀχαιῶν,
« Ἀλκῆς μνησαμένω, μηδὲ κρυεροῖο φόβοιο.
« Ἄλλῃ μὲν γὰρ ἔγωγ' οὐ δείδια χεῖρας ἀάπτους
« Τρώων, οἳ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλῳ· 50
« Ἕξουσιν γὰρ ἅπαντας ἐϋκνήμιδες Ἀχαιοί·
« Τῇ δὲ δὴ αἰνότατον περιδείδια, μή τι πάθωμεν,
« Ἦ ῥ' ὅγ' ὁ λυσσώδης, φλογὶ εἴκελος, ἡγεμονεύει
« Ἕκτωρ, ὃς Διὸς εὔχετ' ἐριαθενέος παῖς εἶναι.
« Σφῶϊν δ' ὧδε θεῶν τις ἐνὶ φρεσὶ ποιήσειεν, 55
« Αὐτώ θ' ἑστάμεναι κρατερῶς, καὶ ἀναγέμεν ἄλλους·
« Τῷ κε καὶ ἐσσύμενόν περ ἐρωήσαιτ' ἀπὸ νηῶν
« Ὠκυπόρων, εἰ καί μιν Ὀλύμπιος αὐτὸς ἐγείρει.
Ἦ, καὶ σκηπανίῳ γαιήοχος Ἐννοσίγαιος
Ἀμφοτέρω κεκοπὼς πλῆσεν μένεος κρατεροῖο, 60
Γυῖα δ' ἔθηκεν ἐλαφρὰ, πόδας, καὶ χεῖρας ὕπερθεν.
Αὐτὸς δ', ὥς τ' ἴρηξ ὠκύπτερος ὤρτο πέτεσθαι,
Ὅς ῥά τ' ἀπ' αἰγίλιπος πέτρης περιμήκεος ἀρθεὶς
Ὁρμήσει πεδίοιο διώκειν ὄρνεον ἄλλο·
Ὡς ἀπὸ τῶν ᾔιξε Ποσειδάων ἐνοσίχθων. 65

τὰ κοσμεῖν διορθοῦσθαι, καὶ τὰ ὑγιεινὰ προφυλάσσειν.

48. ΚΡΥ. Φρικτοῦ, φοβεροῦ.

49. ΑΛ. Ἀλλαχοῦ, κατ' ἄλλο μέρος.

50. ΥΠΕΡ. Ὑπερβῆσαν.

51. ΕΞ. Ἐφέξουσι, κωλύσουσιν.

53. Ἦ. Καθ' ὃ μέρος οὗτος. ΛΥΣ. Ὁ μεμηνώς.

57. ΕΡΩ. Ἀποστρέψοιη καὶ ἀπελάσοιτο τῶν νηῶν.

59. ΣΚΗ. Σκήπτρῳ. Ἀπὸ τοῦ σκηρίπτεσθαι, ὅ ἐστιν, ἐπερείδεσθαι. Ἐγγύτατα δὲ ἀπὸ τοῦ σκήπτω, ὅ ἐστιν, ἐκ τοῦ σκηρίπτω, κατὰ συγκοπήν.

60. ΚΕ. Πλήξας.

62. ΙΡ. Ἴραξ.

63. ΑΙ. Ὑψηλῆς. ΠΕ. Λίαν μεγάλης, ὑπερμεγέθους. ΑΡ. Ἐπαρθεὶς, ἀποπηδάς.

64. ΠΕ. Διὰ τοῦ πεδίου. ΟΡ. Ἀφ' τοῦ, ἀλλόφυλον.

Τοῖϊν δ' ἔγνω πρόσθεν Ὀϊλῆος ταχὺς Αἴας,
Αἶψα δ' ἄρ' Αἴαντα προσέφη Τελαμώνιον υἱόν·
'Αἶαν, ἐπεί τις νῶϊ θεῶν, οἳ Ὄλυμπον ἔχουσι,
'Μάντεϊ εἰδόμενος κέλεται παρὰ νηυσὶ μάχεσθαι,
'Οὐδ' ὅγε Κάλχας ἐστὶ, θεοπρόπος οἰωνιστής· 70
'Ἴχνια γὰρ μετόπισθε ποδῶν ἠδὲ κνημάων
'Ῥεῖ' ἔγνων ἀπιόντος, ἀρίγνωτοι δὲ θεοί περ·
'Καὶ δ' ἐμοὶ αὐτῷ θυμὸς ἐνὶ στήθεσσι φίλοισι
'Μᾶλλον ἐφορμᾶται πολεμίζειν ἠδὲ μάχεσθαι,
'Μαιμώωσι δ' ἔνερθε πόδες καὶ χεῖρες ὕπερθεν.' 75
Τὸν δ' ἀπαμειβόμενος προσέφη Τελαμώνιος Αἴας·
'Οὕτω νῦν καὶ ἐμοὶ περὶ δέρατι χεῖρες ἄαπτοι
'Μαιμῶσιν, καί μοι μένος ὤρορε, νέρθε δὲ ποσσὶν
'Ἔσσυμαι ἀμφοτέροισι· μενοινάω δὲ καὶ οἶος
'Ἕκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτι μάχεσθαι.' 80
Ὡς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
Χάρμη γηθόσυνοι, τήν σφιν θεὸς ἔμβαλε θυμῷ.
Τόφρα δὲ τοὺς ὄπιθεν Γαιήοχος ὦρσεν Ἀχαιοὺς,

66. ΤΟΙ. Τούτων δέ. ΟΙ. Αἴας Λοκρὸς μὲν ἦν τὸ γένος, ἀπὸ πόλεως Ὀποῦντος, πατρὸς δὲ Ὀϊλέως. Οὗτος, μετὰ τὴν τοῦ Ἰλίου πόρθησιν, αἴτιος τοῖς Ἕλλησιν ἀπωλείας ἐγένετο. Κασάνδραν γὰρ τὴν Πριάμου, ἱκέτιν οὖσαν Ἀθηνᾶς, ἐν τῷ τοῦ θείας σηκῷ καθήρπασεν, ὥστε τὴν θεὰν τοὺς ὀφθαλμοὺς τοῦ ξόανου εἰς τὴν ὀροφὴν τρέψαι. Τοῖς δὲ Ἕλλησιν ὑποτρέφουσι, καὶ κατὰ τὴν Εὔβοιαν γενομένοις, χειμῶνας διήγειρε μεγάλους, ὥστε πολλοὺς αὐτῶν ἀπολέσθαι. Διαπλεύσαντος δὲ Αἴας εἰς τὰς Γυραίας καλουμένας πέτρας, ἔλεγε, χωρὶς θεῶν γνώμης, διασωθῆναι. Ποσειδῶν δὲ, ἀγανακτήσας, διέλυσε τὴν πέτραν, καὶ τὸν Αἴαντα τῷ κλύδωνι παρέδωκεν. Ἐκριφέντα δὲ αὐτὸν, κατάφορον νεκρὸν, Θέτις, ἐλεήσασα, θάπτει. Ἀθηνᾶ δὲ οὐδὲ ἔτως τῆς ὀργῆς ἐπαύσατο, ἀλλὰ καὶ τοὺς Λοκροὺς ἠνάγκασεν ἐπὶ χίλια ἔτη εἰς Ἴλιον ἐκ κλήρου παρθένους πέμπειν. Ἡ ἱστορία παρὰ Καλλιμάχῳ ἐν Αἰτίοις· καὶ παρ' αὐτῷ τῷ Ποιητῇ ἐν Δ Ὀδυσσείας, παχυμερῶς.

70. ΟΙ. Οἰωνοσκόπος. Πῶς ᾖ ὁ Ποσειδῶν σὺν ἔλαθε τὸν Αἴαντα; Καὶ ῥητέον, ὅτι φαντασίαν παρίχει τὸ θεῖον ἑαυτοῦ.

71. ΙΧ. Ἴχνη, πατήματα.

72. ΑΡΙΓ. Εὐδιάγνωστοι.

75. ΜΑΙ. Μίλῳ προθυμίας ὁρμῶσιν.

78. ΩΡΟ. Ὁρμᾶται. Ὑπερβασμὸς χρόνου.

79. ΕΣ. Ὥρμηκα, ἐσπούδακα.

82. ΧΑΡ. Χαίρουσιν τῇ ψυχῇ. Ἔστι δὲ ὅτι δηλοῖ ἡ λέξις καὶ τὴν μάχην.

Οἳ παρὰ νηυσὶ θοῇσιν ἀνέψυχον φίλον ἦτορ·
Τῶν ῥ' ἅμα τ' ἀργαλέῳ καμάτῳ φίλα γυῖα λέλυντο, 85
Καί σφιν ἄχος κατὰ θυμὸν ἐγίνετο, δερκομένοισι
Τρῶας, τοὶ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλῳ.
Τὼς οἵγ' εἰσορόωντες, ὑπ' ὀφρύσι δάκρυα λεῖβον·
Οὐ γὰρ ἔφαν φεύξεσθαι ὑπ' ἐκ κακῶ· ἀλλ' Ἐνοσίχθων
Ῥεῖα μετεισάμενος κρατερὰς ὤτρυνε φάλαγγας. 90
Τεῦκρον ἔπι πρῶτον καὶ Λήϊτον ἦλθε κελεύων,
Πηνέλεών θ' ἥρωα, Θόαντά τε, Δηΐπυρόν τε,
Μηριόνην τε, καὶ Ἀντίλοχον, μήστωρας ἀϋτῆς·
Τὼς ὄγ' ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα·
Αἰδὼς, Ἀργεῖοι, κῦροι νέοι· ὔμμιν ἔγωγε 95
Μαρναμένοισι πέποιθα σαωσέμεναι νέας ἁμάς·
Εἰ δ' ὑμεῖς πολέμοιο μεθήσετε λευγαλέοιο,
Νῦν δὴ εἴδεται ἦμαρ, ὑπὸ Τρώεσσι δαμῆναι.
Ὦ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι,
Δεινὸν, ὃ ὄφρ' ἔγωγε τελευτήσεσθαι ἔφασκον, 100
Τρῶας ἐφ' ἡμετέρας ἱέναι νέας· οἳ τὸ πάρος περ
Φυζακινῆς ἐλάφοισιν ἐοίκεσαν, αἴτε καθ' ὕλην
Θώων, πορδαλίων τε, λύκων τ' ἠϊα πέλονται,

88. ΟΦ. Οἳ γὰρ ὀφθαλμοὶ καθ' Ὅμηρον ὑπὸ ταῖς ὀφρύσι. Ὡς τό·
Κοίμησόν μοι Ζηνὸς ὑπ' ὀφρύσιν ὄσσε φαεινώ.
Διὰ δὲ τούτων, ἐδάκρυον. Ἕτεροι δ' ἤκουσαν, λεληθότως ἔκλαιον. ΛΕΙ. Ἐστάλαζον, ἐδάκρυον.

90. ΜΕ. Πρὸς αὐτοὺς ἀφικόμενος, μετελθὼν, ἢ μεταβληθείς.

95. ΑΙ. Αἰδέσθητε.

96. ΑΜΑΣ. Ἡμετέρας.

97. ΛΕΥ. Ὀλεθρίῳ.

98. ΕΙ. Νῦν ἀνιφάνη ἡ ἡμέρα, ἐν ᾗ ὑπὸ τῶν Τρώων ἀναιρεθήσεσθε. ΕΙ. Φαίνεται.

100. ΕΦΑ. Ὑπελάμβανον, ἔλεγον.

102. ΦΥΖΑ. Φευκτικαῖς, δειλαῖς.

103. ΘΩ. Πανθηρίων. Ὁ θὼς, ζῶον ἄλκιμον καὶ εὐκίνητον. Ἔνιοι δὲ, παραπλήσιον ὑαίνῃ. ΠΟΡ. Παρδάλεων. ΗΙΑ. Βρώματα, οὐ τὰ ἐν οἴκῳ δὲ ἐδιδόμενα, ἀλλὰ τὰ ἐν ὁδῷ. Δεῦτε, φίλοι, ἤϊα φερώμεθα, Σιμωνίδης φησί· καὶ τὰ ἄχυρα δὲ ἤϊα λέγεται. Ὡς τό· Ὡς δ' ἄνεμος ζαὴς ἠΐων θημῶνα τινάξῃ. Τάχα δὲ τὰ φερόμενα· παρὰ τὸ ἰέναι. Γεννηθέντος γὰρ ἀνέμου, δεῦρε κἀκεῖσε φέρονται.

Αὔτως ἠλάσκεσκον, ἀνάλκιδες, οὐδ' ἐπὶ χάρμῃ·
Ὡς Τρῶες τὸ πρίν γε μένος καὶ χεῖρας Ἀχαιῶν 105
Μίμνειν οὐκ ἐθέλεσκον ἐναντίον, οὐδ' ἠβαιόν·
Νῦν δ' ἔκαθεν πόλιος κοίλης ἐπὶ νηυσὶ μάχονται,
Ἡγεμόνος κακότητι, μεθημοσύνῃσί τε λαῶν,
Οἳ κείνῳ ἐρίσαντες ἀμυνέμεν οὐκ ἐθέλουσι
Νηῶν ὠκυπόρων, ἀλλὰ κτείνονται ἀν' αὐτάς. 110
Ἀλλ' εἰ δὴ καὶ πάμπαν ἐτήτυμον αἴτιός ἐστιν
Ἥρως Ἀτρείδης, εὐρυκρείων Ἀγαμέμνων,
Οὕνεκ' ἀπητίμησε ποδώκεα Πηλείωνα,
Ἡμέας γ' ὄπως ἐστὶ μεθιέμεναι πολέμοιο.
Ἀλλ' ἀκεώμεθα θᾶσσον· ἀκεσαί τοι φρένες ἐσθλῶν. 115
Ὑμεῖς δ' οὐκέτι καλὰ μεθίετε θούριδος ἀλκῆς,
Πάντες ἄριστοι ἐόντες ἀνὰ στρατόν· οὐδ' ἂν ἔγωγε
Ἀνδρὶ μαχεσσαίμην, ὅστις πολέμοιο μεθείη,
Λυγρὸς ἐών· ὑμῖν δὲ νεμεσσῶμαι περὶ κῆρι.
Ὦ πέπονες, τάχα δή τι κακὸν ποιήσετε μεῖζον 120
Τῇδε μεθημοσύνῃ· ἀλλ' ἐν φρεσὶ θέσθε ἕκαστος
Αἰδῶ καὶ νέμεσιν· δὴ γὰρ μέγα νεῖκος ὄρωρεν.
Ἕκτωρ δὴ παρὰ νηυσὶ βοὴν ἀγαθὸς πολεμίζει,
Καρτερός· ἔρρηξεν δὲ πύλας καὶ μακρὸν ὀχῆα.'
Ὣς ἄρα κελευτιόων Γαιήοχος ὦρσεν Ἀχαιούς· 125

104. ΗΛΑ. Ἐκκλίνουσαι, πλανώμεναι.

106. ΕΘΕ. Οὐκ ἠδύναντο.

107. ΕΚΑ. Πόρρωθεν.

108. ΚΑ. Κακία, δειλία. ΜΕ. Ταῖς ἀμελείαις.

115. ΑΚΕ. Ἀλλ' ἰασώμεθα διὰ τάχους τὸ γεγονὸς ἁμάρτημα. ΑΚΕΣ. Εὐθεράπευτοι, εὔιατοι. Ὁ δὲ λόγος· αἱ τῶν ἀγαθῶν φρένες ῥᾳδίως πρὸς τὸ κρεῖττον μετατίθενται, εὐθεράπευτοι οὖσαι· ἢ, θεραπευτικαί εἰσιν.

119. ΑΥ. Χαλεπὸς, ἄδοξος. ΝΕ. Μέμφομαι. ΚΗ. Ἐκ ψυχῆς.

125. ΚΕΛ. Παρακελευόμενος, παρορμῶν. ΓΑΙ. Ἤτοι, ὁ ἐπὶ γῆς ὀχούμενος· ἢ, ὁ χαίρων τοῖς ἅρμασιν. Ἵππιος γὰρ ὁ θεός· ἢ, ὁ συνέχων καὶ βαστάζων τὴν γῆν. Φασὶ γὰρ, αὐτὴν ἐπὶ ὕδατος ἐστηρίχθαι. Ἐννοσίγαιος δὲ, ὁ κινῶν τὴν γῆν. Τῇ τοῦ ὕδατος γὰρ παρὰ χρόνον τινὰ μεταστάσει γίγνεται ὁ σεισμός.

Ἀμφὶ δ' ἄρ' Αἴαντας δοιὼς ἵσαντο φάλαγγες
Καρτεραὶ, ἃς ὅτ' ἄν κεν Ἄρης ὀνόσαιτο μετελθὼν,
Οὔτε κ' Ἀθηναίη λαοσσόος· οἱ γὰρ ἄριστοι
Κρινθέντες Τρῶάς τε καὶ Ἕκτορα δῖον ἔμιμνον,
Φράξαντες δόρυ δουρὶ, σάκος σάκεϊ προθελύμνῳ· 130
Ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνὴρ·
Ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
Νευόντων· ὣς πυκνοὶ ἐφέστασαν ἀλλήλοισιν·
Ἔγχεα δ' ἐπήσσοντο θρασειάων ἀπὸ χειρῶν
Σειόμεν· οἱ δ' ἰθὺς φρόνεον, μέμασαν δὲ μάχεσθαι. 135
Τρῶες δὲ πρὸ τυψαν ἀολλέες, ἦρχε δ' ἄρ' Ἕκτωρ
Ἀντικρὺ μεμαώς· ὀλοοίτροχος ὡς ἀπὸ πέτρης,
Ὅντε κατὰ σεφάνης ποταμὸς χειμάρροος ὤσῃ,
Ῥήξας ἀσπέτῳ ὄμβρῳ ἀναιδέος ἔχματα πέτρης,
Ὕψι τ' ἀναθρώσκων πέτεται, κτυπέει δέ θ' ὑπ' αὐτῇ 140
Ὕλη· ὁ δ' ἀσφαλέως θέει ἔμπεδον, ὄφρ' ἂν ἵκηται
Ἰσόπεδον, τότε δ' οὔτι κυλίνδεται, ἐσσύμενός περ·
Ὣς Ἕκτωρ, εἴως μὲν ἀπείλει μέχρι θαλάσσης
Ῥεῖα δ' ἐλεύσεσθαι κλισίας καὶ νῆας Ἀχαιῶν,
Κτείνων· ἀλλ' ὅτε δὴ πυκινῆς ἐνέκυρσε φάλαγξι, 145

127. ΟΝΟ. Μίμψαιτο.

128. ΛΑ. Ἡ τὸν λαὸν σεύσα, τυτέστιν, εἰς φυγὴν ἄγουσα, ἢ σώζουσα.

129. ΚΡΙ. Διαταχθέντες.

130. ΠΡΟ. Πυκνῷ. Ἀνδρόμαχος ἐν ἐτυμολογικοῖς φησι, κυρίως λέγεσθαι τὰ ἐπαλλήλως κλάδους ἔχοντα δένδρα, διὰ τὸ θαλυμανεῖν.

132. ΨΑΥ. Ἠρίμα ἤπτοντο.

134. ΕΠ. Εἰς τὸ αὐτὸ συνήγετο, καὶ ἐκάμπτετο κραδαινόμενα.

136. ΠΡΟΥ. Προίβαλον, προέκρουσαν.

137. ΟΛΟ. Λίθος περιφερὴς, στρογγύλος, ὁ ἐν τῷ τρέχειν ὁλοὸς, τυτέστιν, ὀλέθριος, ἐπεὶ καταφερόμενος, πᾶν τὸ ἐμπίπτον βλάπτει.

138. ΣΤΕ. Ὄρους ἐξοχὴς· νῦν δὲ λείας πέτρας.

139. ΑΣ. Πολλῷ. ΑΝ. Τραχείας.

140. ΥΨΙ. Ἐφ' ὕψους. ΑΝΑ. Ἀναβαλλόμενος, ἀναπηδῶν. ΠΕ. Ταχέως φέρεται.

141. ΑΣ. Ἀπαραβόλως.

142. ΙΣΟ. Ἰσόμαλον τόπον. ΕΣ. Καὶ περ ὁρμῇ πολλῇ χρώμενος.

143. ΑΠΕΙ. Ἠπείλει, ὑπεσχνεῖτο. Ὅτι δὲ τὸ καυχᾶται καὶ ἐπαιρόμενος δηλοῖ.

145. ΕΝΕ. Ἐνέτυχε. ΦΑ. Ταῖς πυκναῖς τάξεσιν.

Στῆ ῥα μάλ' ἐγχριμφθείς· οἱ δ' ἀντίοι υἷες Ἀχαιῶν,
Νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν,
Ὤσαν ἀπὸ σφείων· ὁ δὲ χασσάμενος πελεμίχθη,
Ἤϋσεν δὲ διαπρύσιον Τρώεσσι γεγωνώς·
Τρῶες, καὶ Λύκιοι, καὶ Δάρδανοι ἀγχιμαχηταί, 150
Παρμένετ· ἤτοι δηρὸν ἐμὲ χήσσσιν Ἀχαιοί,
Καὶ μάλα πυργηδὸν σφέας αὐτοὺς ἀρτύναντες·
Ἀλλ', οἴω, χάσσονται ὑπ' ἔγχεος, εἰ ἐτεόν με
Ὤρσε θεῶν ὤριστος, ἐρίγδουπος πόσις Ἥρης.
Ὡς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου. 155
Δηΐφοβος δ' ἐν τοῖσι μέγα φρονέων ἐβεβήκει
Πριαμίδης, πρόσθεν δ' ἔχεν ἀσπίδα πάντοσε ἴσην,
Κῶφα ποσὶ προβιβὰς, καὶ ὑπασπίδια προποδίζων·
Μηριόνης δ' αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ,
Καὶ βάλεν, οὐδ' ἀφάμαρτε, κατ' ἀσπίδα πάντοσε ἴσην, 160
Ταυρείην· τῆς δ' οὔτι διήλασεν, ἀλλὰ πολὺ πρὶν
Ἐν κανλῷ ἐάγη δολιχὸν δόρυ· Δηΐφοβος δὲ
Ἀσπίδα ταυρείην ἀπέθ' ἀπὸ ἕο, δείσε δὲ θυμῷ
Ἔγχος Μηριόναο δαΐφρονος· αὐτὰρ ὄγ' ἥρως
Ἄψ ἑτάρων εἰς ἔθνος ἐχάζετο, χώσατο δ' αἰνῶς 165

146. ΕΓ. Ἐνειείσας.

147. ΑΜ. Ἑκατέρωθεν ἠκονημένοις, καὶ τὰ γυῖα βλάπτειν δυναμένοις.

149. ΔΙΑ. Ὡς διὰ παντὸς τοῦ πέρατος ἀκυσθῆναι· ἢ, διαπερασίμων εἰς ἀκοάς· ἢ, διαφανὴς, καὶ σημαντικόν.

150. ΔΑ. Οἱ ἐν Δαρδάνῃ, πόλει τῆς Τροίας, οἰκοῦντες.

151. ΣΧΗ. Ἐφίξωσι, κωλύσωσι.

152. ΠΥΡ. Δίκην πύργου, ἐν τάξει. Ἔστι δὲ ἐπίῤῥημα παραβολοειδὲς, ὅμοιον τοῖ σφαιρηδόν.

158. ΚΟΥ. Ἤτοι, μετέωρα καὶ ὑψηλὰ προβαίνων· ἢ, ἐπ' ἄκρων τῶν ποδῶν βαδίζων, οἱονεὶ ἀκροδηματίζων. ΤΠΑ. Ὑπὸ τῇ ἀσπίδι ἠρέμα καὶ εὐρύθμως βαίνων· ἢ, ὑπὸ τὴν ἀσπίδα τοὺς πόδας τιθείς· τυτέστι, περικαλύπτων, αὐτοὺς τῇ ἀσπίδι κατὰ τὴν πορείαν. Ἐξ οὗ πρόδηλον, ὅτι οὐκ εἶχεν ὁ Δηΐφοβος ἀμφιβρότην ἀσπίδα, οὐδὲ ὅπλα, ἐπεὶ ἂν αὐτὴν ἐκράτει.

159. ΤΙ. Κατ' αὐτοῦ ἐσοχάζετο.

162. ΚΑΥ. Καυλὸς, τὸ ἄκρον τοῦ δόρατος, τὸ ἐμβαλλόμενον εἰς τὴν ἐπιδοματίδα. ΕΑ. Κατιάγη, ἐκλάσθη.

165. ΧΩ. Ἐλυπήθη γὰρ κατ' ἀμφότερα, ἐπί τε τῷ τὴν νίκην ἀφῃρῆσθαι, καὶ ἐπὶ τῷ κεκλᾶσθαι τὸ δόρυ.

Ἀμφότερον, νίκης τε, καὶ ἔγχεος, ὃ ξυνέαξε·
Βῆ δ' ἰέναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν,
Οἰσόμενος δόρυ μακρὸν, ὅ οἱ κλισίηφι λέλειπτο,
Οἱ δ' ἄλλοι μάρναντο, βοὴ δ' ἄσβεστος ὀρώρει.
Τεῦκρος δὲ πρῶτος Τελαμώνιος ἄνδρα κατέκτα 170
Ἴμβριον αἰχμητὴν, πολυΐππου Μέντορος υἱόν.
Ναῖε δὲ Πήδαιον, πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν,
Κάρην δὲ Πριάμοιο νόθην ἔχε Μηδεσικάστην·
Αὐτὰρ ἐπεὶ Δαναῶν νέες ἤλυθον ἀμφιέλισσαι,
Ἂψ εἰς Ἴλιον ἦλθε, μετέπρεπε δὲ Τρώεσσι· 175
Ναῖε δὲ παρ Πριάμῳ· ὁ δέ μιν τίεν ἶσα τέκεσσι.
Τόν ῥ' υἱὸς Τελαμῶνος ὑπ' ἄκατος ἔγχεϊ μακρῷ
Νύξ', ἐκ δ' ἔσπασεν ἔγχος· ὁ δ' αὖτ' ἔπεσεν, μελίη ὡς,
Ἥτ' ὄρεος κορυφῇ ἔκαθεν περιφαινομένοιο
Χαλκῷ ταμνομένη τέρενα χθονὶ φύλλα πελάσσῃ· 180
Ὡς πέσεν· ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
Τεῦκρος δ' ὡρμήθη, μεμαὼς ἀπὸ τεύχεα δῦσαι·
Ἕκτωρ δ' ὁρμηθέντος ἀκόντισε δουρὶ φαεινῷ·
Ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος
Τυτθόν· ὁ δ' Ἀμφίμαχον, Κτεάτου υἱ' Ἀκτορίωνος, 185
Νισσόμενον πόλεμόνδε, κατὰ ζωθῆκα βάλε δουρί·
Δύπησεν δὲ πεσὼν, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
Ἕκτωρ δ' ὠρμήθη κόρυθα κροτάφοις ἀραρυῖαν

168. ΟΙ. Κομίσων, οἴσων. Διαφέρει δὲ τὸ οἴσων καὶ τὸ οἰσόμενος. Οἴσων μὲν γὰρ, ἰτέον. Οἴσε θέειον, γρηῦ, κακῶν ἄκος. Θέσετε δ' ἄρνα λευκόν. Οἰσόμενος δὲ, ἑαυτῷ.

172. ΠΗ. Πήδαιος, πόλις Καρίας.

178. ΜΕ. Ὡς μελίαι. Ἔτι δὲ εἶδος δένδρου.

179. ΚΟ. Ἐξαχῆ. ΕΚΑ. Πόρρωθεν ὁρωμένου, περιόπτου.

180. ΤΕ. Τρυφερὰ, ἁπαλὰ, ῥᾳδίως δυνάμενα τέρεσθαι. Ἔτι ᾖ, χλωρά. Ἔοικε δὲ ὥσπερ συναλγῶν τῷ δένδρῳ τοιαῦτα εἰρηκέναι.

181. ΒΡΑ. Ὠνομαζοπεποίηκεν. Ἐντεῦθεν δὲ ἀπὸ τοῦ ἤχου τῶν ὑδάτων καὶ τὸ βρέχειν ὠνόμασαν. Ὁ δὲ λόγος· τὰ περὶ αὐτῶν τεύχεα ἔβραχεν.

186. ΝΙΣ. Παραγινόμενον.

Κρατὸς ἀφαρπάξας μεγαλήτορος Ἀμφιμάχοιο·
Αἴας δ' ὁρμηθέντος ἀκόντισε δεξὶ φαεινῷ 190
Ἕκτορος· ἀλλ' οὔ πῃ χροὸς εἵσατο, πᾶς δ' ἄρα χαλκῷ
Σμερδαλέῳ κεκάλυφθ'· ὁ δ' ἄρ' ἀσπίδος ὀμφαλὸν ἷκα,
Ὥστε δέ μιν θένειε μεγάλῳ· ὁ δὲ χάσσατ' ὀπίσσω
Νεκρῶν ἀμφοτέρων· τὼς δ' ἐξείρυσσαν Ἀχαιοί.
Ἀμφίμαχον μὲν ἄρα Στίχιος, δῖός τε Μενεσθεὺς, 195
Ἀρχοὶ Ἀθηναίων, κόμισαν κατὰ λαὸν Ἀχαιῶν·
Ἴμβριον αὖτ' Αἴαντε, μεμαότε θέριδος ἀλκῆς·
Ὥς τε δύ' αἶγα λέοντε, κυνῶν ὑπὸ καρχαροδόντων
Ἁρπάξαντε, φέρητον ἀνὰ ῥωπήια πυκνὰ,
Ὑψὲ ὑπὲρ γαίης μετὰ γαμφηλῇσιν ἔχοντε· 200
Ὡς ῥα τὸν ὑψὲ ἔχοντε δύω Αἴαντε κορυστὰ
Τεύχεα συλήτην, κεφαλὴν δ' ἀπαλῆς ἀπὸ δειρῆς
Κόψεν Ὀϊλιάδης, κεχολωμένος Ἀμφιμάχοιο·
Ἦκε δέ μιν σφαιρηδὸν ἑλιξάμενος δι' ὁμίλου,
Ἕκτορι δὲ προπάροιθε ποδῶν πέσεν ἐν κονίῃσι. 205
Καὶ τότε δὴ περὶ κῆρι Ποσειδάων ἐχολώθη,
Υἱωνοῖο πεσόντος ἐν αἰνῇ δηϊοτῆτι·
Βῆ δ' ἰέναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν,
Ὀτρυνέων Δαναοὺς, Τρώεσσι δὲ κήδε' ἔτευχεν.
Ἰδομενεὺς δ' ἄρα οἱ δεξικλυτὸς ἀντεβόλησεν, 210
Ἐρχόμενος παρ' ἑταίρου, ὅ οἱ νέον ἐκ πολέμοιο
Ἦλθε, κατ' ἰγνύην βεβλημένος ὀξέϊ χαλκῷ·

191. ΧΡΟ. Διὰ ᾧ χρωτὸς διῆλθε.
198. ΚΑΡ. Ὀξεῖς καὶ ἐπικαμπεῖς ὀδόντας ἐχόντων.
199. ΡΩ. Οἱ τόποι, ἐν οἷς ῥῶπες φύουσι. Ῥῶπες δὲ, πολύφυλλα καὶ ἱμαντώδη φυτὰ δρυῶν.
200. ΥΥ. Ἐν ὕψει. ΓΑΜ. Γαμφαῖς, σιαγόσι. Παρὰ τὸ κεκάμφθαι.
201. ΚΟ. Δυϊκῶς. Κορυστὰ, ὁπλῖτα.
202. ΣΥ. Ἡ Δώριόν ἐστιν, ἢ παρὰ τὸ συλησάτην.
204. ΣΦΑΙ. Δίκην σφαίρας. ΕΛΙ. Ἐπιγραφεῖς.
207. ΥΙ. Ἐγγόνου.
212. ΙΓ. Ἀγκύλην· ἢ, τὸ ὄπισθεν ᾧ γόνατος.

Τὸν μὲν ἑταῖροι ἔνειχαν, ὁ δ' ἰητροῖς ἐπιτείλας
Ἤϊεν ἐκ κλισίης· ἔτι γὰρ πολέμοιο μενοίνα
Ἀντιάαν· τὸν δὲ προσέφη κρείων Ἐνοσίχθων, 215
Εἰσάμενος φθογγὴν Ἀνδραίμονος υἷϊ Θόαντι,
Ὃς πάσῃ Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι
Αἰτωλοῖσιν ἄναασσε, θεὸς δ' ὡς τίετο δήμῳ·
'Ἰδομενεῦ, Κρητῶν βελεφόρε, πῇ τοι ἀπειλαὶ
'Οἴχονται, τὰς Τρωσὶν ἀπείλεον υἷες Ἀχαιῶν; 220
Τὸν δ' αὖτ' Ἰδομενεὺς, Κρητῶν ἀγὸς, ἀντίον ηὔδα·
'Ὦ Θόαν, ἔτις ἀνὴρ νῦν γ' αἴτιος, ὅσσον ἔγωγε
'Γιγνώσκω· πάντες γὰρ ἐπιστάμεθα πολεμίζειν·
'Οὔτε τινὰ δέος ἔχει ἀκήριον, οὔτε τις ὄκνῳ
'Εἴκων, ἀνδύεται πόλεμον κακόν· ἀλλά πῃ ἔτω 225
'Μέλει δὴ φίλον εἶναι ὑπερμενέϊ Κρονίωνι,
'Νωϊτέρους ἀπολέσθαι ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιούς.
'Ἀλλὰ, Θόαν· καὶ γὰρ τὸ πάρος μενεδήϊος ἦσθα,
'Ὀτρύνεις δὲ καὶ ἄλλον, ὅθι μεθιέντα ἴδηαι·
'Τῷ νῦν μήτ' ἀπόληγε, κέλευέ τε φωτὶ ἑκάστῳ. 230
Τὸν δ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων·
'Ἰδομενεῦ, μὴ κεῖνος ἀνὴρ ἔτι νοστήσειεν
'Ἐκ Τροίης, ἀλλ' αὖθι κυνῶν μέλπηθρα γένοιτο,

213. ΕΝ. Ἐκόμισαν.
214 ΜΕ. Ἐνεθυμεῖτο.
215. ΑΝ. Μεταλαμβάνειν, ἰφάπτεσθαι.
216. ΕΙ. Ὁμοιωθείς.
217. ΠΛΕΥ. Ἀντὶ τοῦ Πλευρῶνος καὶ Καλυδῶνος· εἰσὶ δὲ πόλεις Αἰτωλίας.
218. ΑΙ. Αἰτωλὸς παῖς δὲ ἦν Ἐνδυμίωνος. Ὃς ἀκούσιον φόνον δράσας, ἔφυγεν εἰς τὴν ἀπ' αὐτοῦ προσαγορευθεῖσαν Αἰτωλίαν, κἀκεῖ τεκνοῦται Πλευρῶνα. Ἀφ' οὗ ἡ ἐν Αἰτωλίᾳ πόλις Πλευρὼν ἐκλήθη. Τούτῳ δὲ γίγνονται δύο παῖδες, Κύρης καὶ Καλυδών. Ἀφ' ὧν ἄλλαι δύο πόλεις ἐν Αἰτωλίᾳ προσηγορεύθησαν.
222. ΟΣ. Ὅσον ἐγὼ γνωρίζω.
223. ΕΠΙ. Δυνάμεθα, ἐμπείρως ἔχομεν.
224. ΙΣ. Ἐπίχει. ΑΚΗ. Ἀψυχοποιόν.
225. ΑΝ. Ἀναδύεται.
226. ΜΕΛ. Ἔοικε φίλον εἶναι.
227. ΝΩ. Ἀνωτέρους, νωτέρους. Κατ' ἐπίθεσιν τοῦ ν, διὰ τὴν παραλήγουσαν βραχεῖαν.
228. ΜΕ. Ὑπομενέτω ἐν τῇ μάχῃ.
233. ΜΕΛ. Ἐμπαίγμαλα, παίγνια.

Τοῖϊν δ' ἔγνω πρόσθεν Ὀϊλῆος ταχὺς Αἴας,
Αἶψα δ' ἄρ' Αἴαντα προσέφη Τελαμώνιον υἱόν·
'Αἶαν, ἐπεί τις νῶϊ θεῶν, οἳ Ὄλυμπον ἔχουσι,
'Μάντεϊ εἰδόμενος κέλεται παρὰ νηυσὶ μάχεσθαι,
'Οὐδ' ὅγε Κάλχας ἐσσί, θεοπρόπος οἰωνιστής· 70
'Ἴχνια γὰρ μετόπισθε ποδῶν ἠδὲ κνημάων
'Ῥεῖ' ἔγνων ἀπιόντος, ἀρίγνωτοι δὲ θεοί περ·
'Καὶ δ' ἐμοὶ αὐτῷ θυμὸς ἐνὶ στήθεσσι φίλοισι
'Μᾶλλον ἐφορμᾶται πολεμίζειν ἠδὲ μάχεσθαι,
'Μαιμώωσι δ' ἔνερθε πόδες καὶ χεῖρες ὕπερθεν.' 75
Τὸν δ' ἀπαμειβόμενος προσέφη Τελαμώνιος Αἴας·
'Οὕτω νῦν καὶ ἐμοὶ περὶ δέρατι χεῖρες ἄαπτοι
'Μαιμῶσιν, καί μοι μένος ὤρορε, νέρθε δὲ ποσσὶν
'Ἔσσυμαι ἀμφοτέροισι· μενοινάω δὲ καὶ οἶος
'Ἕκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτι μάχεσθαι.' 80
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
Χάρμη γηθόσυνοι, τήν σφιν θεὸς ἔμβαλε θυμῷ.
Τόφρα δὲ τοὺς ὄπιθεν Γαιήοχος ὤρσεν Ἀχαιούς,

66. ΤΟΙ. Τούτων δέ. ΟΙ. Αἴας Λοκρὸς μὲν ἦν τὸ γένος, ἀπὸ πόλεως Ὀποῦντος, πατρὸς δὲ Ὀϊλέως. Οὗτος, μετὰ τὴν τοῦ Ἰλίου πόρθησιν, αἴτιος τοῖς Ἕλλησιν ἀπωλείας ἐγένετο. Κασάνδραν γὰρ τὴν Πριάμου, ἱκέτιν οὖσαν Ἀθηνᾶς, ἐν τῷ τοῦ θεᾶς σηκῷ καθήσυχον, ὥστε τὴν θεὰν τοὺς ὀφθαλμοὺς τοῦ ξοάνου εἰς τὴν ὀροφὴν τρέψαι. Τοῖς δὲ Ἕλλησιν ὑποτρέφουσι, κὴ κατὰ τὴν Εὔβοιαν γενομένοις, χειμῶνας διήγειρε μεγάλους, ὥστε πολλοὺς αὐτῶν διαφθαρῆναι. Διαπεξάμενος δὲ Αἴας εἰς τὰς Γυράδας καλουμένας πέτρας, ἔλεγε, χωρὶς θεῶν γνώμης, διασωθῆναι. Ποσειδῶν δὲ, ἀγανακτήσας, διέχισε τὴν πέτραν, καὶ τὸν Αἴαντα τῷ κλύδωνι παρέδωκεν. Ἐκριφέντα δὲ αὐτὸν, κατάδηλον πρόν, Θέτις, ἐλεήσασα, θάπτει. Ἀθηνᾶ δὲ οὐδὲ ὅτως τοῦ ὀργῆς ἐπαύσατο, ἀλλὰ καὶ τοὺς Λοκροὺς ἠνάγκασεν ἐπὶ χίλια ἔτη εἰς Ἴλιον ἐκ κλήρου παρθένους πέμπειν. Ἡ ἱστορία παρὰ Καλλιμάχῳ ἐν Αἰτίοις· καὶ παρ' αὐτῷ τῷ Ποιητῇ ἐν Δ Ὀδυσσείας, παχυμερῶς.

70. ΟΙ. Οἰωνοσκόπος. Πῶς ᾖ ὁ Ποσειδῶν σὺν ἵλαθι τὸν Αἴαντα; Καὶ ῥητέον, ὅτι φαντασίαν παρίχει τὸ θεῖον ἑαυτοῦ.

71. ΙΧ. Ἴχνη, πατήματα.

72. ΑΡΙΓ. Εὐδιάγνωστοι.

75. ΜΑΙ. Μέλα προθυμείας ὁρμῶσιν.

78. ΩΡΟ. Ὁρμᾶται. Ὑπερβασμὸς χρόνου.

79. ΕΣ. Ὥρμηκα, ἐσπούδακα.

82. ΧΑΡ. Χαίρουσα τῇ ψυχῇ. Ἔστι δὲ ὅτι δηλοῖ ἡ λέξις καὶ τὴν μάχην.

Οἳ παρὰ νηυσὶ θοῇσιν ἀνέψυχον φίλον ἦτορ·
Τῶν ῥ' ἅμα τ' ἀργαλέῳ καμάτῳ φίλα γυῖα λέλυντο, 85
Καί σφιν ἄχος κατὰ θυμὸν ἐγίνετο, δερκομένοισι
Τρῶας, τοὶ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλῳ.
Τὼς οἵγ' εἰσορόωντες, ὑπ' ὀφρύσι δάκρυα λεῖβον·
Οὐ γὰρ ἔφαν φεύξεσθαι ὑπ' ἐκ κακοῦ· ἀλλ' Ἐνοσίχθων
Ῥεῖα μετεισάμενος κρατερὰς ὤτρυνε φάλαγγας. 90
Τεῦκρον ἔπι πρῶτον καὶ Λήϊτον ἦλθε κελεύων,
Πηνέλεών θ' ἥρωα, Θόαντά τε, Δηΐπυρόν τε,
Μηριόνην τε, καὶ Ἀντίλοχον, μήστωρας ἀϋτῆς·
Τὼς ὅγ' ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα·
Αἰδὼς, Ἀργεῖοι, κῦροι νέοι· ὔμμιν ἔγωγε 95
Μαρναμένοισι πέποιθα σαωσέμεναι νέας ἁμάς·
Εἰ δ' ὑμεῖς πολέμοιο μεθήσετε λευγαλέοιο,
Νῦν δὴ εἴδεται ἦμαρ, ὑπὸ Τρώεσσι δαμῆναι.
Ὦ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι,
Δεινὸν, ὃ ὄφρ' ἔγωγε τελευτήσεσθαι ἔφασκον, 100
Τρῶας ἐφ' ἡμετέρας ἰέναι νέας· οἳ τὸ πάρος περ
Φυζακινῆς ἐλάφοισιν ἐοίκεσαν, αἵτε κατ' ὕλην
Θώων, πορδαλίων τε, λύκων τ' ἠϊά πέλονται,

88. ΟΦ. Οἱ γὰρ ὀφθαλμοὶ καθ' Ὅμηρον ὑπὸ ταῖς ὀφρύσι. Ὡς τό·
Κοίμησόν μοι Ζηνὸς ὑπ' ὀφρύσιν ὄσσε φαεινά.
Διὰ δὲ τούτων, ἐδάκρυον. Ἕτεροι δὲ ἤκουσαν, λεληθότως ἔκλαιον. ΛΕΙ. Ἐστίαζον, ἐδάκρυον.

90. ΜΕ. Πρὸς αὐτοὺς ἀφικόμενος, μετελθὼν, ἢ μεταβληθείς.

95. ΑΙ. Αἰδέσθητε.

96. ΑΜΑΣ. Ἡμετέρας.

97. ΛΕΥ. Ὀλεθρίῳ.

98. ΕΙ. Νῦν ἀνεφάνη ἡ ἡμέρα, ἐν ᾗ ὑπὸ τῶν Τρώων ἀναιρεθήσεσθε. ΕΙ. Φαίνεται.

100. ΕΦΑ. Ὑπελάμβανον, ἔλεγον.

102. ΦΥΖΑ. Φευκτικαῖς, δειλαῖς.

103. ΘΩ. Πανθηρίων. Ὁ θὼς, ζῶον ἄλκιμον καὶ εὐκίνητον. Ἔνιοι δὲ, παραπλήσιον ὑαίνῃ. ΠΟΡ. Παρδάλεων. ΗΙΑ. Βρώματα, οὐ τὰ ἐν οἴκῳ δὲ ἐδιόμενα, ἀλλὰ τὰ ἐν ὁδῷ. Δεῦτε, φίλοι, ἤϊα φερώμεθα, Σιμωνίδης φησί· καὶ τὰ ἄχυρα δὲ ἤϊα λέγεται. Ὡς τό· Ὡς δ' ἄνεμος ζαὴς ἠΐων θημῶνα τινάξῃ. Τάχα δὲ τὰ φερόμενα· παρὰ τὸ ἴέναι. Γενηθέντος γὰρ ἀνέμου, εὐθὺς καὶ ἄνω φέρονται.

Αὔτως ἠλάσκεσθαι, ἀνάλκιδες, ἠδ' ἐπὶ χάρμῃ·
Ὡς Τρῶες τὸ πρίν γε μένος καὶ χεῖρας Ἀχαιῶν 105
Μίμνειν οὐκ ἐθέλεσκον ἐναντίον, ἠδ' ἠϊαίον·
Νῦν δ' ἔκαθεν πόλιος κοίλης ἐπὶ νηυσὶ μάχονται,
Ἡγεμόνος κακότητι, μεθημοσύνῃσί τε λαῶν,
Οἳ κέαρ ἐρίσαντες ἀμυνέμεν οὐκ ἐθέλουσι
Νηῶν ὠκυπόρων, ἀλλὰ κτείνονται ἀν' αὐτάς. 110
Ἀλλ' εἰ δὴ καὶ πάμπαν ἐτήτυμον αἴτιός ἐστιν
Ἥρως Ἀτρείδης, εὐρυκρείων Ἀγαμέμνων,
Οὕνεκ' ἀπητίμησε ποδώκεα Πηλείωνα,
Ἡμέας γ' ὅπως ἐστὶ μεθιέμεναι πολέμοιο.
Ἀλλ' ἀκεώμεθα θᾶσσον· ἀκεσαί τοι φρένες ἐσθλῶν. 115
Ὑμεῖς δ' ἐκέτι καλὰ μεθίετε θούριδος ἀλκῆς,
Πάντες ἄριστοι ἐόντες ἀνὰ στρατόν· οὐδ' ἂν ἔγωγε
Ἀνδρὶ μαχεσσαίμην, ὅστις πολέμοιο μεθείη,
Λυγρὸς ἐών· ὑμῖν δὲ νεμεσσῶμαι περὶ κῆρι.
Ὦ πέπονες, τάχα δή τι κακὸν ποιήσετε μεῖζον 120
Τῇδε μεθημοσύνῃ· ἀλλ' ἐν φρεσὶ θέσθε ἕκαστος
Αἰδῶ καὶ νέμεσιν· δὴ γὰρ μέγα νεῖκος ὄρωρεν.
Ἕκτωρ δὴ παρὰ νηυσὶ βοὴν ἀγαθὸς πολεμίζει,
Καρτερός· ἔρρηξεν δὲ πύλας καὶ μακρὸν ὀχῆα.'
Ὡς ῥα κελευτιόων Γαιήοχος ὤρσεν Ἀχαιούς· 125

104. ΗΛΑ. Ἐκκλίνουσαι, πλανώμεναι.

106. ΕΘΕ. Οὐκ ἠδύναντο.

107. ΕΚΑ. Πόῤῥωθεν.

108. ΚΑ. Κακία, διολία. ΜΕ. Ταῖς ἀμελείαις.

115. ΑΚΕ. Ἀλλ' ἰασώμεθα διὰ τάχους τὸ γεγονὸς ἁμάρτημα. ΑΚΕΣ. Εὐθεράπευτοι, εὔιατοι. Ὁ δὲ λόγος· αἱ τῶν ἀγαθῶν φρένες ῥᾳδίως πρὸς τὸ κρεῖττον μετατίθενται, εὐθεράπευτοι οὖσαι· ἢ, θεραπευτικαί εἰσιν.

119. ΑΥ. Χαλεπὸς, ἄδοξος. ΝΕ. Μέμφομαι. ΚΗ. Ἐκ ψυχῆς.

125. ΚΕΛ. Παρακελευόμενος, παρορμῶν. ΓΑΙ. Ἤτοι, ὁ ἐπὶ γῆς ὀχούμενος· ἢ, ὁ χαίρων τοῖς ἅρμασιν. Ἵππιος γὰρ ὁ θεός· ἢ, ὁ συνέχων καὶ βαστάζων τὴν γῆν. Φασὶ γὰρ, αὐτὴν ἐπὶ ὕδατος ἐστηρίχθαι. Ἐννοσίγαιος δὲ, ὁ κινῶν τὴν γῆν. Τῇ τοῦ ὕδατος γὰρ παρὰ χρόνον τινὰ μεταστάσει γίνεται ὁ σεισμός.

Ἀμφὶ δ' ἄρ' Αἴαντας δοιὰς ἵσαντο φάλαγγες
Καρτεραί, ἃς ἔτ' ἄν κεν Ἄρης ὀνόσαιτο μετελθών,
Οὔτε κ' Ἀθηναίη λαοσσόος· οἱ γὰρ ἄριστοι
Κρινθέντες Τρῶάς τε καὶ Ἕκτορα δῖον ἔμιμνον,
Φράξαντες δόρυ δουρὶ, σάκος σάκεϊ προθελύμνῳ· 130
Ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ·
Ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
Νευόντων· ὡς πυκνοὶ ἐφέστασαν ἀλλήλοισιν·
Ἔγχεα δ' ἐπήσσοντο θρασειάων ἀπὸ χειρῶν
Σειόμεν· οἱ δ' ἰθὺς φρόνεον, μέμασαν δὲ μάχεσθαι. 135
Τρῶες δὲ προέτυψαν ἀολλέες, ἦρχε δ' ἄρ' Ἕκτωρ
Ἀντικρὺ μεμαώς· ὀλοοίτροχος ὡς ἀπὸ πέτρης,
Ὅντε κατὰ ῥεφάνης ποταμὸς χειμάρροος ὤσῃ,
Ῥήξας ἀσπέτῳ ὄμβρῳ ἀναιδέος ἕγματα πέτρης,
Ὕψι τ' ἀναθρώσκων πέτεται, κτυπέει δέ θ' ὑπ' αὐτῇ 140
Ὕλη· ὁ δ' ἀσφαλέως θέει ἔμπεδον, ὄφρ' ἂν ἵκηται
Ἰσόπεδον, τότε δ' οὔτι κυλίνδεται, ἐσσύμενός περ·
Ὣς Ἕκτωρ, εἴως μὲν ἀπείλει μέχρι θαλάσσης
Ῥεῖα δ' ἐλεύσεσθαι κλισίας καὶ νῆας Ἀχαιῶν,
Κτείνων· ἀλλ' ὅτε δὴ πυκινῇς ἐνέκυρσε φάλαγξι, 145

127. ΟΝΟ. Μίμψαιτο.

128. ΛΑ. Ἢ τὸν λαὸν σεύουσα, τυτέσιν, εἰς φυγὴν ἄγουσα, ἢ σώζουσα.

129. ΚΡΙ. Διαταχθέντες.

130. ΠΡΟ. Πυκνῷ. Ἀνδρόμαχος ἐν ἰτυμολογικοῖς φησι, κυρίως λέγεσθαι τὰ ἐπαλλήλως κλάδους ἔχοντα δένδρα, διὰ τὸ θηλυμανεῖν.

132. ΨΑΥ. Ἠρέμα ἥπτοντο.

134. ΕΠ. Εἰς τὸ αὐτὸ συνήγετο, καὶ ἐκάμπτετο κραδαινόμενα.

136. ΠΡΟΥ. Προέβαλον, προέκρουσαν.

137. ΟΛΟ. Λίθος περιφερὴς, στρογγύλος, ὁ ἐν τῷ τρέχειν ὀλοὸς, τυτέσιν, ὀλέθριος, ἐπεὶ καταφερόμενος, πᾶν τὸ ἐμπίπτον βλάπτει.

138. ΣΤΕ. Ὄρους ἐξοχῆς· οὐν ἁλίας πέτρας.

139. ΑΣ. Πολλῇ. ΑΝ. Τραχείας.

140. ΥΨΙ. Ἐφ' ὕψους. ΑΝΑ. Ἀναβαλλόμενος, ἀναπηδῶν. ΠΕ. Ταχέως φέρεται.

141. ΑΣ. Ἀπαραβόλως.

142. ΙΣΟ. Ἰσόμαλον τόπον. ΕΣ. Καὶ περ ὁρμῇ πολλῇ χρώμενος.

143. ΑΠΕΙ. Ἠπείλει, ὑπισχνεῖτο. Ὅτι δὲ τὸ καυχᾶται καὶ ἐπιπλήσσει δηλοῖ.

145. ΕΝΕ. Ἐνέτυχεν. ΦΑ. Ταῖς πυκναῖς τάξεσιν.

Στῆ ῥα μάλ' ἐγχριμφθείς· οἱ δ' ἀντίοι υἷες Ἀχαιῶν,
Νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν,
Ὤσαν ἀπὸ σφείων· ὁ δὲ χασσάμενος τελεμίχθη,
Ἤϋσεν δὲ διαπρύσιον Τρώεσσι γεγωνώς·
Τρῶες, καὶ Λύκιοι, καὶ Δάρδανοι ἀγχιμαχηταί, 150
Παρμένετ'· ἤτοι δηρὸν ἐμὲ σχήσουσιν Ἀχαιοί,
Καὶ μάλα πυργηδὸν σφέας αὐτοὺς ἀρτύναντες·
Ἀλλ', οἴω, χάσσονται ὑπ' ἔγχεος, εἰ ἐτεόν με
Ὤρσε θεῶν ὤρικτος, ἐρίγδουπος πόσις Ἥρης.
Ὡς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου. 155
Δηΐφοβος δ' ἐν τοῖσι μέγα φρονέων ἐβεβήκει
Πριαμίδης, πρόσθεν δ' ἔχεν ἀσπίδα πάντοσε ἴσην,
Κόψα ποσὶ προβιβὰς, καὶ ὑπασπίδια προποδίζων·
Μηριόνης δ' αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ,
Καὶ βάλεν, ἠδ' ἀφάμαρτε, κατ' ἀσπίδα πάντοσε ἴσην, 160
Ταυρείην· τῆς δ' οὔτι διήλασεν, ἀλλὰ πολὺ πρὶν
Ἐν καυλῷ ἐάγη δολιχὸν δόρυ· Δηΐφοβος δὲ
Ἀσπίδα ταυρείην ἀπέθ' ἀπὸ ἕο, δείσε δὲ θυμῷ
Ἔγχος Μηριόνεω δαΐφρονος· αὐτὰρ ὄγ' ἥρως
Ἀψ ἑτάρων εἰς ἔθνος ἐχάζετο, χώσατο δ' αἰνῶς 165

146. ΕΓ. Ἐπειείσας.

147. ΑΜ. Ἑκατέρωθεν ἠκονημένοις, καὶ τὰ γυῖα βλάπτειν δυναμένοις.

149. ΔΙΑ. Ὡς διὰ παντὸς τοῦ πέρατος ἀκοῦσθῆναι· ἢ, διαπιράσιμον εἰς ἀκοάς· ἢ, διαφανὲς, καὶ σημαντικόν.

150. ΔΑ. Οἱ ἐν Δαρδάνῳ, πόλει τῆς Τροίας, οἰκοῦντες.

151. ΣΧΗ. Ἐφέξουσι, κωλύσουσι.

152. ΠΥΡ. Δίκην πύργου, ἐν τάξει. Ἔστι δὲ ἐπίῤῥημα παραβολικὸν, ὅμοιον τῷ σφαιρηδόν.

158. ΚΟΥ. Ἤτοι, μετέωρα καὶ ὑψηλὰ προβαίνων· ἢ, ἐπ' ἄκρων τῶν ποδῶν βαδίζων, οἱονεὶ ἀκροβηματίζων. ΥΠΑ. Ὑπὸ τῇ ἀσπίδι ἠρέμα καὶ εὐρύθμως βαίνων· ἢ, ὑπὸ τὴν ἀσπίδα τοὺς πόδας τιθεὶς· τουτέστι, περικαλύπτων, αὐτοὺς τῇ ἀσπίδι κατὰ τὴν πορείαν. Ἐξ οὗ προδηλον, ὅτι οὐκ εἶχεν ὁ Δηΐφοβος ἀμφιβρότην ἀσπίδα, ἠδὲ ὅπλα, ἐπεὶ ἂν αὐτὴν ἐκράτει.

159. ΤΙ. Κατ' αὐτοῦ ἐγοχάζετο.

162. ΚΑΥ. Καυλὸς, τὸ ἄκρον τοῦ δόρατος, τὸ ἐμβαλλόμενον εἰς τὴν ἐπιδορατίδα. ΕΑ. Κατεάγη, ἐκλάσθη.

165. ΧΩ. Ἐλυπήθη γὰρ κατ' ἀμφότερα, ἐπί τε τῷ τὴν νίκην ἀφῃρῆσθαι, καὶ ἐπὶ τῷ κεκλᾶσθαι τὸ δόρυ.

Ἀμφότερον, νίκης τε, καὶ ἔγχεος, ὃ ξυνέαξε·
Βῆ δ' ἰέναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν,
Οἰσόμενος δόρυ μακρὸν, ὅ οἱ κλισίηφι λέλειπτο,
Οἱ δ' ἄλλοι μάρναντο, βοὴ δ' ἄσβεστος ὀρώρει.
Τεῦκρος δὲ πρῶτος Τελαμώνιος ἄνδρα κατέκτα 170
Ἴμβριον αἰχμητὴν, πολυΐππου Μέντορος υἱόν.
Ναῖε δὲ Πήδαιον, πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν,
Κόρην δὲ Πριάμοιο νόθην ἔχε Μηδεσικάστην·
Αὐτὰρ ἐπεὶ Δαναῶν νέες ἤλυθον ἀμφιέλισσαι,
Ἂψ εἰς Ἴλιον ἦλθε, μετέπρεπε δὲ Τρώεσσι· 175
Ναῖε δὲ παρ Πριάμῳ· ὁ δέ μιν τίεν ἶσα τέκεσσι.
Τόν ῥ' υἱὸς Τελαμῶνος ὑπ' ἔατος ἔγχεϊ μακρῷ
Νύξ', ἐκ δ' ἔσπασεν ἔγχος· ὁ δ' αὖτ' ἔπεσεν, μελίη ὡς,
Ἥτ' ὄρεος κορυφῇ ἑκαδεν περιφαινομένοιο
Χαλκῷ ταμνομένη τέρενα χθονὶ φύλλα πελάσσῃ· 180
Ὡς πέσεν· ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
Τεῦκρος δ' ὡρμήθη, μεμαὼς ἀπὸ τεύχεα δῦσαι·
Ἕκτωρ δ' ὁρμηθέντος ἀκόντισε δουρὶ φαεινῷ·
Ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος
Τυτθόν· ὁ δ' Ἀμφίμαχον, Κτεάτου υἱ' Ἀκτορίωνος, 185
Νισσόμενον πόλεμόνδε, κατὰ στῆθος βάλε δουρί·
Δούπησεν δὲ πεσὼν, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
Ἕκτωρ δ' ὡρμήθη κόρυθα κροτάφοις ἀραρυῖαν

168. ΟΙ. Κομίσων, οἴσων. Διαφέρει δὲ τὸ οἴσων καὶ τὸ οἰσόμενος. Οἴσων μὲν γὰρ, ἑτέρου. Οἴσει θέσιον, χρεὼ, κακῶν ἄκος. Οἴσετε δ' ἄρνα λευκόν. Οἰσόμενος δὲ, ἑαυτῷ.

172. ΠΗ. Πήδαιος, πόλις Καρίας.

178. ΜΕ. Ὡς μελίαι. Ἔστι δὲ εἶδος δένδρου.

179. ΚΟ. Ἐξοχῇ. ΕΚΑ. Πόρρωθεν δρωμένου, περιόπτου.

180. ΤΕ. Τρυφερὰ, ἁπαλὰ, ῥαδίως δυναμένα τείρεσθαι. Ἔτι ᾖ, χλωρά. Ἔοικε δὲ ὥσπερ συναλγῶν τῷ δένδρῳ τοιαῦτα εἰρηκέναι.

181. ΒΡΑ. Ὠνομαίοπεπτώκειν. Ἐντεῦθεν δὲ ἀπὸ τοῦ ἤχου τῶν ὑδάτων καὶ τὸ βρέχειν ὠνόμασται. Ὁ δὲ λόγος· τὰ περὶ αὐτῶν τεύχεα ἔβραχεν.

186. ΝΙΕ. Παραγινόμενον.

Κρατὸς ἀφαρπάξαι μεγαλήτορος Ἀμφιμάχοιο·
Αἴας δ' ὁρμηθέντος ἀκόντισε δεξὶ φαεινῷ
Ἕκτορος· ἀλλ' οὔ πῃ χροὸς εἴσατο, πᾶς δ' ἄρα χαλκῷ
Σμερδαλέῳ κεκάλυφθ'· ὁ δ' ἄρ' ἀσπίδος ὀμφαλὸν ἷκτο,
Ὥστε δέ μιν σθένεϊ μεγάλῳ· ὁ δὲ χάσσατ' ὀπίσσω
Νεκρῶν ἀμφοτέρων· τὼς δ' ἐξείρυσσαν Ἀχαιοί.
Ἀμφίμαχον μὲν ἄρα Στίχιος, δῖός τε Μενεσθεὺς,
Ἀρχοὶ Ἀθηναίων, κόμισαν κατὰ λαὸν Ἀχαιῶν·
Ἴμβριον αὖτ' Αἴαντε, μεμαότε θέριδος ἀλκῆς·
Ὥστε δύ' αἶγα λέοντε, κυνῶν ὑπὸ καρχαροδόντων
Ἁρπάξαντε, φέρητον ἀνὰ ῥωπήϊα πυκνὰ,
Ὑψοῦ ὑπὲρ γαίης μετὰ γαμφηλῆσιν ἔχοντε·
Ὡς ῥα τὸν ὑψοῦ ἔχοντε δύω Αἴαντε κορυσσὰ
Τεύχεα συλήτην, κεφαλὴν δ' ἀπαλῆς ἀπὸ δειρῆς
Κόψεν Ὀϊλιάδης, κεχολωμένος Ἀμφιμάχοιο·
Ἦκε δέ μιν σφαιρηδὸν ἑλιξάμενος δι' ὁμίλου,
Ἕκτορι δὲ προπάροιθε ποδῶν πέσεν ἐν κονίῃσι.
Καὶ τότε δὴ περὶ κῆρι Ποσειδάων ἐχολώθη,
Υἱωνοῖο πεσόντος ἐν αἰνῇ δηϊότῃτι·
Βῆ δ' ἰέναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν,
Ὀτρυνέων Δαναοὺς, Τρώεσσι δὲ κήδε' ἔτευχεν.
Ἰδομενεὺς δ' ἄρα οἱ δεξικλυτὸς ἀντεβόλησεν,
Ἐρχόμενος παρ' ἑταίρου, ὅ οἱ νέον ἐκ πολέμοιο
Ἦλθε, κατ' ἰγνύην βεβλημένος ὀξέϊ χαλκῷ·

191. ΧΡΟ. Διὰ δ' χρυτὸς διῆλθε.
198. ΚΑΡ. Ὀξεῖς καὶ ἐπικαμπεῖς ὀδόντας ἰχόντων.
199. ΡΩ. Οἱ τόποι, ἐν οἷς ῥῶπες φύουν). Ῥῶπες δὲ, πολύφυλλα καὶ ἱμαντώδη φυτὰ δρυῶν.
200. ΥΥ. Ἐν ὕψει. ΓΑΜ. Γαμφαῖς, σιαγόσι. Παρὰ τὸ κεκάμφθαι.
201. ΚΟ. Δυϊκῶς. Κορυσσαὶ, ὁπλῖται.
202. ΣΥ. Ἡ Δώριόν ἐστιν, ἢ παρὰ τὸ συλησάτην.
204. ΣΦΑΙ. Δίκην σφαίρας. ΕΛΙ. Ἐπιστραφείς.
207. ΥΙ. Ἐγγόνου.
214. ΙΓ. Ἀγκύλην· ἢ, τὸ ὄπισθεν τοῦ γόνατος.

Τὸν μὲν ἑταῖροι ἔνειχαν, ὁ δ' ἰητροῖς ἐπιτείλας
Ἤϊεν ἐκ κλισίης· ἔτι γὰρ πολέμοιο μενοίνα
Ἀντιάαν· τὸν δὲ προσέφη κρείων Ἐνοσίχθων,
Εἰσάμενος φθογγὴν Ἀνδραίμονος υἷϊ Θόαντι,
Ὃς πάσῃ Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι
Αἰτωλοῖσιν ἄνασσε, θεὸς δ' ὡς τίετο δήμῳ·
'Ἰδομενεῦ, Κρητῶν βουληφόρε, πῇ τοι ἀπειλαὶ
Οἴχονται, τὰς Τρωσὶν ἀπείλεον υἷες Ἀχαιῶν;
Τὸν δ' αὖτ' Ἰδομενεὺς, Κρητῶν ἀγὸς, ἀντίον ηὔδα·
Ὦ Θόαν, ἔστις ἀνὴρ νῦν γ' αἴτιος, ὅσσον ἔγωγε
Γιγνώσκω· πάντες γὰρ ἐπισάμεθα πολεμίζειν·
Οὔτε τινὰ δέος ἴχει ἀκήριον, οὔτε τις ὄκνῳ
Εἴκων, ἀνδύεται πόλεμον κακόν· ἀλλά πῃ ἔτω
Μέλλει δὴ φίλον εἶναι ὑπερμενέϊ Κρονίωνι,
Νωϋμνῃς ἀπολέσθαι ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιούς.
'Ἀλλὰ, Θόαν· καὶ σὺ τὸ πάρος μενεδήϊος ἦθα,
'Ὀτρύνεις δὲ καὶ ἄλλον, ὅθι μεθιέντα ἴδηαι·
Τῷ νῦν μήτ' ἀπόληγε, κέλευέ τε φωτὶ ἑκάστῳ.
Τὸν δ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων·
'Ἰδομενεῦ, μὴ κεῖνος ἀνὴρ ἔτι νοστήσειεν
Ἐκ Τροίης, ἀλλ' αὖθι κυνῶν μέλπηθρα γένοιτο,

213. ΕΝ. Ἐπέμισαν.
214 ΜΕ. Ἐπεθυμεῖτο.
215. ΑΝ. Μεταλαμβάνειν, ἐφάπτεσθαι.
216. ΕΙ. Ὁμοιωθείς.
217. ΠΛΕΥ. Ἀντὶ τοῦ Πλευρῶνος καὶ Καλυδῶνος· εἰσὶ δὲ πόλεις Αἰτωλίας.
218. ΑΙ. Αἰτωλὸς παῖς μὲν ἦν Ἐνδυμίωνος. Ὃς ἀκούσιον φόνον δράσας, ἔφυγεν εἰς τὴν ἀπ' αὐτοῦ προσαγορευθεῖσαν Αἰτωλίαν, κἀκεῖ τικτοῦται Πλευρῶνα. Ἀφ' οὗ ἡ ἐν Αἰτωλίᾳ πόλις Πλευρὼν ἐκλήθη. Τούτου δὲ γίγνονται δύο παῖδες, Κύρης καὶ Καλυδών. Ἀφ' ὧν ἄλλαι δύο πόλεις ἐν Αἰτωλίᾳ προσηγορεύθησαν.
222. ΟΣ. Ὅσον ἐγὼ γνωρίζω.
223. ΕΠΙ. Δυνάμεθα, ἐμπείρως ἔχομεν.
224. ΙΣ. Ἐπίχει. ΑΚΗ. Ἀψυχοτοιόν.
225. ΑΝ. Ἀναδύεται.
226. ΜΕΛ. Ἔοικε φίλον εἶναι.
227. ΝΩ. Ἀνωνύμους, νωνύμους. Κατ' ἐπένθεσιν τοῦ ν, διὰ τὴν παραλήγουσαν βραχεῖαν.
228. ΜΕ. Ὑπομονήσας ἐν τῇ μάχῃ.
233. ΜΕΛ. Ἐμπαίγμαλα, παίγνια.

«Ὅστις ἐπ' ἤματι τῷδε ἐκὼν μεθίῃσι μάχεσθαι.
«Ἀλλ' ἄγε, τεύχεα δεῦρο λαβὼν ἴθι· ταῦτα δ' ἄμα χρὴ 235
«Σπεύδειν, αἴ κ' ὄφελός τι γενώμεθα, καὶ δύ' ἐόντε.
«Συμφερτὴ δ' ἀρετὴ τέλει ἀνδρῶν, καὶ μάλα λυγρῶν·
«Νῶϊ δὲ καί κ' ἀγαθοῖσιν ἐπιστάμεθα μάχεσθαι.»
Ὣς εἰπὼν, ὁ μὲν αὖτις ἔβη θεὸς ἀμπόνον ἀνδρῶν·
Ἰδομενεὺς δ', ὅτε δὴ κλισίην ἐύτυκτον ἵκανε, 240
Δύσετο τεύχεα καλὰ περὶ χροΐ, γέντο δὲ δόρε·
Βῆ δ' ἴμεν ἀστεροπῇ ἐναλίγκιος, ἥν τε Κρονίων
Χειρὶ λαβὼν ἐτίναξεν ἀπ' αἰγλήεντος Ὀλύμπου,
Δεικνὺς σῆμα βροτοῖσιν· ἀρίζηλοι δέ οἱ αὐγαί·
Ὡς τοῦ χαλκὸς ἔλαμπε περὶ στήθεσσι θέοντος. 245
Μηριόνης δ' ἄρα οἱ, θεράπων ἐΰς, ἀντεβόλησεν,
Ἐγγὺς ἔτι κλισίης· μετὰ γὰρ δόρυ χάλκεον ἤει
Οἰσόμενος· τὸν δὲ προσέφη θένος Ἰδομενῆος·
«Μηριόνη, Μόλου υἱὲ, πόδας ταχὺ, φίλταθ' ἑταίρων,
«Τίπτ' ἦλθες πόλεμόν τε λιπὼν καὶ δηϊοτῆτα; 250
«Ἦέ τι βέβληαι, βέλεος δέ σε τείρει ἀκωκή;
«Ἦέ τευ ἀγγελίης μετ' ἐμ' ἤλυθες; οὐδέ τι αὐτὸς
«Ἧσθαι ἐνὶ κλισίῃσι λιλαίομαι, ἀλλὰ μάχεσθαι.»

Εἰώθασι γὰρ οἱ κύνες κορεσθέντες τοῖς λειψάνοις ἐμπαίζειν· λέων γὰρ τὸ πᾶν ἐσθίει.

236. ΣΠΕΥ. Κακοπαθεῖν, ἐνεργεῖν.

237. ΣΥΜ. Ἀπὶ ῶ, συμφορητή. Τὸ δὲ ὅλον· καὶ ἡ τῶν δειλῶν καὶ ἀνάνδρων καὶ μάλα λυγρῶν δύναμις, εἰς ταὐτὸ συνελθοῦσα, ἀρετὴν γεννᾷ· εὐθυμία γὰρ φόβοις λείπει τοῖς ἀνδρείοις, εἴγε καὶ δειλοὶ ἀλλήλοις συνιόντες, ἐκάρτα δρῶσι· καὶ μάλα λυγρῶν ἀνδρῶν συμφορητὴ γίνεται ἀρετή· πόσῳ μᾶλλον, ὅτι καὶ ἀγαθοῖς ἡμεῖς δυνάμεθα μάχεσθαι;

238. ΝΩΙ. Ἡμεῖς δὲ καὶ ἀνδρείοις δυνάμεθα μάχεσθαι. Ἐπιταίμεθα γὰρ, τὰ δυνάμεθα.

239. ΑΜ. Ἐπὶ τὸν πόλεμον.

242. ΕΝΑ. Ὅμοιος.

243. ΑΙ. Λαμπροῦ.

244. ΑΡΙ. Μεγάλως ἔκδηλοι, ἀρίδηλοι.

247. ΜΕ. Ἀπῆσι γὰρ δόρυ κομίσων.

249. ΜΗ. Διὰ ἑνὸς γίχυ καὶ τὴν συγγενείας ὑπέμνησε, καὶ τὴν τῶν ποδῶν ῥώμην ἐμαρτύρησε, καὶ τὸ ὑπερβάλλον αὐτοῦ τῆς φιλοσοφίας ἐνεδείξατο.

251. ΗΕ. Ἡ τέτρωσαί τι μέρος τοῦ σώματος.

252. ΗΕ. Ἢ περί τινος ἀγγελῶν πρὸς ἐμὲ παραγέγονας.

Τὸν δ' αὖ Μηριόνης πεπνυμένος ἀντίον ηὔδα·
'Ἰδομενεῦ, Κρητῶν βελεηφόρε χαλκοχιτώνων, 255
'Ἔρχομαι, εἴ τί τοι ἔγχος ἐνὶ κλισίῃσι λέλειπται,
'Οἰσόμενος· τό νυ γὰρ κατεάξαμεν, ὃ πρὶν ἔχεσκον,
'Ἀσπίδα Δηϊφόβοιο βαλὼν ὑπερηνορέοντος.'
Τὸν δ' αὖ Ἰδομενεὺς, Κρητῶν ἀγὸς, ἀντίον ηὔδα·
'Δέρατά γ', αἴ κ' ἐθέλῃθα, καὶ ἓν καὶ εἴκοσι δῆεις, 260
'Ἑσταότ' ἐν κλισίῃ πρὸς ἐνώπια παμφαανόωντα,
'Τρωΐα, τὰ κταμένων ἀποαάνυμαι· ἐ γὰρ οἴω
'Ἀνδρῶν δυσμενέων ἑκὰς ἱσάμενος πολεμίζειν.
'Τῷ μοι δέρατά ἐστι, καὶ ἀσπίδες ὀμφαλόεσσαι,
'Καὶ κόρυθες, καὶ θώρηκες λαμπρὸν γανόωντες.' 265
Τὸν δ' αὖ Μηριόνης πεπνυμένος ἀντίον ηὔδα·
'Καί τοι ἐμοὶ παρά τε κλισίῃ καὶ νηῒ μελαίνῃ
'Πόλλ' ἔναρα Τρώων· ἀλλ' ἐ ρχεδόν ἐστιν ἑλέσθαι·
'Οὐδὲ γὰρ ἐδ' ἐμέ φημι λελασμένον ἔμμεναι ἀλκῆς,
'Ἀλλὰ μετὰ πρώτοισι μάχην ἀνὰ κυδιάνειραν 270
'Ἴσαμαι, ὁππότε νεῖκος ὀρώρηται πολέμοιο.
'Ἄλλον τόν τινα μᾶλλον Ἀχαιῶν χαλκοχιτώνων
'Λήθω μαρνάμενος, σὲ δὲ ἴδμεναι αὐτὸν ὀίω.'
Τὸν δ' αὖ Ἰδομενεὺς, Κρητῶν ἀγὸς, ἀντίον ηὔδα·
'Οἶδ' ἀρετὴν οἷός ἐσσι· τί σε χρὴ ταῦτα λέγεσθαι; 275
'Εἰ γὰρ νῦν παρὰ νηυσὶ λεγοίμεθα πάντες ἄριστοι

257. ΤΟ. Ἐκεῖνο γὰ δή.
260. ΔΗ Εὐρήσεις.
261. ΕΝΩ. Οἱ ἐναντίοι κατὰ τὰς εἰσόδους τοῖχοι. Ἵν' ᾖ, δούρατα παμφαεόντα, δηλονότι. Καὶ ἐν τῇ Θ., ὅτως· Ἅρματα δ' ἔκλιναν πρὸς ἐνώπια παμφαιόωντα.
262. ΚΤΑ. Ἀναιρεμένων. ΑΠΟ. Ἀφαιρεῦμαι.
263. ΕΚ. Μακρὰν, πόῤῥω.
265. ΓΑ. Ἀμπρυνόμενοι, γιλεοῦλες.
267. ΚΑΙ. Καὶ ἐμοὶ δή.
268. ΑΔ. Ἀλλ' οὐκ ἴσι μοι ἐγγὺς ὥστε λαβεῖν.
275. ΤΙ. Οἷον, ἐ χρή σε περὶ τούτων λέγειν τί.
276. ΕΙ. Τὸ ἑξῆς· εἰ γὰρ νῦν παρὰ νηυσὶ λεγοίμεθα εἰς λόχον, ἐδέ κεν ἔνθα τεὸν μένος. Τὰ δὲ λοιπὰ διαμίσου, πρὸς τὸ, δυσυπομόνητον εἶναι καὶ τοῖς ἀνδρα-

«Ὅστις ἐπ' ἤματι τῷδε ἑκὼν μεθίῃσι μάχεσθαι.
«Ἀλλ' ἄγε, τεύχεα δεῦρο λαβὼν ἴθι· ταῦτα δ' ἄμα χρὴ 235
«Σπεύδειν, αἴ κ' ὄφελός τι γενώμεθα, καὶ δύ' ἐόντε.
«Συμφερτὴ δ' ἀρετὴ τέλει ἀνδρῶν, καὶ μάλα λυγρῶν·
«Νῶϊ δὲ καί κ' ἀγαθοῖσιν ἐπιστάμεθα μάχεσθαι.»
Ὡς εἰπὼν, ὁ μὲν αὖτις ἔβη θεὸς ἀμπόνον ἀνδρῶν·
Ἰδομενεὺς δ', ὅτε δὴ κλισίην εὐτυκτόν ἵκανε, 240
Δύετο τεύχεα καλὰ περὶ χροΐ, γέντο δὲ δῦρε·
Βῆ δ' ἴμεν ἀστεροπῇ ἐναλίγκιος, ἥν τε Κρονίων
Χειρὶ λαβὼν ἐτίναξεν ἀπ' αἰγλήεντος Ὀλύμπου,
Δεικνὺς σῆμα βροτοῖσιν· ἀρίζηλοι δέ οἱ αὐγαί·
Ὡς τοῦ χαλκὸς ἔλαμπε περὶ στήθεσσι θέοντος. 245
Μηριόνης δ' ἄρα οἱ, θεράπων ἐΰς, ἀντεβόλησεν,
Ἐγγὺς ἔτι κλισίης· μετὰ γὰρ δόρυ χάλκεον ἤει
Οἰσόμενος· τὸν δὲ προσέφη θένος Ἰδομενῆος·
«Μηριόνη, Μόλου υἱὲ, πόδας ταχὺ, φίλταθ' ἑταίρων,
«Τίπτ' ἦλθες πόλεμόν τε λιπὼν καὶ δηϊοτῆτα; 250
«Ἦέ τι βέβληαι, βέλεος δέ σε τείρει ἀκωκή;
«Ἦέ τευ ἀγγελίης μετ' ἐμ' ἤλυθες; οὐδέ τι αὐτὸς
«Ἧσται ἐνὶ κλισίῃσι λιλαίομαι, ἀλλὰ μάχεσθαι.»

Εἰώθασι γὰρ οἱ κύνες κορεσθέντες τοῖς λειψάνοις ἐμπαίζειν· λέων δὲ τὸ πᾶν ἐσθίει.

236. ΣΠΕΥ. Κακοπαθεῖν, ἐνεργεῖν.

237. ΣΥΜ. Ἀπὶ τῷ, συμφορητή. Τὸ δὲ ὅλον· καὶ ἡ τῶν δειλῶν καὶ ἀνανδρῶν καὶ μάλα λυγρῶν δύναμις, εἰς ταὐτὸ συνελθοῦσα, ἀρετὴν γεννᾷ· εὐδαιμία γὰρ φόφασις λείπει τοῖς ἀνδρείοις, εἴγε καὶ δειλοὶ ἀλλήλοις συνιόντες, ἐνάρετα δρῶσι· καὶ μάλα λυγρῶν ἀνδρῶν συμφορητὴ γίνεται ἀρετή· πόσῳ μᾶλλον, ὅτε καὶ ἀγαθοῖς ἡμεῖς δυνάμεθα μάχεσθαι;

238. ΝΩΙ. Ἡμεῖς δὲ καὶ ἀνδρείοις δυνάμεθα μάχεσθαι. Ἐπιστάμεθα γὰρ, τὰ δυνάμεθα.

239. ΑΜ. Ἐπὶ τὸν πόλεμον.

242. ΕΝΑ. Ὅμοιος.

243. ΑΙ. Λαμπροῦ.

244. ΑΡΙ. Μεγάλως ἔκδηλοι, ἀρίδηλοι.

247. ΜΕ. Ἀπῆσι γὰρ δόρυ κομίσων.

249. ΜΗ. Δι' ἑνὸς στίχου καὶ ἡ συγγενείας ὑπέμνησε, καὶ τὴν τῶν ποδῶν ῥώμην ἐμαρτύρησε, καὶ τὸ ὑπερβάλλον αὐτοῦ τῆς φιλοστοργίας ἐνεδείξατο.

251. ΗΕ. Ἡ τέτρωσαί τι μέρος τοῦ σώματος.

252. ΗΕ. Ἢ περί τινος ἀγγελῶν πρὸς ἐμὲ παραγέγονας.

Τὸν δ' αὖ Μηριόνης πεπνυμένος ἀντίον ηὔδα·
'Ἰδομενεῦ, Κρητῶν βεληφόρε χαλκοχιτώνων, 255
'Ἔρχομαι, εἴ τί τοι ἔγχος ἐνὶ κλισίῃσι λέλειπται,
'Οἰσόμενος· τό νυ γὰρ κατεάξαμεν, ὃ πρὶν ἔχεσκον,
'Ἀσπίδα Δηϊφόβοιο βαλὼν ὑπερηνορέοντος.'
Τὸν δ' αὖ Ἰδομενεὺς, Κρητῶν ἀγὸς, ἀντίον ηὔδα·
'Δέρατά γ', αἴ κ' ἐθέλῃθα, καὶ ἓν καὶ εἴκοσι δῆεις, 260
'Ἑσταότ' ἐν κλισίῃ πρὸς ἐνώπια παμφαανόωντα,
'Τρωΐα, τὰ κταμένων ἀποαάυομαι· ἐ γὰρ οἴω
'Ἀνδρῶν δυσμενέων ἐκὰς ἱσάμενος πολεμίζειν.
'Τῷ μοι δέρατά ἐστι, καὶ ἀσπίδες ὀμφαλόεσσαι,
'Καὶ κόρυθες, καὶ θώρηκες λαμπρὸν γανόωντες.' 265
Τὸν δ' αὖ Μηριόνης πεπνυμένος ἀντίον ηὔδα·
'Καί τοι ἐμοὶ παρά τε κλισίῃ καὶ νηῒ μελαίνῃ
'Πόλλ' ἔναρα Τρώων· ἀλλ' ἐ σχεδόν ἐστιν ἑλέσθαι·
'Οὐδὲ γὰρ ἐσθ' ἐμέ φημι λελασμένον ἔμμεναι ἀλκῆς,
'Ἀλλὰ μετὰ πρώτοισι μάχην ἀνὰ κυδιάνειραν 270
'Ἴσαμαι, ὁππότε νεῖκος ὀρώρηται πολέμοιο.
'Ἄλλον πέ τινα μᾶλλον Ἀχαιῶν χαλκοχιτώνων
'Λήθω μαρνάμενος, σὲ δὲ ἴδμεναι αὐτὸν ὀίω.'
Τὸν δ' αὖ Ἰδομενεὺς, Κρητῶν ἀγὸς, ἀντίον ηὔδα·
'Οἶδ' ἀρετὴν οἷός ἐσσι· τί σε χρὴ ταῦτα λέγεσθαι; 275
'Εἰ γὰρ νῦν παρὰ νηυσὶ λεγοίμεθα πάντες ἄριστοι

257. ΤΟ. Ἐκεῖνο γὰρ δή.
260. ΔΗ Εὐρήσεις.
261. ΕΝΩ. Οἱ ἐναντίοι κατὰ τὰς εἰσόδους τοῖχοι. Ἵν' ᾖ, δούρατα παμφαείοντα, δηλονότι. Καὶ ἐν τῇ Θ. ὅτινα· Ἅρματα δ' ἔκλιναν πρὸς ἐνώπια παμφαιόωντα.
262. ΚΤΑ. Ἀναιρεμίων. ΑΠΟ. Ἀφαιρεῦμαι.
263. ΕΚ. Μακρὰν, πόῤῥω.
265. ΓΑ. Φαμπρυνόμενοι, φιλοδοξίες.
267. ΚΑΙ. Καὶ ἐμοὶ δή.
268. ΑΔ. Ἀλλ' οὐκ ἔστι μοι ἐγγὺς ὥστε λαβεῖν.
275. ΤΙ. Οἷον, ἐ χρή σε περὶ τούτων λέγειν τί.
276. ΕΙ. Τὸ ἑξῆς· εἰ γὰρ νῦν παρὰ νηυσὶ λεγοίμεθα εἰς λόχον, ἐδέ κεν ἔνθα τεὸν μένος. Τὰ δὲ λοιπὰ δηλονότι, [illegible] τὸ, δυσκολόνοντον εἶναι καὶ τῶν [illegible]

Ἐς λόχον, ἔνθα μάλις' ἀρετὴ διαείδετο ἀνδρῶν,
Ἔνθ' ὅ, τε δειλὸς ἀνὴρ, ὅς τ' ἄλκιμος, ἐξεφαάνθη·
Τοῦ μὲν γάρ τε κακοῦ τρέπετο χρὼς ἄλλυδις ἄλλῃ,
Οὐδέ οἱ ἀτρέμας ἧσθαι ἐρητύετ' ἐν φρεσὶ θυμὸς, 280
Ἀλλὰ μετοκλάζει, κὴ ἐπ' ἀμφοτέρους πόδας ἵζει·
Ἐν δέ τέ οἱ κραδίη μεγάλα στέρνοισι πατάσσει,
Κῆρας ὀϊομένῳ, πάταγος δέ τε γίνετ' ὀδόντων·
Τοῦ δ' ἀγαθοῦ οὔτ' ἄρ τρέπετο χρὼς, οὔτε τι λίην
Ταρβεῖ, ἐπειδὰν πρῶτον ἐσίζῃσι λόχον ἀνδρῶν, 285
Ἀρᾶται δὲ τάχιστα μιγήμεναι ἐν δαὶ λυγρῇ·
Οὐδέ κεν ἔνθα τέον γε μένος κὴ χεῖρας ὄροιτο.
Εἴπερ γάρ κε βλεῖο πονεύμενος, ἠὲ τυπείης,
Οὐκ ἂν ἐν αὐχένι ὄπιθε πέσοι βέλος, οὐδ' ἐνὶ νώτῳ,
Ἀλλά κεν ἢ στέρνων, ἢ νηδύος ἀντιάσειε, 290
Πρόσσω ἱεμένοιο, μετὰ προμάχων ὀαριστύν.
Ἀλλ' ἄγε, μηκέτι ταῦτα λεγώμεθα, νηπύτιοι ὡς,
Ἑσταότες, μή πού τις ὑπερφιάλως νεμεσήσῃ·
Ἀλλὰ σύγε κλισίηνδε κιὼν ἕλευ ὄβριμον ἔγχος.
Ὣς φάτο· Μηριόνης δὲ, θοῷ ἀτάλαντος Ἄρηϊ, 295

τάτοις τὴν ἐνέδραν. ΑΕ. Καταριθμοίμεθα.

277. ΔΙΑ. Δείκνυται, φαίνεται.

279. ΤΡΕ. Μετατρέπεται, μεταβάλλεται. ΑΔ. Ἀπ' ἄλλου εἰς ἄλλο κατάστημα.

280. ΕΡΗ. Κατέχεται.

281. ΜΕ. Μετακαθίζει ἐπ' ἀμφοτέρους πόδας. Ὀκλάξ γάρ ἐστι τὸ, ἐπὶ γόνυ. Ὅ ἐστιν, ἐγκλίνει τὰ γόνατα, διὰ δειλίαν μετακαθίζων.

282. ΠΑ. Κτυπεῖ, ἢ, κινεῖται μείζονι παλμῷ, ἀπὸ τοῦ πολλοῦ φόβου.

283. ΚΗ. Θάνατον προσδοκῶντι. ΠΑ. Κτύπος.

285. ΤΑΡ. Φοβεῖται. ΕΠ. Ἐπὰν ἅπαξ καθεσθῇ ἐν τῇ ἐνέδρᾳ τῶν ἀνδρῶν.

286. ΑΡΑ. Εὔχεται δὲ ὁ γενναῖος ἀνὴρ τὴν ταχίστην συμβαλεῖν τοῖς πολεμίοις. ΔΑΙ. Τῇ χαλεπῇ μάχῃ.

287. ΟΥ. Οὐδ' ἂν ἐλαυθά τις καταμέμψοιτό σε τὴν δύναμιν κὴ τὴν προθυμίαν.

288. ΒΛ. Βληθείης. ΠΟ. Ἐνεργῶν, πολεμῶν. ΤΥ. Ἐκ χειρὸς τρωθείης.

290. ΣΤΕ. Στηθῶν. ΝΗ. Τῆς γαστρός. ΑΝ. Ἀπαντήσοι, ἔλθοι.

291. ΠΡΟΣ. Ἐμπροσθεν ὁρμῶντος. ΟΑΡ. Ἐν τῇ τῶν πρωταγωνιστῶν ὁμιλίᾳ καὶ συναναστροφῇ.

292. ΛΕ. Διαλεγώμεθα, ὁμιλῶμεν. ΝΗ. Ὡς νήπιοι, κὴ ἄφρονες.

293. ΥΠΕΡ. Ὑπερφάνως, μεγάλως.

Καρπαλίμως κλισίηθεν ἀνείλετο χάλκεον ἔγχος·
Βῆ δὲ μετ' Ἰδομενῆα, μέγα πολέμοιο μεμηλώς.
Οἷος δὲ βροτολοιγὸς Ἄρης πόλεμόνδε μέτεισι,
Τῷ δὲ Φόβος, φίλος υἱὸς, ἅμα κρατερὸς καὶ ἀταρβὴς,
Ἕσπετο, ὅς τ' ἐφόβησε ταλάφρονά περ πολεμιστήν· 300
Τὼ μὲν ἄρ' ἐκ Θρήκης Ἐφύρης μέτα θωρήσσεσθον,
Ἠὲ μετὰ Φλέγυας μεγαλήτορας· οὐδ' ἄρα τώγε
Ἔκλυον ἀμφοτέρων, ἑτέροισι δὲ κῦδος ἔδωκαν·
Τοῖοι Μηριόνης τε καὶ Ἰδομενεὺς, ἀγὰ ἀνδρῶν,
Ἤϊσαν ἐς πόλεμον, κεκορυθμένοι αἴθοπι χαλκῷ. 305
Τὸν καὶ Μηριόνης πρότερος πρὸς μῦθον ἔειπε·
'Δευκαλίδη, πῇ τ' ἄρ μέμονας καταδῦναι ὅμιλον;
'Ἦ ἐπὶ δεξιόφιν παντὸς στρατοῦ, ἢ ἀνὰ μέσσους,
'Ἦ ἐπ' ἀριστερόφιν; ἐπεὶ οὔποθι ἔλπομαι ὅτω
'Δεύεσθαι πολέμοιο κορηκομόωντας Ἀχαιούς.' 310
Τὸν δ' αὖτ' Ἰδομενεὺς, Κρητῶν ἀγὸς, ἀντίον ηὔδα·
'Νηυσὶ μὲν ἐν μέσσῃσιν ἀμύνειν εἰσὶ καὶ ἄλλοι,
'Αἴαντές τε δύω, Τεῦκρός θ', ὃς ἄριστος Ἀχαιῶν

297. ΜΕ. Μεγάλως δ' πολέμου ἐπιμέλειαν καὶ φροντίδα ποιούμενος.

298. ΠΟ. Εἰς τὸν πόλεμον παραγίνεται.

299. ΑΤ. Ἄφοβος.

300. ΤΑ. Καρτερικὸν καὶ ὑπομονητικὸν φρόνημα ἔχοντα· ἀνδρεῖον.

301. ΕΦΥ. Ἐπὶ τοὺς Ἐφυραίους πάλαι καλουμένους· νῦν δ' Κραννωνίους. Ἰστέον δὲ, ὅτι Ἐφύραι εἰσὶ τέσσαρες· μία μὲν, ἡ κατὰ Θεσσαλίαν· δευτέρα δὲ, ἡ κατὰ τὴν Ἤπειρον· τρίτη δὲ, ἡ τῆς Ἤλιδος· καὶ τετάρτη, ἡ νῦν καλουμένη Κόρινθος. Νῦν οὖν λέγει τοὺς καλουμένους Κραννωνίους ἐν Θεσσαλίᾳ· ὡς Ἀπολλόδωρος ἱστορεῖ.

302. ΦΛΕ. Τοὺς ἐκ Φωκίδι οἰθέους, Γορτυνίους καλουμένους, οἳ ἐνέπρησαν τὸν ἐν Δελφοῖς ναὸν τοῦ Ἀπόλλωνος. ΦΛΕ. Φλέγυες, Γόρτυναν κατοικοῦντες, παρανομώτατον καὶ ληστικὸν διάγον βίον, καὶ, κατατρέχοντες τὴν περιοίκους, χαλεπῶς ἠδίκουν. Θηβαῖοι δὲ, πλησιόχωροι ὄντες, ἐδιδοίκεισαν καὶ μέχρι πολλοῦ, εἰ μὴ Ἀμφίων καὶ Ζῆθος, οἱ Διὸς καὶ Ἀντιόπης, ἐτείχισαν τὰς Θήβας. Εἶχε γὰρ Ἀμφίων λύραν, παρὰ Μουσῶν αὐτῷ δεδομένην· δι' ἧς κατέθελγε καὶ τοὺς λίθους, ὥστε καὶ πρὸς τὴν τειχοδομίαν αὐτομάτως ἐπέρχεσθαι. Τούτων μὲν οὖν ζώντων, οὐδὲν οἱ Φλέγυες τοὺς Θηβαίους ἠδύναντο διαθεῖναι κακόν. Θανόντων δὲ αὐτῶν, ἐπελθόντες, σὺν Εὐρυμάχῳ τῷ βασιλεῖ, τὰς Θήβας εἷλον. Πλείστα δ' τολμῶντες ἀδικήματα, κατὰ Διὸς προαιρέσεις, ὑπὸ Ἀπόλλωνος διεφθάρησαν, ὡς ἱστορεῖ Φερεκύδης.

310. ΔΕΥ. Προσδεόμεθα.

Τοξοσύνη, ἀγαθὸς δὲ καὶ ἐν ταδίῃ ὑσμίνῃ·
Οἵ μιν ἄδην ἐλόωσι καὶ ἐσσύμενον πολέμοιο, 315
Ἕκτορα Πριαμίδην, καὶ εἰ μάλα καρτερός ἐστιν.
Αἰπύ οἱ ἐσσεῖται, μάλα περ μεμαῶτι μάχεσθαι,
Κείνων νικήσαντι μένος καὶ χεῖρας ἀάπτους,
Νῆας ἐνιπρῆσαι, ὅτε μὴ αὐτός γε Κρονίων
Ἐμβάλοι αἰθόμενον δαλὸν νήεσσι θοῇσιν. 320
Ἀνδρὶ δέ κ' ἐκ ἑκόντος μέγας Τελαμώνιος Αἴας,
Ὃς θνητός τ' ἔσκε, καὶ ἔδοι Δημήτερος ἀκτήν,
Χαλκῷ τε ῥηκτὸς, μεγάλοισί τε χερμαδίοισιν·
Οὐδ' ἂν Ἀχιλλῆϊ ῥηξήνορι χωρήσειεν,
Ἐν γ' αὐτοσταδίῃ· ποσὶ δ' ὄπως ἐστὶν ἐρίζειν. 325
Νῶϊν δ' ὧδ' ἐπ' ἀριστερ' ἔχε στρατῷ, ὄφρα τάχιστα
Εἴδομεν, ἠέ τῳ εὖχος ὀρέξομεν, ἠέ τις ἡμῖν.
Ὣς φάτο· Μηριόνης δὲ, θοῷ ἀτάλαντος Ἀρηϊ,
Ἤρχ' ἴμεν, ὄφρ' ἀφίκοντο κατὰ στρατὸν, ἦ μιν ἀνώγει.
Οἱ δ' ὡς Ἰδομενῆα ἴδον, φλογὶ εἴκελον ἀλκὴν, 330
Αὐτὸν, καὶ θεράποντα, σὺν ἔντεσι δαιδαλέοισι,
Κεκλόμενοι καθ' ὅμιλον, ἐπ' αὐτῷ πάντες ἔβησαν·
Τῶν δ' ὁμὸν ἵστατο νεῖκος ἐπὶ πρύμνῃσι νέεσσιν.
Ὡς δ' ὅθ' ὑπὸ λιγέων ἀνέμων σπέρχωσιν ἄελλαι
Ἤματι τῷ, ὅτε τε πλείστη κόνις ἀμφὶ κελεύθους, 335
Οἴτ' ἄμυδις κονίης μεγάλην ἱστᾶσιν ὁμίχλην·
Ὡς ἄρα τῶν ὁμόσ' ἦλθε μάχη, μέμασαν δ' ἐνὶ θυμῷ

315. ΑΔ. Εἰς κόρον ἑλῶσιν· ὅ ἐστιν, πολέμου κορεσθῆναι ποιήσουσιν.
317. ΑΙ. Μέγα, φοβερόν. ΕΣ. Γενήσεται.
320. ΔΑ. Δαυλὸν, κεκαυμένον ξύλον.
322. ΔΗ. Τὸν σῖτον· ἐπεὶ κατασσόμενος, καὶ ἀλούμενος, ἄρτος γίγνεται.
323. ΧΑΔ. Σιδηρότρωτος.
324. ΡΗΞ. Ἀνδρείῳ. Παρὰ τὸ ἐρήσσειν. ΧΩ. Παραχωρήσειεν.
325. ΑΥ. Ἐν τῇ συστάδην μάχῃ.
327. ΕΙ. Ἴδωμεν. ΟΡ. Παραχωρῶμεν.
333. ΟΜ. Ὅμοιον, ἰσορρεπές.
334. ΑΙ. Τῶν κατὰ τὴν ἦχον ἐξίων.
336. ΑΜΥ. Ὁμόσε, ὁμῶ, εἰς τὴν αὐτὸν τόπον.

Ἀλλήλους καθ' ὅμιλον ἐναιρέμεν ὀξέϊ χαλκῷ.
Ἔφριξεν δὲ μάχη φθισίμβροτος ἐγχείῃσι
Μακρῇς, ἃς εἶχον ταμεσίχροας· ὄσσε δ' ἄμερδεν 340
Αὐγὴ χαλκείη κορύθων ἄπο λαμπομενάων,
Θωρήκων τε νεοσμήκτων, σακέων τε φαεινῶν,
Ἐρχομένων ἄμυδις· μάλα κεν θρασυκάρδιος ἔστη,
Ὅς τότε γηθήσειεν ἰδὼν πόνον, οὐδ' ἀκάχοιτο.
Τὼ δ' ἀμφὶς φρονέοντε δύω Κρόνου υἷε κραταιὼ 345
Ἀνδράσιν ἡρώεσσι τετεύχετον ἄλγεα λυγρά.
Ζεὺς μὲν ἄρα Τρώεσσι καὶ Ἕκτορι βάλλετο νίκην,
Κυδαίνων Ἀχιλῆα πόδας ταχὺν, οὐδ' ὅγε πάμπαν
Ἤθελε λαὸν ὀλέσσαι Ἀχαιϊκὸν Ἰλιόθι πρὸ,
Ἀλλὰ Θέτιν κύδαινε καὶ υἱέα καρτερόθυμον. 350
Ἀργείους δὲ Ποσειδάων ὀρόθυνε μετελθὼν,
Λάθρη ὑπεξαναδὺς πολιῆς ἁλός· ἤχθετο γὰρ ῥα
Τρωσὶν δαμναμένους, Διΐ δὲ κρατερῶς ἐνεμέσσα.
Ἦ μὲν ἀμφοτέροισιν ὁμὸν γένος, ἠδ' ἰα πάτρη,
Ἀλλὰ Ζεὺς πρότερος γεγόνει καὶ πλείονα ἤδη. 355
Τῷ ῥα καὶ ἀμφαδίην μὲν ἀλεξέμεναι ἀλέεινε,
Λάθρη δ' αἰὲν ἔγειρε κατὰ κρατὸν, ἀνδρὶ ἐοικώς,
Τὼ δ' ἔριδος κρατερῆς καὶ ὁμοιΐου πολέμοιο

339. ΕΦ. Ἐπυκνώθη δὲ ἡ μάχη τῇ τῶν δοράτων ἀνατάσει. Φρίσσειν γὰρ, τὸ, ὀρθοῦσθαι πυκνῶς.

340. ΤΑ. Τμητικὰς τοῦ χρωτός. Παρὰ τὸ, ταμῶ, ῥῆμα· οὗ ὁ μέλλων, ταμέσω. ΑΜ. Ἐτέρησεν, ἠμαύρω.

344. ΑΚΑ. Οὐδὲ λυπηθείη ἄν.

345. ΑΜ. Διάφορα καὶ κεχωρισμένα φρονοῦντε· δυϊκῶς.

346. ΤΕ. Ἔτευχον, κατεσκευάζον.

351. ΟΡΟ. Εἰς ὁρμὴν ἤγαγε. ΜΕ. Ἐπὶ αὐτοὺς παραγενόμενος.

352. ΗΧ. Ἐβαρεῖτο, ἐλυπεῖτο.

354. Η. Ὅλως δὴ, ἀληθῶς δή. ΗΔ. Τὸ πλῆρες, ἠδὲ ἰα· ἵνα ᾖ, καὶ μόνη. ΠΑ. Ἐκ τοῦ αὐτοῦ πατρός.

356. ΑΜ. Φανερῶς.

358. ΤΩ. Ὁ ὁ Ζεὺς, καὶ ὁ Ποσειδῶν, τὰ πέρατα τῆς μάχης καὶ τὴν πολέμου τείναντες καὶ ἀμφοτέρων τὴν γραῦν, ἔδεσαν ἰσχυρῷ δεσμῷ. Ὅς δεσμὸς πολλοῖς αἴτιος ἀπωλείας ἐγένετο. Τίλος γὰρ ἀποτίθεται ἀλληγορικῶς, τὰς ἑκατέρωθεν ἐξοχὰς ἐπικεκλιγμένας, μίαν μὲν Τρώων, μίαν δὲ Ἑλλήνων, καὶ Ποσειδῶνος καὶ Διὸς γνώμης, τῶν ἐγκαταπεπλεγμένων πλοκαμίδων

Πεῖραρ ἐπαλλάξαντες, ἐπ' ἀμφοτέροισι τάνυσσαν,
Ἄρρηκτόν τ' ἄλυτόν τε, τὸ πολλῶν γένατ' ἔλυσεν. 360
Ἔνθα, μεσαιπόλιός περ ἐών, Δαναοῖσι κελεύσας
Ἰδομενεὺς, Τρώεσσιν ἐπάλμενος ἐν φόβον ὦρσε·
Πέφνε γὰρ Ὀθρυονῆα, Καβησάθεν ἔνδον ἐόντα,
Ὃς ῥα νέον πολέμοιο μετὰ κλέος εἰληλάθει·
Ἤτεε δὲ Πριάμοιο θυγατρῶν εἶδος ἀρίστην, 365
Κασσάνδρην, ἀνάεδνον· ὑπέσχετο δὲ μέγα ἔργον,
Ἐκ Τροίης ἀέκοντας ἀπωσέμεν υἷας Ἀχαιῶν.
Τῷ δ' ὁ γέρων Πρίαμος ὑπό τ' ἔσχετο, καὶ κατένευσε
Δωσέμεναι· ὁ δὲ μάρναθ', ὑποσχεσίῃσι πιθήσας.
Ἰδομενεὺς δ' αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ, 370
Καὶ βάλεν ὕψι βιβάντα τυχών· ἀδὶ ἤρκεσε θώρηξ
Χάλκεος, ὃν φορέεσκε, μέσῃ δ' ἐν γαστέρι πῆξε·
Δούπησεν δὲ πεσών· ὁ δ' ἐπεύξατο, φώνησέν τε·
'Ὀθρυονεῦ, περί δή σε βροτῶν αἰνίζομ' ἁπάντων,
Εἰ ἐτεὸν δὴ πάντα τελευτήσεις, ὅσ' ὑπέσχης 375
Δαρδανίδῃ Πριάμῳ· ὁ δ' ὑπέσχετο θυγατέρα ἣν.
Καί κέ τοι ἡμεῖς ταῦτά γ' ὑποσχόμενοι τελέσαιμεν·
Δοῖμεν δ' Ἀτρείδαο θυγατρῶν εἶδος ἀρίστην,
Ἄργεος ἐξαγαγόντες, ὀπυίαμεν· εἴ κε σὺν ἄμμιν
Ἰλίῳ ἐκπέρσῃς εὐναιόμενον πολίεθρον, 380

ἀπὸ τ' ἐξοχῶν, τ' μὴ δυναμένων, μήτε ἐκγονῆναι, μήτε λυθῆναι. Ταῦτα ἐν ἀλληγορίᾳ εἰς τὸ ἰσόῤῥοπον αὐτῶν τὴν ἰσχὺν συνῆναι, διὰ τὰς τῶν θεῶν βοηθείας.

359. ΓΕΙ. Πέρας, τέλος. ΕΠ. Ἐπιπλέξαντες τὰς κῆρας, καὶ οἱονεὶ δήσαντες.

360. ΑΛΥ. Ἀντὶ τοῦ, δύσλυτον.

361. ΜΕ. Ὁ λεγόμενος σπαρτοπόλιος, ᾧ διεσπαρμέναι εἰσὶν αἱ πολιαί· ὁ μεσήλιξ.

362. ΕΝ. Ἐνεβάλλε φυγήν.

363. ΚΑ. Ἀπὸ Καβησοῦ πόλεως ἐντεδεδημηκότα. Ἔστι δὲ πόλις Θράκης.

364. ΕΙ. Ἐπὶ τὴν τοῦ πολέμου δόξαν παρεγεγόνει.

366. ΑΝΑ. Ἄνευ τῶν περὶ γάμου διδομένων δώρων.

369. ΥΠΟ. Ταῖς ὑποσχέσεσι πιστεύσας.

371. ΒΙ. Ὑψηλὰ διαβαίνοντα.

374. ΑΙ. Ἐπαινῶ.

"Ἀλλ' ἔπευ, ὄφρ' ἐπὶ νηυσὶ συνώμεθα ποντοπόροισιν
"Ἀμφὶ γάμῳ· ἐπεὶ ἔτοι ἐεδνωταὶ κακοὶ εἰμέν.'
Ὣς εἰπὼν, ποδὸς εἷλκε κατὰ κρατερὴν ὑσμίνην
Ἥρως Ἰδομενεύς· τῷ δ' Ἄσιος ἦλθεν ἀμύντωρ,
Πεζὸς πρόσθ' ἵππων· τὼ δὲ πνείοντε κατ' ὤμων
Αἰὲν ἔχ' ἡνίοχος θεράπων· ὁ δὲ ἵετο θυμῷ
Ἰδομενῆα βαλεῖν· ὁ δέ μιν φθάμενος βάλε δουρὶ
Λαιμὸν ὑπ' ἀνθερεῶνα, διὰ πρὸ δὲ χαλκὸν ἔλασσεν·
Ἤριπε δ', ὡς ὅτε τις δρῦς ἤριπεν, ἢ ἀχερωΐς,
Ἠὲ πίτυς βλωθρὴ, τήν τ' ἄρεσι τέκτονες ἄνδρες
Ἐξέταμον πελέκεσσι νεήκεσι, νηΐον εἶναι·
Ὣς ὁ πρόσθ' ἵππων καὶ δίφρῳ κεῖτο τανυσθεὶς,
Βεβρυχὼς, κόνιος δεδραγμένος αἱματοέσσης.
Ἐκ δέ οἱ ἡνίοχος πλήγη φρένας, ἃς πάρος εἶχεν,
Οὐδ' ὄγε τόλμησεν, δηΐων ὑπὸ χεῖρας ἀλύξας,
Ἀψ ἵππους τρέψαι· τὸν δ' Ἀντίλοχος μενεχάρμης
Δουρὶ μέσον περόνησε τυχών· οὐδ' ἤρκεσε θώρηξ
Χάλκεος, ὃν φορέεσκε, μέσῃ δ' ἐν γαστέρι πῆξεν.
Αὐτὰρ ὄγ' ἀθμάων ἐνεργέος ἔπεσε δίφρου·
Ἵππους δ' Ἀντίλοχος, μεγαθύμου Νέστορος υἱὸς,
Ἐξέλασε Τρώων μετ' ἐυκνήμιδας Ἀχαιούς.

381. ΣΥΝ. Συνθήκην ποιησώμεθα.
382. ΑΜ. Περὶ γάμου. ΕΕΔ. Προικοδόται.
384. ΑΜ. Βοηθός.
385. ΠΝ. Καταπίπτοντες αὐτοῦ τὸ μεταφρενον.
386. ΙΕ. Προιθυμεῖτο.
388. ΔΙΑ. Διήλασε δὴ, ὅ ἐστι, διεπέρασε, τ' σίδηρον.
389. ΑΧΕ. Ἡ λεύκη, παρὰ τὸ ἐκ τοῦ Ἀχέροντος ποταμοῦ τῶν καταχθονίων κομισθῆναι αὐτὴν ὑπὸ Ἡρακλέους, στεφαμένου αὐτῇ ἐπὶ τῇ τοῦ Κερβέρου νίκῃ.
390. ΒΛΩ. Μακρά. Παρὰ τὸ βλώσκειν, ὅ ἐστι, βαίνειν· εὐαυξὴς γὰρ.
391. ΝΕΗ. Νεαρὴ ἡκριβωμένος.
393. ΒΕ. Βρυχόμενος, σπώμενος· συντρίβων τοὺς ὀδόντας, ἢ δάκνων. Μεμιμῆσθαι δὲ τὸ γινόμενον πάθος περὶ τοὺς βιοθανοῦντας· εἰώθασι γὰρ τοὺς ὀδόντας βρύχειν.
394. ΕΚ. Ἐξεπλάγη δὴ, καὶ ἔκφρων ἐγένετο ὁ αὐτοῦ ἡνίοχος.
399. ΕΥ. Ἐστιμῶν ἐπιτυνθανόμενος.

Δηΐφοβος δὲ μάλα ᾳχεδὸν ἤλυθεν Ἰδομενῆος,
Ἀσίᾳ ἀχνύμενος, καὶ ἀκόντισε δεξὶ φαεινῷ·
Ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος
Ἰδομενεύς· κρύφθη γὰρ ὑπ' ἀσπίδι πάντοσε ἴσῃ, 405
Τὴν ἄρ' ὅγε ῥινοῖσι βοῶν καὶ νώροπι χαλκῷ
Δινωτὴν φορέεσκε, δύω κανόνεσσ' ἀραρυῖαν·
Τῇ ὕπο πᾶς ἐάλη, τὸ δ' ὑπέρπτατο χάλκεον ἔγχος·
Καρφαλέον δέ οἱ ἀσπὶς ἐπιθρέξαντος ἄϋσεν
Ἔγχεος· ἐδῃ ἄλιόν ῥα βαρείης χειρὸς ἀφῆκεν, 410
Ἀλλ' ἔβαλ' Ἱππασίδην Ὑψήνορα, ποιμένα λαῶν,
Ἧπαρ ὑπὸ πραπίδων, εἴθαρ δ' ὑπὸ γύνατ' ἔλυσε.
Δηΐφοβος δ' ἔκπαγλον ἐπεύξατο, μακρὸν ἀΰσας·
Οὐ μὰν αὖτ' ἄτιτος κεῖτ' Ἄσιος· ἀλλά ἑ φημι,
Εἰς Ἀϊδος περ ἰόντα πυλάρταο κρατεροῖο, 415
Γηθήσειν κατὰ θυμόν· ἐπεί ῥά οἱ ὤπασα πομπόν.
Ὡς ἔφατ'· Ἀργείοισι δ' ἄχος γένετ' εὐξαμένοιο,
Ἀντιλόχῳ δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν·
Ἀλλ' ἐδῃ, ἀχνύμενός περ, ἑῷ ἀμέλησεν ἑταίρῳ,
Ἀλλὰ θέων περίβη, καί οἱ σάκος ἀμφεκάλυψε. 420
Τὸν μὲν ἔπειθ' ὑποδύντε δύω ἐρίηρες ἑταῖροι,
Μηκιστεὺς, Ἐχίοιο πάϊς, καὶ δῖος Ἀλάστωρ,
Νῆας ἐπι γλαφυρὰς φερέτην, βαρέα στενάχοντε.
Ἰδομενεὺς δ' οὐ λῆγε μένος μέγα· ἵετο δ' αἰὲν
Ἤ τινα Τρώων ἐρεβεννῇ νυκτὶ καλύψαι, 425
Ἢ αὐτὸς δ[illegible] λοιγὸν Ἀχαιοῖς.

[illegible]
407. Δι[illegible]

ἐπιθύντος. ΑΥ. Ἤχησε.
414. ΑΤΙ. Ἀτιμώρητος.
415. ΠΥ. Τοῦ τοῦ πύλας ἰσχυρῶς ἐφαρμόζοντος.
416. ΠΟΜ. Σύνοδον.
425. ΕΡΕ. Σκοτεινῇ.

Ἔνθ' Αἰσυήτao διοτρεφέος φίλον υἱὸν
Ἥρω' Ἀλκάθοον· γαμβρὸς δ' ἦν Ἀγχίσαο·
Πρεσβυτάτην δ' ὤπυιε θυγατρῶν Ἱπποδάμειαν,
Τὴν περὶ κῆρι φίλησε πατὴρ καὶ πότνια μήτηρ 430
Ἐν μεγάρῳ· πᾶσαν γὰρ ὁμηλικίην ἐκέκαστο
Κάλλεϊ, καὶ ἔργοισιν, ἰδὲ φρεσί· τὔνεκα καί μιν
Γῆμεν ἀνὴρ ὤριστος ἐνὶ Τροίῃ εὐρείῃ·
Τὸν τόθ' ὑπ' Ἰδομενῆϊ Ποσειδάων ἐδάμασσε,
Θέλξας ὄσσε φαεινὰ, πέδησε δὲ φαίδιμα γυῖα. 435
Οὔτε γὰρ ἐξοπίσω φυγέειν δύνατ', οὔτ' ἀλέασθαι·
Ἀλλ', ὥστε στήλην ἢ δένδρεον ὑψιπέτηλον,
Ἀτρέμας ἑσταότα, στῆθος μέσον ἔτασε δουρὶ
Ἥρως Ἰδομενεὺς, ῥῆξεν δέ οἱ ἀμφὶ χιτῶνα
Χάλκεον, ὅς οἱ πρόσθεν ἀπὸ χροὸς ἤρκει ὄλεθρον· 440
Δὴ τότε γ' αὖον ἄυσεν, ἐρειπόμενος περὶ δουρί·
Δύπησεν δὲ πεσὼν, δόρυ δ' ἐν κραδίῃ ἐπεπήγει,
Ἡ ῥά οἱ ἀσπαίρουσα, καὶ ἐρίαχον πελέμιζεν
Ἔγχεος· ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄβριμος Ἄρης.
Ἰδομενεὺς δ' ἔκπαγλον ἐπεύξατο, μακρὸν ἀΰσας· 445
Δηΐφοβ', ἦ ἄρα δή τι εἰόσκομεν ἄξιον εἶναι
Τρεῖς ἑνὸς ἀντιπεφάσθαι, ἐπεὶ σύ περ εὔχεαι αὔτως;
Δαιμόνι, ἀλλὰ καὶ αὐτὸς ἐναντίος ἵσασ' ἐμείο,

429. ΩΠΥ. Ἐγγαμήκει.
431. ΕΚΕ. Πασῶν γὰρ τῶν ὁμηλίκων περὶ κάλλει διέφερε.
435. ΘΕΛ. Ἀπαΐσας, ἀμαυρώσας.
436. ΑΛΕ. Οὔτε ἐκκλῖναι καὶ φυγεῖν.
437. ΥΨΙ. Ἐφ' ὕψους τὰ φύλλα ἔχον.
440. ΗΡ. Ἀπῆρχεν, ἐκώλυεν.
441. ΑΥ. Ἠρὸν, ἐξύ. ΑΥΣ. Ἐβόησεν. ΕΡΕΙ. Σχιζόμενος, διακοπτόμενος ὁ χιτών.
442. ΔΟΥ. Ἐψόφησεν, ἀπέθανεν· ἐκ τοῦ παρακολουθοῦντος.
443. ΑΣ. Κινυμένη, πάλλουσα. ΟΥ. Τὸν σαυροτῆρα τοῦ δόρατος· τυτθός, τὸ ὄπισθεν μέρος· ὃ καὶ γρόσφον καὶ γόρδυγγα φασι. ΠΕ. Ἐδόνησε, διέσεισεν.
444. ΑΦ. Καθ' ὃ μέρος ἐκλύεται ὁ τοῦ δόρατος κίνησις.
446. ΑΞ. Ἄρα ἀξίως καὶ διόστους δοκοῦμέν σοι εὐχεῖν, τρεῖς ἀνθ' ἑνὸς ἀποφονευκότες;

Δηΐφοβος δὲ μάλα ᾳχεδὸν ἤλυθεν Ἰδομενῆος,
Ἀσίῳ ἀχνύμενος, καὶ ἀκόντισε δουρὶ φαεινῷ·
Ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος
Ἰδομενεύς· κρύφθη γὰρ ὑπ' ἀσπίδι πάντοσε ἴσῃ, 405
Τὴν ἄρ' ὅγε ῥινοῖσι βοῶν καὶ νώροπι χαλκῷ
Δινωτὴν φορέεσκε, δύω κανόνεσσ' ἀραρυῖαν·
Τῇ ὑπὸ πᾶς ἐάλη, τὸ δ' ὑπέρπατο χάλκεον ἔγχος·
Καρφαλέον δέ οἱ ἀσπὶς ἐπιθρέξαντος ἄϋσεν
Ἔγχεος· ὀδὺ ἅλιόν ῥα βαρείης χειρὸς ἀφῆκεν, 410
Ἀλλ' ἔβαλ' Ἱππασίδην Ὑψήνορα, ποιμένα λαῶν,
Ἧπαρ ὑπὸ πραπίδων, εἶθαρ δ' ὑπὸ γούνατ' ἔλυσε.
Δηΐφοβος δ' ἔκπαγλον ἐπεύχετο, μακρὸν ἀΰσας·
'Οὐ μὰν αὖτ' ἄτιτος κεῖτ' Ἄσιος· ἀλλά ἑ φημι,
Εἰς Ἀϊδός περ ἰόντα πυλάρταο κρατεροῖο, 415
Γηθήσειν κατὰ θυμόν· ἐπεί ῥά οἱ ὄπασα πομπόν.'
Ὣς ἔφατ'· Ἀργείοισι δ' ἄχος γένετ' εὐξαμένοιο,
Ἀντιλόχῳ δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν·
Ἀλλ' ὀδὺ, ἀχνύμενός περ, ἐὺ ἀμέλησεν ἑταίρου,
Ἀλλὰ θέων περίβη, καί οἱ σάκος ἀμφεκάλυψε. 420
Τὸν μὲν ἔπειθ' ὑποδύντε δύω ἐρίηρες ἑταῖροι,
Μηκιστεὺς, Ἐχίοιο πάϊς, καὶ δῖος Ἀλάστωρ,
Νῆας ἐπὶ γλαφυρὰς φερέτην, βαρέα στενάχοντε.
Ἰδομενεὺς δ' οὐ λῆγε μένος μέγα· ἵετο δ' αἰεὶ
Ἤ τινα Τρώων ἐρεβεννῇ νυκτὶ καλύψαι, 425
Ἢ αὐτὸς δυπῆσαι, ἀμύνων λοιγὸν Ἀχαιοῖς.

403. ΑΧ. Ὑπὲρ Ἀσίῳ λελυπημένος.
407. ΔΙ. Εὖ περιδιδυημένην, καὶ κυκλοτερῆ.
408. ΕΑ. Συνεσάλη.
409. ΚΑΡ. Ἤρεν. Ὅθεν καὶ ὁ καρπὸς, καὶ τὸ κάρφος. ΕΠΙ. Ἐπιψαύσαντας, ἢ ἐπιλθόντος. ΑΥ. Ἤχησε.
414. ΑΤΙ. Ἀτιμώρητος.
415. ΠΥ. Τοῦ τὰς πύλας ἰσχυρῶς ἐφαρμόζοντος.
416. ΠΟΜ. Σύνοδον.
425. ΕΡΕ. Σκοτεινῇ.

Ἔνθ' Αἰσυήτao διοτρεφέος φίλον υἱὸν
Ἥρω' Ἀλκάθοον· γαμβρὸς δ' ἦν Ἀγχίσαο·
Πρεσβυτάτην δ' ὤπυιε θυγατρῶν Ἱπποδάμειαν,
Τὴν περὶ κῆρι φίλησε πατὴρ καὶ πότνια μήτηρ 430
Ἐν μεγάρῳ· πᾶσαν γὰρ ὁμηλικίην ἐκέκαστο
Κάλλεϊ, καὶ ἔργοισιν, ἰδὲ φρεσί· τέκνεκα καί μιν
Γῆμεν ἀνὴρ ὄριστος ἐνὶ Τροίῃ εὐρείῃ·
Τὸν τόθ' ὑπ' Ἰδομενῆϊ Ποσειδάων ἐδάμασσε,
Θέλξας ὄσσε φαεινὰ, πέδησε δὲ φαίδιμα γυῖα. 435
Οὔτε γὰρ ἐξοπίσω φυγέειν δύνατ', οὔτ' ἀλέασθαι·
Ἀλλ', ὥστε στήλην ἢ δένδρεον ὑψιπέτηλον,
Ἀτρέμας ἑσταότα, στῆθος μέσον ἔτασε δουρὶ
Ἥρως Ἰδομενεὺς, ῥῆξεν δέ οἱ ἀμφὶ χιτῶνα
Χάλκεον, ὅς οἱ πρόσθεν ἀπὸ χροὸς ἤρκει ὄλεθρον· 440
Δὴ τότε γ' αὖον ἄυσεν, ἐρειπόμενος περὶ δουρί·
Δύπησεν δὲ πεσὼν, δόρυ δ' ἐν κραδίῃ ἐπεπήγει,
Ἡ ῥά οἱ ἀσπαίρουσα, καὶ ὀρίαχον πελέμιζεν
Ἔγχεος· ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄβριμος Ἄρης.
Ἰδομενεὺς δ' ἔκπαγλον ἐπεύξατο, μακρὸν ἀΰσας· 445
Δηΐφοβ', ἦ ἄρα δή τι εἰόσκομεν ἄξιον εἶναι
Τρεῖς ἑνὸς ἀντιπεφάσθαι, ἐπεὶ σύ περ εὔχεαι αὔτως;
Δαιμόνι', ἀλλὰ καὶ αὐτὸς ἐναντίος ἵσασ' ἐμείο,

429. ΩΠΥ. Ἐγγαμήκει.
431. ΕΚΕ. Πασῶν γὰρ τῶν ὁμηλίκων τῷ κάλλει διέφερε.
435. ΘΕΛ. Ἀπαΐσας, ἀμαυρώσας.
436. ΑΛΕ. Οὔτε ἐκκλῖναι καὶ φυγεῖν.
437. ΥΨΙ. Ἐφ' ὕψους τὰ φύλλα ἔχον.
440. ΗΡ. Ἀπῆρκει, ἐκώλυεν.
441. ΑΥ. Ἠρέμα, ἠξύ. ΑΥΣ. Ἐδόησεν. ΕΡΕΙ. Σχιζόμενος, διακοπτόμενος ὁ χιτών.
442. ΔΟΥ. Ἐψόφησεν, ἀπέθανεν· ἐκ τοῦ παρακολουθοῦντος.
443. ΑΣ. Κινουμένη, πάλλουσα. ΟΥ. Τὸν σαυρωτῆρα τοῦ δόρατος· τουτέστι, τὸ ὄπισθεν μέρος· ὃ καὶ γρόσφον καὶ γέρδυγγα φασι. ΠΕ. Ἐδόησε, διέσεισεν.
444. ΑΦ. Καθ' ὃ μέρος ἐκλύεται ὁ τοῦ δόρατος κίνησις.
446. ΑΞ. Ἄρα ἀξίως καὶ διόττως δοκοῦμέν σοι εὐχεῖν, τρεῖς ἀνθ' ἑνὸς ἀποφαινόμενοι;

Τοξοσύνη, ἀγαθὸς δὲ καὶ ἐν σταδίῃ ὑσμίνῃ·
Οἵ μιν ἄδην ἐλόωσι καὶ ἐσσύμενον πολέμοιο, 315
Ἕκτορα Πριαμίδην, καὶ οἱ μάλα πάρτερός ἐστιν.
Αἰπύ οἱ ἐσσεῖται, μάλα περ μεμαῶτι μάχεσθαι;
Κείνων νικήσαντι μένος καὶ χεῖρας ἀάπτους,
Νῆας ἐνιπρῆσαι, ὅτε μὴ αὐτός γε Κρονίων
Ἐμβάλοι αἰθόμενον δαλὸν νήεσσι θοῇσιν. 320
Ἀνδρὶ δέ κ' ἐκ ἕκηλε μέγας Τελαμώνιος Αἴας,
Ὃς θνητός τ' εἴη, καὶ ἔδοι Δημήτερος ἀκτήν,
Χαλκῷ τε ῥηκτὸς, μεγάλοισί τε χερμαδίοισιν·
Οὐδ' ἂν Ἀχιλλῆϊ ῥηξήνορι χωρήσειεν,
Ἐν γ' αὐτοσταδίῃ· ποσὶ δ' ἔπως ἐστὶν ἐρίζειν. 325
Νῶϊν δ' ὧδ' ἐπ' ἄριστε· ἔχε στρατῷ, ὄφρα τάχιστα
Εἴδομεν, ἠέ τῳ εὖχος ἀρέζομεν, ἠέ τις ἡμῖν.
Ὣς φάτο· Μηριόνης δὲ, θοῷ ἀτάλαντος Ἀρηϊ,
Ἤρχ' ἴμεν, ὄφρ' ἀφίκοντο κατὰ στρατὸν, ἦ μιν ἀνώγει.
Οἱ δ' ὡς Ἰδομενῆα ἴδον, φλογὶ εἴκελον ἀλκὴν, 330
Αὐτὸν, καὶ θεράποντα, σὺν ἔντεσι δαιδαλέοισι,
Κεκλόμενοι καθ' ὅμιλον, ἐπ' αὐτῷ πάντες ἔβησαν·
Τῶν δ' ὁμὸν ἵστατο νεῖκος ἐπὶ πρύμνῃσι νέεσσιν.
Ὡς δ' ὅθ' ὑπὸ λιγέων ἀνέμων σπέρχωσιν ἄελλαι
Ἤματι τῷ, ὅτε τε πλείστη κόνις ἀμφὶ κελεύθους, 335
Οἴτ' ἄμυδις κονίης μεγάλην ἱστᾶσιν ὀμίχλην·
Ὣς ἄρα τῶν ὁμόσ' ἦλθε μάχη, μέμασαν δ' ἐνὶ θυμῷ

315. ΑΔ. Εἰς κόρον ἐλῶσιν· ὅ ἐστιν, πολέμου κορεσθῆναι ποιήσουσιν.
317. ΑΙ. Μέγα, φοβερόν. ΕΣ. Γενήσεται.
320. ΔΑ. Δαυλὸν, κεκαυμένον ξύλον.
322. ΔΗ. Τὸν σῖτον· ἐπεὶ κατασσόμενος, καὶ ἁλόμενος, ἄρτος γίγνεται.
323. ΧΑΔ. Σιδηρότρωτος.
324. ΡΗΝ. Ἀνδρείῳ. Παρὰ τὸ ἐήσσειν. ΧΩ. Παραχωρήσειν.
325. ΑΥ. Ἐν τῇ συγάδῃ μάχῃ.
327. ΕΙ. Ἴδωμεν. ΟΡ. Παρείχομεν.
333. ΟΜ. Ὅμοιον, ἰσορροπία.
334. ΑΙ. Τῶν κατὰ τὴν ἦχον ὀξέων.
336. ΑΜΥ. Ὁμόσι, ὁμῷ, εἰς τὸν αὐτὸν τόπον.

Ἀλλήλους καθ' ὅμιλον ἐναιρέμεν ὀξέϊ χαλκῷ.
Ἔφριξεν δὲ μάχη φθισίμβροτος ἐγχείῃσι
Μακρῇς, ἃς εἶχον ταμεσίχροας· ὄσσε δ' ἄμερδεν 340
Αὐγὴ χαλκείη κορύθων ἄπο λαμπομενάων,
Θωρήκων τε νεοσμήκτων, σακέων τε φαεινῶν,
Ἐρχομένων ἄμυδις· μάλα κεν θρασυκάρδιος εἴη,
Ὃς τότε γηθήσειεν ἰδὼν πόνον, οὐδ' ἀκάχοιτο.
Τὼ δ' ἀμφὶς φρονέοντε δύω Κρόνου υἷε κραταιὼ 345
Ἀνδράσιν ἠρώεσσι τετεύχετον ἄλγεα λυγρά.
Ζεὺς μὲν ἄρα Τρώεσσι καὶ Ἕκτορι βάλλετο νίκην,
Κυδαίνων Ἀχιλῆα πόδας ταχὺν, οὐδ' ὄγε πάμπαν
Ἤθελε λαὸν ὀλέσσαι Ἀχαιϊκὸν Ἰλιόθι πρὸ,
Ἀλλὰ Θέτιν κύδαινε καὶ υἱέα καρτερόθυμον. 350
Ἀργείους δὲ Ποσειδάων ὀρόθυνε μετελθὼν,
Λάθρη ὑπεξαναδὺς πολιῆς ἁλός· ἤχθετο γάρ ῥα
Τρωσὶν δαμναμένους, Διΐ δὲ κρατερῶς ἐνεμέσσα.
Ἦ μὲν ἀμφοτέροισιν ὁμὸν γένος, ἠδ' ἰα πάτρη,
Ἀλλὰ Ζεὺς πρότερος γεγόνει καὶ πλείονα ἤδη. 355
Τῷ ῥα καὶ ἀμφαδίην μὲν ἀλεξέμεναι ἀλέεινε,
Λάθρη δ' αἰὲν ἔγειρε κατὰ στρατὸν, ἀνδρὶ ἐοικώς,
Τὼ δ' ἔριδος κρατερῆς καὶ ὁμοιΐου πολέμοιο

339. ΕΦ. Ἐπυκνώθη δὲ ἡ μάχη τῇ τῶν δοράτων ἀνατάσει. Φρίσσειν γὰρ, τὸ, ὀρθοῦσθαι πυκνῶς.

340. ΤΑ. Τμητικὰς τοῦ χρωτός. Παρὰ τὸ, ταμῶ, βῆμα· οὐ ὁ μέλλων, ταμέσω. ΑΜ. Ἐτέρωσεν, ἠμαύρωσε.

344. ΑΚΑ. Οὐδὲ λυπηθείη ἄν.

345. ΑΜ. Διάφορα καὶ κεχωρισμένα φρονοῦντες· δυϊκῶς.

346. ΤΕ. Ἔτευχον, κατεσκευάζον.

351. ΟΡΟ. Εἰς ὁρμὴν ἤγαγε. ΜΕ. Ἐπὶ αὐτοὺς παρακινούμενος.

352. ΗΧ. Ἐβαρεῖτο, ἐλυπεῖτο.

354. Η. Ὅλως δὴ, ἀληθῶς δή. ΗΔ. Τὸ πλῆρες, ἠδὲ ἅα· ἵνα ᾖ, καὶ μόνη. ΠΑ. Ἐκ τοῦ αὐτοῦ πατρός.

356. ΑΜ. Φανερῶς.

358. ΤΩ. Ὁ ὁ Ζεὺς, καὶ ὁ Ποσειδῶν, τὰ πέρατα τῆς μάχης καὶ τοῦ πολέμου τείνοντες καὶ ἀμφοτέρων τῶν στρατῶν, ἔδεσαν ἰσχυρῷ δεσμῷ. Ὃς δεσμὸς πολλοῖς αἴτιος ἀπωλείας ἐγένετο. Τέλος γὰρ ἀποτίθεται ἀλληγορικῶς, τὰς ἑκατέρωθεν ἐξοχὰς ἐπικεπλεγμένους, μίαν μὲ Τρώων, μίαν δὲ Ἑλλήνων, καὶ Ποσειδῶνος καὶ Διὸς γνώμην, τῶν ἐγκαταπεπλεγμένων πλουσιωτάτων

Πεῖραρ ἐπαλλάξαντες, ἐπ' ἀμφοτέροισι τάνυσσαν,
Ἀρρηκτόν τ' ἄλυτόν τε, τὸ πολλῶν γόνατ' ἔλυσεν. 360
Ἔνθα, μεσαιπόλιος περ ἐών, Δαναοῖσι κελεύσας
Ἰδομενεὺς, Τρώεσσιν ἐπάλμενος ἐν φόβον ὦρσε·
Πέφνε γὰρ Ὀθρυονῆα, Καβησόθεν ἔνδον ἐόντα,
Ὃς ῥα νέον πολέμοιο μετὰ κλέος εἰληλούθει·
Ἤτεε δὲ Πριάμοιο θυγατρῶν εἶδος ἀρίστην, 365
Κασσάνδρην, ἀνάεδνον· ὑπέσχετο δὲ μέγα ἔργον,
Ἐκ Τροίης ἀέκοντας ἀπωσέμεν υἷας Ἀχαιῶν.
Τῷ δ' ὁ γέρων Πρίαμος ὑπό τ' ἔσχετο, καὶ κατένευσε
Δωσέμεναι· ὁ δὲ μάρναθ', ὑποσχεσίῃσι πιθήσας.
Ἰδομενεὺς δ' αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ, 370
Καὶ βάλεν ὕψι βιβάντα τυχών· ὀδὶ ἤρκεσε θώρηξ
Χάλκεος, ὃν φορέεσκε, μέσῃ δ' ἐν γαστέρι πῆξε·
Δούπησεν δὲ πεσών· ὁ δ' ἐπεύξατο, φώνησέν τε·
'Ὀθρυονεῦ, περί σε βροτῶν αἰνίζομ' ἁπάντων,
Εἰ ἐτεὸν δὴ πάντα τελευτήσεις, ὅσ' ὑπέσχης 375
Δαρδανίδῃ Πριάμῳ· ὁ δ' ὑπέσχετο θυγατέρα ἥν.
Καί κέ τοι ἡμεῖς ταῦτά γ' ὑποσχόμενοι τελέσαιμεν·
Δοῖμεν δ' Ἀτρείδαο θυγατρῶν εἶδος ἀρίστην,
Ἄργεος ἐξαγαγόντες, ὀπυιέμεν· εἴ κε σὺν ἄμμιν
Ἰλίου ἐκπέρσῃς εὐναιόμενον πολίεθρον, 380

ἀπὸ τῶ ἐξοχῶν, τῶ μὴ δυναμένων, μήτε ἐφαπτῆναι, μήτε λυθῆναι. Ταῦτα δὴ φλληγορεῖ εἰς τὸ ἰσόῤῥοπον αὐτῶν τὴν ἰσχὺν συστῆναι, διὰ τὰς τῶν θεῶν βοηθείας.

359. ΓΕΙ. Πέρας, τέλος. ΕΠ, Ἐπιπλέξαντες τὰς κῆρας, καὶ οἱονεὶ δήσαντες.

360. ΑΛΥ. Ἀντὶ Ξ, δύσλυτον.

361. ΜΕ. Ὁ λεγόμενος σπαρτοπόνηρος, ᾧ διεσπαρμέναι εἰσὶν αἱ πολιαί· ὁ μισῆλιξ.

362. ΕΝ. Ἐνιβαλλε φυγήν.

363. ΚΑ. Ἀπὸ Καβησὲ πόλεως ἐντεδεδημηκότα. Ἔστι δὲ πόλις Θράκης.

364. ΕΙ. Ἐπὶ τὴν τῦ πολέμυ δόξαν παρεγεγόνει.

366. ΑΝΑ. Ἄνευ τῶν περὶ γάμυ διδομένων δώρων.

369. ΥΠΟ. Ταῖς ὑποχέσεσι πιστεύσας.

371. ΒΙ. Ὑψηλὰ βιβαίνοντα.

374. ΑΙ. Ἐπαινῶ.

«Ἀλλ ἔπευ, ὄφρ' ἐπὶ πυσὶ συνώμεθα πωντοπόροισιν
«Ἀμφὶ γάμῳ· ἐπεὶ ὄτει ἐεδνωταὶ κακοὶ εἰμέν.»
Ὣς εἰπὼν, ωοδὸς εἷλκε κατὰ κρατερὴν ὑσμίνην·
Ἥρως Ἰδομενεύς· τῷ δ' Ἄσιος ἦλθεν ἀμύνταωρ,
Πεζὸς ωρόσθ' ἵππων· τὼ δὲ ωνείοντε κατ' ὤμων 385
Αἰὲν ἔχ' ἡνίοχος θεράπων· ὁ δὲ ἵετο θυμῷ
Ἰδομενῆα βαλεῖν· ὁ δέ μιν φθάμενος βάλε δεξὶ
Λαιμὸν ὑπ' ἀνθερεῶνα, διὰ ωρὸ δὲ χαλκὸν ἔλασσεν·
Ἤριπε δ', ὡς ὅτε τις δρῦς ἤριπεν, ἢ ἀχερωὶς,
Ἠὲ πίτυς βλωθρὴ, τήν τ' ὄρεσι τέκτονες ἄνδρες 390
Ἐξέταμον ωελέκεσσι νεήκεσι, νηΐον εἶναι·
Ὣς ὁ ωρόσθ' ἵππων κὴ δίφρῳ κεῖτο τανυσθεὶς,
Βεβρυχὼς, κόνιος δεδραγμένος αἱματοέσσης.
Ἐκ δέ οἱ ἡνίοχος πλήγη φρένας, ἃς πάρος εἶχεν,
Οὐδ' ὄγε τόλμησεν, δηΐων ὑπὸ χεῖρας ἀλύξας, 395
Ἀψ ἵππους τρέψαι· τὸν δ' Ἀντίλοχος μενεχάρμης
Δεξὶ μέσον περόνησε τυχών· ἐδ' ἤρκεσε θώρηξ
Χάλκεος, ὃν φορέεσκε, μέσῃ δ' ἐν γαστέρι πῆξεν.
Αὐτὰρ ὄγ' ἀσθμαίνων εὐεργέος ἔκπεσε δίφρου·
Ἵππους δ' Ἀντίλοχος, μεγαθύμου Νέστορος υἱὸς, 400
Ἐξέλασε Τρώων μετ' ἐυκνήμιδας Ἀχαιούς.

381. ΣΥΝ. Συνθήκην ωοιησώμεθα.
382. ΑΜ. Περὶ γάμου. ΕΕΔ. Πρεσβεύσονται.
384. ΑΜ. Βοηθός.
385. ΠΝ. Καταπηδῶντες αὐτοῦ τὸ μετάφρενον.
386. ΙΕ. Προθυμεῖτο.
388. ΔΙΑ. Διήλασε δὲ, ὅ ἐστι, διεπέρασε, τὴν σίδηρον.
389. ΑΧΕ. Ἡ λεύκη, παρὰ τὸ ἐκ τοῦ Ἀχέροντος ποταμοῦ τῶν καταχθονίων κομισθῆναι αὐτὴν ὑπὸ Ἡρακλέους, στεφαμένου αὐτῇ ἐπὶ τῇ τοῦ Κερβέρου νίκῃ.
390. ΒΛΩ. Μακρά. Παρὰ τὸ βλώσκειν, ὅ ἐστι, βαίνειν· εὐαυξὴς γὰρ.
391. ΝΕΗ. Νεωστὶ ἠσκημένας.
393. ΒΕ. Βρυχόμενος, σπώμενος, συντρίβων τοὺς ὀδόντας, ἢ δάκνων. Μιμεῖται δὲ τὸ γινόμενον πάθος περὶ τοὺς βιοθανοῦντας· οἴεσθαι γὰρ τοὺς ὀδόντας βρύχειν.
394. ΕΚ. Ἐξεπλάγη δὲ, καὶ ἐπτόητο ἐγένετο ὁ αὐτοῦ ἡνίοχος.
399. ΕΥ. Ἐκ ωαφῶν [illegible] μένα.

Δηΐφοβος δὲ μάλα σχεδὸν ἦλυθεν Ἰδομενῆος,
Ἀσίῳ ἀχνύμενος, καὶ ἀκόντισε δερὶ φαεινῷ·
Ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος
Ἰδομενεύς· κρύφθη γὰρ ὑπ' ἀσπίδι πάντοσε ἴσῃ, 405
Τὴν ἄρ' ὅγε ῥινοῖσι βοῶν καὶ νώροπι χαλκῷ
Δινωτὴν φορέεσκε, δύω κανόνεσσ' ἀραρυῖαν·
Τῇ ὕπο πᾶς ἐάλη, τὸ δ' ὑπέρπατο χάλκεον ἔγχος·
Καρφαλέον δέ οἱ ἀσπὶς ἐπιθρέξαντος ἄυσεν
Ἔγχεος· ἠδ' ἄλιόν ῥα βαρείης χειρὸς ἀφῆκεν, 410
Ἀλλ' ἔβαλ' Ἱππασίδην Ὑψήνορα, ποιμένα λαῶν,
Ἧπαρ ὑπὸ πραπίδων, εἶθαρ δ' ὑπὸ γύνατ' ἔλυσε.
Δηΐφοβος δ' ἔκπαγλον ἐπεύχετο, μακρὸν ἀύσας·
Οὐ μὰν αὖτ' ἄτιτος κεῖται Ἄσιος· ἀλλά ἑ φημι,
Εἰς Ἀΐδος περ ἰόντα πυλάρταο κρατεροῖο, 415
Γηθήσειν κατὰ θυμόν· ἐπεί ῥά οἱ ὤπασα πομπόν.
Ὣς ἔφατ'· Ἀργείοισι δ' ἄχος γένετ' εὐξαμένοιο,
Ἀντιλόχῳ δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν·
Ἀλλ' ἠδ', ἀχνύμενός περ, ἑοῦ ἀμέλησεν ἑταίρου,
Ἀλλὰ θεῶν περίβη, καί οἱ σάκος ἀμφεκάλυψε. 420
Τὸν μὲν ἔπειθ' ὑποδύντε δύω ἐρίηρες ἑταῖροι,
Μηκιστεὺς, Ἐχίοιο πάϊς, καὶ δῖος Ἀλάστωρ,
Νῆας ἐπὶ γλαφυρὰς φερέτην, βαρέα στενάχοντε.
Ἰδομενεὺς δ' οὐ λῆγε μένος μέγα· ἵετο δ' αἰεὶ
Ἤ τινα Τρώων ἐρεβεννῇ νυκτὶ καλύψαι, 425
Ἢ αὐτὸς δηπῆσαι, ἀμύνων λοιγὸν Ἀχαιοῖς.

403. ΑΧ. Ὑπὲρ Ἀσίῳ λελυπημένος.
407. ΔΙ. Εὖ περιδεδινημένην, καὶ κυκλοτερῆ.
408. ΕΑ. Συνεσάλη.
409. ΚΑΡ. Ἠρόν. Ὅθεν καὶ ὁ καρπός, καὶ τὸ κάρφος. ΕΠΙ. Ἐπιψαύσαντας, ἢ ἐπελθόντος. ΑΥ. Ἤχησε.
414. ΑΤΙ. Ἀτιμώρητος.
415. ΠΥ. Τοῦ τὰς πύλας ἰσχυρῶς ἁρμόζοντος.
416. ΠΟΜ. Σύνοδον.
425. ΕΡΕ. Σκοτεινῇ.

Ἔνθ' Αἰσυήταο διοτρεφέος φίλον υἱὸν
Ἥρω' Ἀλκάθοον· γαμβρὸς δ' ἦν Ἀγχίσαο·
Πρεσβυτάτην δ' ὤπυιε θυγατρῶν Ἱπποδάμειαν,
Τὴν περὶ κῆρι φίλησε πατὴρ καὶ πότνια μήτηρ 430
Ἐν μεγάρῳ· πᾶσαν γὰρ ὁμηλικίην ἐκέκαστο
Κάλλεϊ, καὶ ἔργοισιν, ἰδὲ φρεσί· τὔνεκα καί μιν
Γῆμεν ἀνὴρ ὤριστος ἐνὶ Τροίῃ εὐρείῃ·
Τὸν τόθ' ὑπ' Ἰδομενῆϊ Ποσειδάων ἐδάμασσε,
Θέλξας ὄσσε φαεινὰ, πέδησε δὲ φαίδιμα γυῖα. 435
Οὔτε γὰρ ἐξοπίσω φυγέειν δύνατ', οὔτ' ἀλέασθαι·
Ἀλλ', ὥστε στήλην ἢ δένδρεον ὑψιπέτηλον,
Ἀτρέμας ἑσταότα, στῆθος μέσον ἔτασε δουρὶ
Ἥρως Ἰδομενεὺς, ῥῆξεν δέ οἱ ἀμφὶ χιτῶνα
Χάλκεον, ὅς οἱ πρόσθεν ἀπὸ χροὸς ἤρκει ἄλεθρον· 440
Δὴ τότε γ' αὖον ἄυσεν, ἐρειπόμενος περὶ δουρί·
Δύπησεν δὲ πεσὼν, δόρυ δ' ἐν κραδίῃ ἐπεπήγει,
Ἡ ῥά οἱ ἀσπαίρουσα, καὶ ὀρίαχον πελέμιζεν
Ἔγχεος· ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄβριμος Ἄρης.
Ἰδομενεὺς δ' ἔκπαγλον ἐπεύξατο, μακρὸν ἀύσας· 445
Δηΐφοβ', ἦ ἄρα δή τι εἰόμεθ' ἄξιον εἶναι
Τρεῖς ἑνὸς ἀντιπεφάσθαι, ἐπεὶ σύ περ εὔχεαι αὔτως;
Δαιμόνι', ἀλλὰ καὶ αὐτὸς ἐναντίος ἵσασ' ἐμείο,

429. ΩΠΥ. Ἐγγαμήκει.
431. ΕΚΕ. Πασῶν γὰρ τῶν ὁμηλίκων περὶ κάλλει διέφερε.
435. ΘΕΛ. Ἀπαλήσας, ἀμαυρώσας.
436. ΑΛΕ. Οὔτε ἐκκλῖναι καὶ φυγεῖν.
437. ΥΥΙ. Ἐφ' ὕψους τὰ φύλλα ἔχον.
440. ΗΡ. Ἀπῤῥγειν, ἐκάλυεν.
441. ΑΥ. Ἠρῶν, ὀξύ. ΑΥΣ. Ἐβόησεν. ΕΡΕΙ. Σχιζόμενος, διακοπτόμενος ὁ χιτών.
442. ΔΟΥ. Ἐψόφησεν, ἀπέθανεν· ἐκ τοῦ παρακολουθοῦντος.
443. ΑΣ. Κινουμένη, πάλλουσα. ΟΥ. Τὸν σαυροντῆρα τοῦ δόρατος· τουτέστι, τὸ ὄπισθεν μέρος· ὃ καὶ γόσφον καὶ σόρθυγγα φασι. ΠΕ. Ἐδόνησε, διέσεισεν.
444. ΑΦ. Καθ' ὃ μέρος ἐκλύεται ἡ τοῦ δόρατος κίνησις.
446. ΑΞ. Ἄρα ἀξίως καὶ διόντως δοκοῦμέν σοι εὐχεῖν, τρεῖς ἑνὸς ἀντιφανεύσεσθαι;

‘Ὄφρα ἴδῃς, οἷος Ζηνὸς γόνος ἐνθάδ᾽ ἱκάνω,
‘Ὃς πρῶτος Μίνωα τέκε Κρήτῃ ἐπίδερον· 450
‘Μίνως δ᾽ αὖ τέκεθ᾽ υἱὸν ἀμύμονα Δευκαλίωνα·
‘Δευκαλίων δ᾽ ἐμὲ τίκτε, πολέσσ᾽ ἄνδρεσσιν ἄνακτα,
‘Κρήτῃ ἐν εὐρείῃ· νῦν δ᾽ ἐνθάδε νῆες ἔνεικαν,
‘Σοί τε κακὸν, καὶ πατρὶ, καὶ ἄλλοισι Τρώεσσιν.’
Ὣς φάτο· Δηΐφοβος δὲ διάνδιχα μερμηρίζεν, 455
Ἦ τινά πῃ Τρώων ἑταρίσσαιτο μεγαθύμων,
Ἦ ἀναχωρήσας, ἢ πειρήσαιτο καὶ οἶος.
Ὧδε δέ οἱ Φρονέοντι δοάσσατο κέρδιον εἶναι,
Βῆναι ἐπ᾽ Αἰνείαν· τὸν δ᾽ ὕστατον εὗρεν ὁμίλῳ
Ἑσταότ᾽· αἰεὶ γὰρ Πριάμῳ ἐπεμήνιε δίῳ, 460
Οὕνεκ᾽ ἄρ᾽ ἐσθλὸν ἐόντα μετ᾽ ἀνδράσιν οὔτι τίεσκεν.
Ἀγχοῦ δ᾽ ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
‘Αἰνεία, Τρώων βουληφόρε, νῦν σε μάλα χρὴ
‘Γαμβρῷ ἀμυνέμεναι, εἴπερ τί σε κῆδος ἱκάνει·
‘Ἀλλ᾽ ἕπευ, Ἀλκαθόῳ ἐπαμύνομεν, ὅς σε πάρος περ 465
‘Γαμβρὸς ἐὼν ἔθρεψε δόμοις ἔνι, τυτθὸν ἐόντα·
‘Τὸν δέ τοι Ἰδομενεὺς δερικλυτὸς ἐξενάριξεν.’
Ὣς φάτο· τῷ δ᾽ ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε·

450. ΕΠΙ. Φύλακα. Τῷ τόνῳ δὲ ἀναγνωστέον προπαροξυτόνως, ὡς ἐπίκουρον.

456. ΕΤΑ. Ἑταῖρον καὶ συνεργὸν λάβοι.

458. ΔΟΑ. Ἔδοξε. Ἀντὶ τοῦ, ἐδοξάσατο.

459. ΒΗ. Τροίας ἁλούσης, Αἰνείας, Ἀγχίσην παραλαβὼν τὸν πατέρα, ἔφυγε. Ναυαγίῳ δὲ περιπεσὼν περὶ τὸν Ἄθω, ἀνῆκε σὺν τῷ πατρί. Καὶ Ἀγχίσης μὲν πρὸς τῷ Καλαύρῳ ὄρει, πλησίον Ἀνθέμου ποταμοῦ, τελευτᾷ. Θάψας δὲ αὐτὸν Αἰνείας, ὅπου καὶ νῦν τάφος ἐστὶν Ἀγχίσου λεγόμενος, ἐν Πυάνῃ, κατὰ βούλησιν τῆς μητρὸς Ἀφροδίτης, πόλιν ἔκτισε, τὴν ἀπ᾽ αὐτοῦ Αἰνειάδα προσαγορευθεῖσαν. Τελευτήσαντος δὲ τούτου, ὁ ἐξ αὐτῆς γενόμενος παῖς, λάθρα ἐπὶ τὴν πατρῴαν παραγενόμενος, καὶ πόλιν ἀναστήσας, παραλαβών τε τὸν γρατὸν, μετῴκισεν εἰς Ἰταλίαν.

460. ΕΠΕ. Ἐπιμόνως ὠργίζετο.

461. ΤΙ. Οὐδαμῶς ἐτίμα.

464. ΚΗ. Συγγένεια. Ὅτι ᾖ, λύπη. γρ. Κῦδος.

Βῆ δὲ μετ' Ἰδομενῆα, μέγα πολέμοιο μεμηλώς.
Ἀλλ' οὐκ Ἰδομενῆα φόβος λάβε, τηλύγετον ὥς, 470
Ἀλλ' ἔμενε, ὡς ὅτε τις σῦς ἤρεσιν ἀλκὶ πεποιθὼς,
Ὅς τε μένει κολοσυρτὸν ἐπερχόμενον πολὺν ἀνδρῶν
Χώρῳ ἐν οἰοπόλῳ, φρίσσει δέ τε νῶτον ὕπερθεν·
Ὀφθαλμὼ δ' ἄρα οἱ πυρὶ λάμπετον· αὐτὰρ ὀδόντας
Θήγει, ἀλέξασθαι μεμαὼς κύνας ἠδὲ καὶ ἄνδρας. 475
Ὣς μένεν Ἰδομενεὺς δουρικλυτὸς, οὐδ' ὑπεχώρει,
Αἰνείαν ἐπιόντα βοῇ θοόν· αὖε δ' ἑταίρους,
Ἀσκάλαφόν τ' ἐσορῶν, Ἀφαρῆά τε, Δηΐπυρόν τε,
Μηριόνην τε, καὶ Ἀντίλοχον, μήστωρας ἀϋτῆς·
Τοὺς ὅγ' ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα· 480
Δεῦτε, φίλοι, καί μ' οἴω ἀμύνατε· δείδια δ' αἰνῶς
Αἰνείαν ἐπιόντα πόδας ταχὺν, ὅς μοι ἔπεισιν·
Ὃς μάλα καρτερός ἐστι μάχῃ ἔνι φῶτας ἐναίρειν·
Καὶ δ' ἔχει ἥβης ἄνθος, ὅ, τε κράτος ἐστὶ μέγιστον.
Εἰ γὰρ ὁμηλικίη γε γενοίμεθα τῷδ' ἐνὶ θυμῷ, 485
Αἶψά κεν ἠὲ φέροιτο μέγα κράτος, ἠὲ φεροίμην.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες, ἑνὶ φρεσὶ θυμὸν ἔχοντες,
Πλησίοι ἔσταν, σάκε' ὤμοισι κλιναντες.
Αἰνείας δ' ἑτέρωθεν ἐκέκλετο οἷς ἑτάροισι,
Δηΐφοβόν τε, Πάριν τ' ἐσορῶν, καὶ Ἀγήνορα δῖον, 490
Οἵ οἱ ἅμ' ἡγεμόνες Τρώων ἔσαν· αὐτὰρ ἔπειτα
Λαοὶ ἕπονθ', ὡσεί τε μετὰ κτίλον ἕσπετο μῆλα

469. ΜΕ. Ἐπιμέλειαν καὶ φροντίδα ποιούμενος.
470. ΤΗ. Παῖδα μονογενῆ.
473. ΟΙΟ. Ἤτοι ἐν ᾧ οἶος ἀναστρέφονται, ὅ ἐστι, πρόβατα. Πολεῖν γὰρ τὸ, ἀναστρέφεσθαι· ἢ, ἐν ᾧ οἶός τις καὶ μόνος πολεῖται· ἐξ ὃ δηλοῖ, τῷ ἐρήμῳ. ΦΡΙΣ. Ἴσησι.
475. ΘΗ. Ἀκονᾷ.
478. ΑΣ. Ἀσκάλαφος, ὁ λίαν σκληρός· παρὰ τὸ ἀσκελὴς ἢ ἀφῆς.
484. ΑΝ. Τὸ ἀκρότατον ἢ ἀκμῆς.
485. ΟΜΗ. Ἀντὶ ᾧ, ὁμήλικες.
487. ΕΝΑ. Ἓν καὶ τὸ αὐτὸ φρονοῦντες.
492. ΚΤΙ. Κριόν.

'Ὄφρα ἴδῃς, οἷος Ζηνὸς γόνος ἐνθάδ' ἱκάνω,
'Ὃς πρῶτος Μίνωα τέκε Κρήτῃ ἐπίδρομον· 450
'Μίνως δ' αὖ τέκεθ' υἱὸν ἀμύμονα Δευκαλίωνα·
'Δευκαλίων δ' ἐμὲ τίκτε, πολέσσ' ἄνδρεσσιν ἄνακτα,
'Κρήτῃ ἐν εὐρείῃ· νῦν δ' ἐνθάδε νῆες ἔνεικαν,
'Σοί τε κακὸν, καὶ πατρὶ, καὶ ἄλλοισι Τρώεσσιν.'
Ὣς φάτο· Δηΐφοβος δὲ διάνδιχα μερμηρίζεν, 455
Ἦ τινά πῃ Τρώων ἑταρίσσαιτο μεγαθύμων,
Ἢ ἀψ ἀναχωρήσας, ἢ πειρήσαιτο καὶ οἶος.
Ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
Βῆναι ἐπ' Αἰνείαν· τὸν δ' ὕστατον εὗρεν ὁμίλῳ
Ἑστάότ'· αἰεὶ γὰρ Πριάμῳ ἐπεμήνιε δίῳ, 460
Οὕνεκ' ἄρ' ἐσθλὸν ἐόντα μετ' ἀνδράσιν ἔτι τίεσκεν.
Ἀγχῦ δ' ἱσάμενος ἔπεα πτερόεντα προσηύδα·
'Αἰνεία, Τρώων βουληφόρε, νῦν σε μάλα χρὴ
'Γαμβρῷ ἀμυνέμεναι, εἴπερ τί σε κῆδος ἱκάνει·
'Ἀλλ' ἕπευ, Ἀλκαθόῳ ἐπαμύνομεν, ὅς σε πάρος περ 465
'Γαμβρὸς ἐὼν ἔθρεψε δόμοις ἔνι, τυτθὸν ἐόντα·
'Τὸν δέ τοι Ἰδομενεὺς δουρικλυτὸς ἐξενάριξεν.'
Ὣς φάτο· τῷ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε·

450. ΕΠΙ. Φύλακα. Τῷ τόνῳ δὲ ἀναγνωστέον προπαροξυτόνως, ὡς ἐπίκουρον.

456. ΕΤΑ. Ἑταῖρον καὶ συνεργὸν λάβοι.

458. ΔΟΑ. Ἔδοξε. Ἀντὶ ᾗ, ἐδοξάσατο.

459. ΒΗ. Τροίας ἁλούσης, Αἰνείας, Ἀγχίσην παραλαβὼν τὸν πατέρα, ἔφυγε. Ναυαγίῳ δὲ περιπεσὼν περὶ τὸν Ἄθω, ἀνῆκε σὺν τῷ πατρί. Καὶ Ἀγχίσης μὲν πρὸς τῷ Καλαύρῳ ὄρει, πλησίον Ἀνθέμου ποταμοῦ, τελευτᾷ. Θάψας δὲ αὐτὸν Αἰνείας, ὅπου καὶ νῦν τάφος ἐστὶ Ἀγχίσου λεγόμενος, ἐν Πυάνῃ, κατὰ βούλησιν τῆς μητρὸς Ἀφροδίτης, πόλιν ἔκτισε, τὴν ἀπ' αὐτοῦ Αἰνειάδα προσαγορευθεῖσαν. Τελευτήσαντος δὲ τούτου, ὁ ἐξ αὐτῆς γενόμενος παῖς, λάθρα ἐπὶ τὴν πατρῴαν περαγενόμενος, καὶ πόλιν ἀναστήσας, παραλαβών τε τὸν γρατὸν, μετῴκισεν εἰς Ἰταλίαν.

460. ΕΠΕ. Ἐπιμόνως ὠργίζετο.

461. ΤΙ. Οὐδαμῶς ἐτίμα.

464. ΚΗ. Συγγένεια. Ὅτι ᾗ, λύπη. γρ. Κῦδος.

Βῆ δὲ μετ' Ἰδομενῆα, μέγα πτολέμοιο μεμηλώς.
Ἀλλ' οὐκ Ἰδομενῆα φόβος λάβε, τηλύγετον ὥς, 470
Ἀλλ' ἔμεν', ὡς ὅτε τις σῦς ὄρεσιν ἀλκὶ πεποιθὼς,
Ὅς τε μένει κολοσυρτὸν ἐπερχόμενον πολὺν ἀνδρῶν
Χώρῳ ἐν οἰοπόλῳ, φρίσσει δέ τε νῶτον ὕπερθεν·
Ὀφθαλμὼ δ' ἄρα οἱ πυρὶ λάμπετον· αὐτὰρ ὀδόντας
Θήγει, ἀλέξασθαι μεμαὼς κύνας ἠδὲ καὶ ἄνδρας. 475
Ὣς μένεν Ἰδομενεὺς δουρικλυτὸς, οὐδὸ ὑπεχώρει,
Αἰνείαν ἐπιόντα βοῇ θοόν· αὖε δ' ἑταίρους,
Ἀσκάλαφόν τ' ἐσορῶν, Ἀφαρῆά τε, Δηΐπυρόν τε,
Μηριόνην τε, καὶ Ἀντίλοχον, μήστωρας ἀϋτῆς·
Τοὺς ὅγ' ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα· 480
Δεῦτε, φίλοι, καί μ' οἴω ἀμύνατε· δείδια δ' αἰνῶς
Αἰνείαν ἐπιόντα πόδας ταχὺν, ὅς μοι ἔπεισιν·
Ὃς μάλα καρτερός ἐστι μάχῃ ἔνι φῶτας ἐναίρειν·
Καὶ δ' ἔχει ἥβης ἄνθος, ὅ, τε κράτος ἐστὶ μέγιστον.
Εἰ γὰρ ὁμηλικίη γε γενοίμεθα τῷδ' ἐνὶ θυμῷ, 485
Αἶψά κεν ἠὲ φέροιτο μέγα κράτος, ἠὲ φεροίμην.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες, ἑνὰ φρεσὶ θυμὸν ἔχοντες,
Πλησίοι ἔσταν, σάκε' ὤμοισι κλιναντες.
Αἰνείας δ' ἑτέρωθεν ἐκέκλετο οἷς ἑτάροισι,
Δηΐφοβόν τε, Πάριν τ' ἐσορῶν, καὶ Ἀγήνορα δῖον, 490
Οἵ οἱ ἅμ' ἡγεμόνες Τρώων ἔσαν· αὐτὰρ ἔπειτα
Λαοὶ ἔπονθ', ὡσεί τε μετὰ κτίλον ἕσπετο μῆλα

469. ΜΕ. Ἐπιμέλειαν καὶ φροντίδα ποιούμενος.
470. ΤΗ. Παῖδα μονογενῆ.
473. ΟΙΟ. Ἤτοι ἐν ᾧ οἶδες ἀναιρεῖσθαι, ὅ ἐστι, πρόβατα. Πολεῖν γὰρ τὸ, ἀναιρεῖσθαι· ἢ, ἐν ᾧ οἶδός τις καὶ μόνος πολεῖται· ἐξ ὃ δηλοῖ, τῷ ἐρήμῳ. ΦΡΙΣ. Ἴστησι.
475. ΘΗ. Ἀκουᾷ.
478. ΑΣ. Ἀσκάλαφος, ὁ λίαν σκληρός· παρὰ τὸ ἀσκελὴς ἢ ἀφῆς.
484. ΑΝ. Τὸ ἀκρότατον ἢ ἀκμῆς.
485. ΟΜΗ. Ἀντὶ ἡ, ὁμήλικες.
487. ΕΝΑ. Ἓν καὶ τὸ αὐτὸ φρονοῦντες.
492. ΚΤΙ. Κριός.

Πιόμεν' ἐκ βοτάνης· γάνυται δ' ἄρα τε φρένα ποιμήν·
Ὣς Αἰνείᾳ θυμὸς ἐνὶ στήθεσσι γεγήθει,
Ὡς ἴδε λαῶν ἔθνος ἐπισπόμενον ἑοῖ αὐτῷ. 495
Οἱ δ' ἀμφ' Ἀλκαθόῳ αὐτοχεδὸν ὡρμήθησαν
Μακροῖσι ξυστοῖσι· περὶ στήθεσσι δὲ χαλκὸς
Σμερδαλέον κονάβιζε, τιτυσκομένων καθ' ὅμιλον
Ἀλλήλων· δύο δ' ἄνδρες ἀρήϊοι, ἔξοχοι ἄλλων,
Αἰνείας τε, καὶ Ἰδομενεὺς, ἀτάλαντοι Ἄρηϊ, 500
Ἵεντ' ἀλλήλων ταμέειν χρόα νηλέϊ χαλκῷ.
Αἰνείας δὲ πρῶτος ἀκόντισεν Ἰδομενῆος·
Ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος·
Αἰχμὴ δ' Αἰνείαο κραδαινομένη κατὰ γαίης
Ὤχετ', ἐπεί ῥ' ἄλιον στιβαρῆς ἀπὸ χειρὸς ὄρουσεν. 505
Ἰδομενεὺς δ' ἄρα Οἰνόμαον βάλε γαστέρα μέσσην·
Ῥῆξε δὲ θώρηκος γύαλον, διὰ δ' ἔντερα χαλκὸς
Ἤφυσ'· ὁ δ' ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ.
Ἰδομενεὺς δ' ἐκ μὲν νέκυος δολιχόσκιον ἔγχος
Ἔσπασατ', ἠδ' ἄρ' ἔτ' ἄλλα δυνήσατο τεύχεα καλὰ 510
Ὤμοιϊν ἀφελέσθαι· ἐπέιγετο γὰρ βελέεσσιν.
Οὐ γὰρ ἔτ' ἔμπεδα γυῖα ποδῶν ἦν ὁρμηθέντι,
Οὔτ' ἄρ' ἐπαΐξαι μετ' ἐὸν βέλος, οὔτ' ἀλέασθαι·
Τῷ ῥα καὶ ἐν σταδίῃ μὲν ἀμύνετο νηλεὲς ἦμαρ,
Τρέσσαι δ' ἠκέτι ῥίμφα πόδες φέρον ἐκ πολέμοιο. 515
Τῷ δὲ βάδην ἀπιόντος ἀκόντισε δουρὶ φαεινῷ
Δηΐφοβος· δὴ γάρ οἱ ἔχεν κότον ἐμμενὲς αἰεί·

493. ΠΙΟ. Πιώμενα. ΒΟ. Ἀντὶ ΕΥ, μετὰ τὴν βοτάνην καὶ νομήν. ΓΑ. Διαχεῖται, χαίρει.

497. ΕΥ. Τοῖς ἐξισμένοις δόρασιν.

501. ΙΕΝ. Προιθυμοῦντο.

507. ΓΥ. Τὸ κοῖλον τοῦ θώρακος.

ΔΙΑ. Διήντλησε δὲ καὶ διέκοψε τὰ ἔντερα αὐτοῦ τὸ δόρυ.

515. ΤΡΕΣ. Διαφυγεῖν μετὰ δίους τρέσαι.

516. ΒΑ. Ἠρέμα ἀπερχομένου.

517. ΚΟ. Ἐπιμόνως γὰρ αὐτῷ ἀρεγίζετο.

Ἀλλ' ὄγε ἠ τόθ' ἁμαρτεν, ὁ δ' Ἀσκάλαφον βάλε δεξὶ,
Υἱὸν Ἐνυαλίοιο, δι' ὤμου δ' ὄβριμον ἔγχος
Ἔχεν· ὁ δ' ἐν κονίῃσι πεσὼν ἔλε γαῖαν ἀγοεσῷ. 520
Οὐδ' ἄρα πω τι πέπυτο βριήπυος ὄβριμος Ἄρης·
Υἱος ἑοῖο πεσόντος ἐνὶ κρατερῇ ὑσμίνῃ·
Ἀλλ' ὅγ' ἄρ' ἄκρῳ Ὀλύμπῳ ὑπὸ χρυσέοισι νέφεσσιν
Ἧτο, Διὸς βυλῇσιν ἐελμένος, ἔνθα περ ἄλλοι
Ἀθάνατοι θεοὶ ἦσαν, ἐεργόμενοι πολέμοιο. 525
Οἱ δ' ἀμφ' Ἀσκαλάφῳ αὐτοχεδὸν ὠρμήθησαν·
Δηΐφοβος μὲν ἀπ' Ἀσκαλάφου πήληκα φαεινὴν
Ἥρπασε· Μηριόνης δὲ θοῷ ἀτάλαντος Ἄρηϊ
Δεξὶ βραχίονα τύψεν ἐπάλμενος, ἐκ δ' ἄρα χειρὸς
Αὐλῶπις τρυφάλεια χαμαὶ βόμβησε πεσοῦσα. 530
Μηριόνης δ' ἐξαῦτις ἐπάλμενος, αἰγυπιὸς ὡς,
Ἐξέρυσε πρυμνοῖο βραχίονος ὄβριμον ἔγχος·
Ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο· τὸν δὲ Πολίτης,
Αὐτοκασίγνητος, περὶ μέσσω χεῖρε τιτήνας,
Ἐξήγεν πολέμοιο δυσηχέος, ὄφρ' ἵκεθ' ἵππους 535
Ὠκέας, οἵ οἱ ὄπισθε μάχης ἠδὲ πολέμοιο
Ἕασαν, ἡνίοχόν τε καὶ ἅρματα ποικίλ' ἔχοντες·
Οἳ τόν γε πρὸς ἄστυ φέρον βαρέα στενάχοντα,
Τειρόμενον· κατὰ δ' αἷμα νεοτάτῳ ἔρρεε χειρός.
Οἱ δ' ἄλλοι μάρναντο, βοὴ δ' ἄσβεστος ὀρώρει. 540

520. ΕΣ. Διέχε, διῆλθεν.

521. ΠΕ. Οὐδέ πω ἐμεμαθήκει. Ἐζήτηται δὲ, πῶς, θεὸς ὤν, ὁ Ἄρης οὐκ εἶδε περὶ τοῦ υἱοῦ; Ῥητέον ὅτι, παρὰ τὴν ποιητὴν οἱ θεοὶ, σωματικῶς λαμβανόμενοι, ἀνθρωποειδῶς ἐπίστανται, καὶ ἀθανασίᾳ μόνον διαφέροντες ἀνθρώπων, τοῖς αὐτοῖς ἐπίστανται παθεσι. ΒΡΙ. Μέγα καὶ βαρὺ βοῶν. Παρὰ τὸ ἐπόνει, ὅ ἐστι, φωνεῖν.

524. ΕΕΛ. Συγκεκλεισμένος.

525. ΕΕΡ. Εἰργόμενοι, κωλυόμενοι.

527. ΠΗ. Περικεφαλαίαν, λόφον.

530. ΒΟΜ. Ἤχησε.

532. ΒΡΑ. Τοῦ ἰσχάτου ἔχοντος ἀπὸ τῆς ἐκφύσεως τὴν ἀρχὴν ἐπὶ τὴ νῶτον.

534. ΤΙ. Περὶ τὰ μέσα αὐτοῦ τὰς χεῖρας διατείνας, καὶ συλλαβών.

535. ΔΥ. Κακὸν ἔχων φέροντα.

539. ΝΕΟΤ. Νεωτέρου.

Αἰνείας δ' Ἀφαρῆα Καλητορίδην ἐπορέσας
Λαιμὸν τύψ', ἐπί οἱ τετραμμένον, ὀξέϊ δουρί·
Ἐκλίνθη δ' ἑτέρωσε κάρη, ἐπὶ δ' ἀσπὶς ἐάφθη,
Καὶ κόρυς· ἀμφὶ δέ οἱ θάνατος χύτο θυμοραϊστής.
Ἀντίλοχος δὲ Θόωνα, μεταστρεφθέντα δοκεύσας, 545
Οὔτασ' ἐπαΐξας· ἀπὸ δὲ φλέβα πᾶσαν ἔκερσεν,
Ἥτ' ἀνὰ νῶτα θέουσα διαμπερὲς, αὐχένι' ἱκάνει·
Τὴν ἀπὸ πᾶσαν ἔκερσεν· ὁ δ' ὕπτιος ἐν κονίῃσι
Κάππεσεν, ἄμφω χεῖρε φίλοις ἑτάροισι πετάσσας.
Ἀντίλοχος δ' ἐπόρουσε, καὶ αἴνυτο τεύχε' ἀπ' ὤμων, 550
Παπτάνων· Τρῶες δὲ περισταδὸν ἄλλοθεν ἄλλος
Οὔταζον σάκος εὐρὺ παναίολον, οὐδὲ δύναντο
Εἴσω ἐπιγράψαι τέρενα χρόα νηλέϊ χαλκῷ
Ἀντιλόχου· περὶ γάρ ῥα Ποσειδάων ἐνοσίχθων
Νέστορος υἱὸν ἔρυτο, καὶ ἐν πολλοῖσι βέλεσσιν. 555
Οὐ μὲν γάρ ποτ' ἄνευ δηΐων ἦν, ἀλλὰ κατ' αὐτοὺς
Στρωφᾶτ'· οὐδέ οἱ ἔγχος ἔχ' ἀτρέμας, ἀλλὰ μάλ' αἰεὶ
Σειόμενον ἐλέλικτο· τιτύσκετο δὲ φρεσὶν ᾗσιν,
Ἤ τευ ἀκοντίσαι, ἠδὲ σχεδὸν ὁρμηθῆναι.
Ἀλλ' οὐ λῆθ' Ἀδάμαντα τιτυσκόμενος καθ' ὅμιλον 560
Ἀσιάδην, ὅς οἱ ἄντα σάκος μέσον ὀξέϊ χαλκῷ,
Ἐγγύθεν ὁρμηθείς· ἀμενήνωσεν δέ οἱ αἰχμὴν
Κυανοχαῖτα Ποσειδάων, βιότοιο μεγήρας.
Καὶ τὸ μὲν αὐτοῦ μεῖν', ὥστε σκῶλος πυρίκαυστος,

542. ΛΑΙ. Τὸν βρόγχον.
543. ΕΠΙ. Ἐπικατήχθη δὲ αὐτῷ ἡ ἀσπίς· ὅ ἐστιν, ἐπικατηνέχθη. Παρὰ τὸ ἵπταμαι.
544. ΘΥ. Ὁ τὴν ψυχὴν φθείρων.
546. ΑΠΟ. Ὅλην δὲ ἀπέτεμε τὴν νωτιαίαν φλέβα. ΕΚΕΡ. Ἔτεμεν, ἔκειρεν.
547. ΘΕ. Κατὰ τὰ νῶτα τεταμένη.
551. ΠΕ. Περιϊστάμενοι.
557. ΣΤΡΩ. Ἀνεστρέφετο.
558. ΣΕΙ. Κινούμενον. ΕΛΕ. Εἱλεῖτο, ἐστρέφετο.
559. ΤΕΥ. Τινός.
562. ΑΜ. Ἀθεεῖ γενέσθαι ἐπνίγησε.
563. ΜΕ. Φθονήσας τοῦ βίου· ὁ ἐστερημένος τῆς ζωῆς.
564. ΣΚΩ. Ἀκάνθης εἶδος, ἡ σκυ-

Ἐν σάκει Ἀντιλόχοιο, τὸ δ' ἥμισυ κεῖτ' ἐπὶ γαίῃς· 565
Ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο, κῆρ' ἀλεείνων·
Μηριόνης δ' ἀπιόντα μεταστρόμενος βάλε δουρὶ
Αἰδοίων τε μεσηγὺ καὶ ὀμφαλῷ· ἔνθα μάλιστα
Γίνετ' ἄρης ἀλεγεινὸς ὀϊζυροῖσι βροτοῖσιν·
Ἔνθα οἱ ἔγχος ἔπηξεν· ὁ δ' ἐστρόμενος, περὶ δουρὶ 570
Ἤσπαιρ', ὡς ὅτε βοῦς, τόν τ' ἄρεσι βουκόλοι ἄνδρες
Ἰλλάσιν οὐκ ἐθέλοντα βίῃ δήσαντες ἄγουσιν·
Ὡς ὁ τυπεὶς ἤσπαιρε μίνυνθά περ, οὔτι μάλα δήν,
Ὄφρα οἱ ἐκ χροὸς ἔγχος ἀνεσπάσατ' ἐγγύθεν ἐλθὼν
Ἥρως Μηριόνης· τὸν δὲ σκότος ὄσσε' ἐκάλυψε. 575
Δηΐπυρον δ' Ἕλενος ξίφεϊ σχεδὸν ἤλασε κόρσην
Θρηϊκίῳ, μεγάλῳ, ἀπὸ δὲ τρυφάλειαν ἄραξεν·
Ἡ μὲν ἀποπλαγχθεῖσα, χαμαὶ πέσε· καί τις Ἀχαιῶν
Μαρναμένων μετὰ ποσσὶ κυλινδομένην ἐκόμισσε·
Τὸν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν. 580
Ἀτρείδην δ' ἄχος εἷλε, βοὴν ἀγαθὸν Μενέλαον·
Βῆ δ' ἐπαπειλήσας Ἑλένῳ ἥρωϊ ἄνακτι,
Ὀξὺ δόρυ κραδάων· ὁ δὲ τόξου πῆχυν ἀνεῖλκε.
Τὼ δ' ἄρ' ὁμαρτήσην, ὁ μὲν ἔγχεϊ ὀξυόεντι
Ἵετ' ἀκοντίσσαι, ὁ δ' ἀπὸ νευρῆφιν ὀϊστῷ· 585
Πρῳαμίδης μὲν ἔπειτα κατὰ στῆθος βάλεν ἰῷ
Θώρηκος γύαλον, ἀπὸ δ' ἔπλατο πικρὸς ὀϊστός.
Ὡς δ' ὅτ' ἀπὸ πλατέος πτύον μεγάλην κατ' ἀλωὴν

ρωθεῖσα εὐτονωτέρα γίγνεται). ΠΥ. Περιπεπαυμένος, ἠμίφλεκτος.

567. ΜΕ. Ἐπιδιώξας, ἐπακολουθήσας.

568. ΕΝ. Ὅπου ἀλιγεινὴ καὶ δεινὴ γίγνεται ἡ τρῶσις.

570. ΕΣ. Καταχωθεὶς, περιπαρεὶς τῷ δόρατι.

572. ΙΛ. Τοῖς ἐξ ἱμάντων πεπλεγμένοις δεσμοῖς.

573. ΗΣ. Ἐσπάρζειν, ἐκινεῖτο.

577. ΑΠΟ. Ἀπίκοψε δὲ τὴν περικεφαλαίαν.

578. ΑΠΟ. Ἀποπροδιοῦσα.

584. ΟΜΑ. Ὁμῶ ἀφῆκαν.

588. ΠΤΥ. Πτύον. Πτύον λίκμον.

Θρώσκουσιν κύαμοι μελανόχροες, ἢ ἐρέβινθοι,
Πνοιῇ ὕπο λιγυρῇ καὶ λικμητῆρος ἐρωῇ· 590
Ὣς ἀπὸ θώρηκος Μενελάου κυδαλίμοιο
Πολλὸν ἀποπλαγχθεὶς, ἑκὰς ἔπλατο πικρὸς ὀϊστός.
Ἀτρεΐδης δ' ἄρα χεῖρα, βοὴν ἀγαθὸς Μενέλαος,
Τὴν βάλεν, ᾗ ῥ' ἔχε τόξον ἐΰξοον· ἐν δ' ἄρα τόξῳ
Ἀντικρὺ διὰ χειρὸς ἐλήλατο χάλκεον ἔγχος. 595
Ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο, κῆρ' ἀλεείνων,
Χεῖρα παρακρεμάσας· τὸ δ' ἐφέλκετο μείλινον ἔγχος·
Καὶ τὸ μὲν ἐκ χειρὸς ἔρυσεν μεγάθυμος Ἀγήνωρ,
Αὐτὴν δὲ ζυνέδησεν ἐϋστρόφῳ οἰὸς ἀώτῳ,
Σφενδόνῃ, ἣν ἄρα οἱ θεράπων ἔχε ποιμένι λαῶν. 600
Πείσανδρος δ' ἰθὺς Μενελάου κυδαλίμοιο
Ἤϊε· τὸν δ' ἄγε μοῖρα κακὴ θανάτοιο τέλοσδε,
Σοὶ, Μενέλαε, δαμῆναι ἐν αἰνῇ δηϊοτῆτι.
Οἱ δ' ὅτε δὴ ῥα σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Ἀτρεΐδης μὲν ἄμαρτε, παραὶ δέ οἱ ἐτράπετ' ἔγχος· 605
Πείσανδρος δὲ σάκος Μενελάου κυδαλίμοιο
Οὔτασεν, οὐδὲ διὰ πρὸ δυνήσατο χαλκὸν ἐλάσσαι·
Ἔρχετο γὰρ σάκος εὐρὺ, κατεκλάσθη δ' ἐνὶ καυλῷ
Ἔγχος· ὁ δὲ φρεσὶν ᾗσι χάρη, καὶ ἐέλπετο νίκην.
Ἀτρεΐδης δὲ, ἐρυσσάμενος ξίφος ἀργυρόηλον, 610
Ἆλτ' ἐπὶ Πεισάνδρῳ· ὁ δ' ὑπ' ἀσπίδος εἵλετο καλὴν
Ἀξίνην εὔχαλκον, ἐλαΐνῳ ἀμφὶ πελέκκῳ,

ἐν ᾧ τὰ ἠλοιμένα γεννήματα ἀναβάλλουσι, χωρίζοντες τοῦ ἀχύρου. Ὁ δὲ τύπος, παραγωγή.

589. ΘΡΩ. Ἀποπνοῶσιν.
590. ΑΙ. Ὀξέως πνεύσῃ αὔρᾳ.
595. ΕΛΗ. Ἐνεπάγη.
599. ΕΥ. Καλῶς περιεγραμμένῳ ἐρίῳ· τελίεσιν, εἰρινέᾳ σφενδόνῃ. Οἰὸς γὰρ ἀώτῳ, προσβάτου ἄνθει, ὅ ἐστιν, ἐρίῳ.
608. ΕΣ. Ἐπικώλυσεν.
612. ΕΛΑΙ. Τῷ τοῦ πελέκους γενείῳ. Παρὰ τὸ πεπελεκῆσθαι. Περὶ δὲ τῇ ἐλαΐνῳ γενείῳ φησιν.

Μακρῷ, εὐξέσῳ· ἅμα δ' ἀλλήλων ἐφίκοντο.
Ἤτοι ὁ μὲν κόρυθος φάλον ἤλασεν ἱπποδασείης
Ἄκρον ὑπαὶ λόφον αὐτόν· ὁ δὲ προσιόντα, μέτωπον, 615
Ῥινὸς ὕπερ θυμάτης· λάκε δ' ὀξέα, τὼ δέ οἱ ὄσσε
Πάρ θοσὶν αἱματόεντα χαμαὶ πέσον ἐν κονίῃσιν·
Ἰδνώθη δὲ πεσών· ὁ δὲ λάξ ἐν στήθεσι βαίνων,
Τεύχεά τ' ἐξενάριζε, καὶ εὐχόμενος ἔπος ηὔδα·
Λείψετέ θην ἔτι γε νέας Δαναῶν ταχυπώλων, 620
Τρῶες ὑπερφίαλοι, δεινῆς ἀκόρητοι ἀϋτῆς·
Ἄλλης μὲν λώβης τε καὶ αἴσχεος ἐκ ἐπιδευεῖς,
Ἦν ἐμὲ λωβήσασθε, κακαὶ κύνες· ἠδέ τι θυμῷ
Ζηνὸς ἐριβρεμέτεω χαλεπὴν ἐδδείσατε μῆνιν,
Ξεινίε· ὅς τε ποτ' ὔμμι διαφθέρσει πόλιν αἰπήν. 625
Οἵ μευ κυριδίην ἄλοχον καὶ κτήματα πολλὰ
Μᾶψ οἴχεθ' ἀνάγοντες, ἐπεὶ φιλέεσθε παρ' αὐτῇ·
Νῦν αὖτ' ἐν νηυσὶν μενεαίνετε πωντοπόροισι
Πῦρ ὀλοὸν βαλέειν, κτεῖναι δ' ἥρωας Ἀχαιούς·
Ἀλλά ποθι ρήσεσθε, καὶ ἐσσύμενοί περ, Ἄρηος. 630
Ζεῦ πάτερ, ἦ τέ σέ φασι περὶ φρένας ἔμμεναι ἄλλων
Ἀνδρῶν ἠδὲ θεῶν· σέο δ' ἐκ τάδε πάντα πέλονται·
Οἷον δὴ ἄνδρεσσι χαρίζεαι ὑβριστῇσι
Τρωσὶν, τῶν μένος αἰὲν ἀτάσθαλον, ἠδὲ δύνανται

613. ΑΜΑ. Ὑπὸ τὸ αὐτὸ ἵτυχον ἀλλήλων.
615. ΛΟ. Χαίτην.
616. ΡΙ. Τὸν ὑπὲρ τὴν ῥῖνα τόπον, τὸ μέτωπον. ΑΑ. Ἐκείθη. Ὀνοματοποιία, ὁ τρόπος. ΟΣΣ. Τὸ δὲ ὑγρὸν τὸ κατὰ τοὺς ὀφθαλμοὺς ἐξεῤῥύη αὐτοῖς μετὰ τοῦ αἵματος.
620. ΛΕΙ. Καταλείψετε δή.
622. ΛΩ. Ἄλλης ὕβρεως. ΕΠΙ. Οὐκ ἐνδεεῖς, ἀλλὰ πλήρεις εἰσί.
624. ΕΡΙ. Μεγάλως ἠχοῦντος.
625. ΔΙΑ. Διαφθερεῖ, ἀπολέσει.
627. ΦΙ. Ὅτι φιλοφροσύνης καὶ ξενίας ἐτύχετε.
630. ΣΧ. Ἀλλὰ φεύξεσθε δή ποτε. Ἀλλά ποθι, σύνδεσμος παραπληρωματικός. Τυτέτι, πόῤῥω κρατηθήσεσθε.
631. ΠΕ. Φρονήσει διαφέρειν τῶν λοιπῶν θεῶν.
632. ΠΕ. Ἐκ σοῦ δὲ πάντα γίνεται γίγνονται.

ἑ Φυλόπιδος κορέσασθαι ὁμοιΐου πολέμοιο. 638
ἑ Πάντων μὲν κόρος ἐστὶ, καὶ ὕπνου, καὶ φιλότητος,
ἑ Μολπῆς τε γλυκερῆς, καὶ ἀμύμονος ὀρχηθμοῖο,
ἑ Τῶν πέρ τις καὶ μᾶλλον ἐέλδεται ἐξ ἔρον εἶναι,
ἑ Ἢ πολέμου· Τρῶες δὲ μάχης ἄκόρητοι ἔασιν.'
Ὡς εἰπὼν, τὰ μὲν ἔντε' ἀπὸ χροὸς αἱματόεντα 640
Συλήσας, ἑτάροισι δίδου Μενέλαος ἀμύμων·
Αὐτὸς δ' αὖτ' ἐξαῦτις ἰὼν προμάχοισιν ἐμίχθη.
Ἔνθα οἱ υἱὸς ἐπᾶλτο Πυλαιμένεος βασιλῆος
Ἀρπαλίων, ὅ ῥα πατρὶ φίλῳ ἕπετο πολεμίζων
Ἐς Τροίην, ἠδ' αὖτις ἀφίκετο πατρίδα γαῖαν· 645
Ὅς ῥα τότ' Ἀτρείδαο μέσον σάκος ὄτασε δουρὶ
Ἐγγύθεν, ἠδὲ διὰ πρὸ δυνήσατο χαλκὸν ἐλάσσαι·
Ἄψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο, κῆρ' ἀλεείνων,
Πάντοσε παπταίνων, μήτις χρόα χαλκῷ ἐπαύρῃ.
Μηριόνης δ' ἀπιόντος ἴει χαλκήρε' ὀϊστόν· 650
Καί ῥ' ἔβαλε γλουτὸν κατὰ δεξιόν· αὐτὰρ ὀϊστὸς
Ἀντικρὺ κατὰ κύστιν ὑπ' ὀστέον ἐξεπέρησεν.
Ἑζόμενος δὲ κατ' αὖθι, φίλων ἐν χερσὶν ἑταίρων
Θυμὸν ἀποπνείων, ὥστε σκώληξ ἐπὶ γαίῃ
Κεῖτο ταθείς· ἐκ δ' αἷμα μέλαν ῥέε, δεῦε δὲ γαῖαν· 655
Τὸν μὲν Παφλαγόνες μεγαλήτορες ἀμφεπένοντο·
Ἐς δίφρον δ' ἀνέσαντες ἄγον προτὶ Ἴλιον ἱρὴν
Ἀχνύμενοι· μετὰ δέ σφι πατὴρ κίε, δάκρυα λείβων·

638. ΕΗ. Προΐδαι τὴν ἐπιθυμίαν, κορεσθῆναι.

656. ΑΜ. Περὶ αὐτὸν ἠσχολοῦντο.

657. ΑΝΕ. Ἀναθέντες, ἀναβιβάσαντες.

658. ΜΕ. Μετ' αὐτῶν δὲ ὁ πατὴρ ἐπορεύετο, δάκρυσι καταῤῥεόμενος. Ζητεῖται δὲ, πως ἀνακτόρων ἀπηρημένος ὑπὸ Μενελάου ὁ Πυλαιμένης, τὰ νῦν δύνατο ἀκολουθεῖν τῷ παιδὶ, καὶ κλαίειν; Ἔτι δὲ λέγειν· ὅτι δύο Πυλαιμένεις, Παφλαγόνων ἡγεμόνας, συνίστησιν ὁ Ποιητής· ὡς Αἴαντας δύο, καὶ Εὐρυβάτας δύο κήρυκας, τὸν μὲν Ἀγαμέμνονος, τὸν δὲ Ὀδυσσέως. Ἔνιοι δὲ πιθανῶς μεταγράφουσι,

Μετὰ δ' οὔ σφι πατὴρ κίε, δάκρυα λείβων.

Ποινὴ δ' ἔτις παιδὸς ἐγίνετο τεθνειῶτος.
Τῷ δὲ Πάρις μάλα θυμὸν ἀποκταμένοιο χολώθη· 660
Ξεῖνος γάρ οἱ ἔην πολέσιν μετὰ Παφλαγόνεσσι·
Τῷ ὅγε χωόμενος προΐει χαλκήρε' ὀϊστόν.
Ἦν δέ τις Εὐχήνωρ, Πολυΐδε μάντιος υἱὸς,
Ἀφνειός τ', ἀγαθός τε, Κορινθόθι οἰκία ναίων,
Ὃς ῥ' εὖ εἰδὼς κῆρ' ὀλοὴν, ἐπὶ νηὸς ἔβαινε· 665
Πολλάκι γάρ οἱ ἔειπε γέρων ἀγαθὸς Πολύϊδος,
Νέσσῳ ὑπ' ἀργαλέῃ φθίσθαι οἷς ἐν μεγάροισιν,
Ἢ μετ' Ἀχαιῶν νηυσὶν ὑπὸ Τρώεσσι δαμῆναι·
Τῷ ῥ' ἅμα τ' ἀργαλέην θωὴν ἀλέεινεν Ἀχαιῶν,
Νεῦσόν τε συγερὴν, ἵνα μὴ πάθοι ἄλγεα θυμῷ· 670
Τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ ἕατος· ὦκα δὲ θυμὸς
Ὤχετ' ἀπὸ μελέων, συγερὸς δ' ἄρα μιν σκότος εἷλεν.
Ὣς οἱ μὲν μάρναντο, δέμας πυρὸς αἰθομένοιο·
Ἕκτωρ δ', οὐκ ἐπέπυστο Διΐ φίλος, οὐδέ τι ἤδη,
Ὅτι ῥά οἱ νηῶν ἐπ' ἀριστερὰ δηϊόωντο 675
Λαοὶ ὑπ' Ἀργείων· τάχα δ' ἂν καὶ κῦδος Ἀχαιῶν
Ἔπλετο, τοῖος γὰρ γαιήοχος Ἐννοσίγαιος
Ὤτρυν' Ἀργείους, πρὸς δὲ θένει αὐτὸς ἄμυνεν·
Ἀλλ' ἔχεν, ᾗ τὰ πρῶτα πύλας καὶ τεῖχος ἐσάλτο,
Ῥηξάμενος Δαναῶν πυκινὰς σίχας ἀσπιστάων· 680
Ἔνθ' ἔσαν Αἴαντός τε νέες καὶ Πρωτεσιλάου,
Θῖν' ἐφ' ἁλὸς πολιῆς εἰρυμέναι· αὐτὰρ ὕπερθε
Τεῖχος ἐδέδμητο χθαμαλώτατον, ἔνθα μάλισα
Ζαχρηεῖς γίνοντο μάχη αὐτοί τε καὶ ἵπποι·

659. ΠΟΙ. Ἐπεὶ οὐχ ὁ πατὴρ τιμωρεῖ αὐτῷ, ἀλλ' ὁ Ἀλέξανδρος, χαλεπήνας ὑπὲρ τοῦ ἀνηρημένου, Εὐχήνορα τὸν Κορίνθιον ἀναιρεῖ.

664. ΚΟΡ. Ἐν Κορίνθῳ κατοικῶν.

669. ΘΩ. Τὴν ζημίαν. Λέγει δὲ τὸ τῆς στρατείας ἐπιζήμιον.

678. ΠΡΟΣ. Προσεβοήθησε δὲ καὶ αὐτὸς τῇ δυνάμει αὐτῶ.

683. ΧΘΑ. Κοιλότατον.

Ἔνθα δὲ Βοιωτοὶ, καὶ Ἰάονες ἑλκεχίτωνες, 685
Λοκροὶ, καὶ Φθῖοι, καὶ φαιδιμόεντες Ἐπειοὶ,
Σπερδὴ ἐπαΐσσοντα νεῶν ἔχον· ἠδ' ἐδύναντο
Ὧσαι ἀπὸ σφείων φλογὶ εἴκελον Ἕκτορα δῖον·
Οἱ μὲν Ἀθηναίων προλελεγμένοι· ἐν δ' ἄρα τοῖσιν
Ἤρχ' υἱὸς Πετεῶο, Μενεσθεύς· οἱ δ' ἅμ' ἕποντο 690
Φείδας τε, Στιχίος τε, Βίας τ' ἐῢς· αὐτὰρ Ἐπειῶν
Φυλείδης τε Μέγης, Ἀμφίων τε, Δρακίος τε.
Πρὸ Φθίων δὲ, Μέδων τε, μενεπόλεμός τε Ποδάρκης,
Ἤτοι ὁ μὲν νόθος υἱὸς Ὀϊλῆος θείοιο
Ἔσκε Μέδων, Αἴαντος ἀδελφεός· αὐτὰρ ἔναιεν 695
Ἐν Φυλάκῃ γαίης ἄπο πατρίδος, ἄνδρα κατακτὰς,
Γνωτὸν μητρυιῆς Ἐριώπιδος, ἣν ἔχ' Ὀϊλεύς·
Αὐτὰρ ὁ, Ἰφίκλοιο πάϊς τοῦ Φυλακίδαο·
Οἱ μὲν πρὸ Φθίων μεγαθύμων θωρηχθέντες,
Ναῦφιν ἀμυνόμενοι, μετὰ Βοιωτῶν ἐμάχοντο. 700
Αἴας δ' ἐκέτι πάμπαν, Ὀϊλῆος ταχὺς υἱὸς,
Ἵστατ' ἀπ' Αἴαντος Τελαμωνίου, ἠδ' ἠβαιόν·
Ἀλλ' ὥστ' ἐν νειῷ βόε οἴνοπε πηκτὸν ἄροτρον,
Ἴσον θυμὸν ἔχοντε, τιτάνετον· ἀμφὶ δ' ἄρα σφιν
Πρυμνοῖσιν κεράεσσι πολὺς ἀνακηκίει ἱδρώς· 705
Τὼ μέν τε ζυγὸν οἷον ἐῢξοον ἀμφὶς ἐέργει
Ἱεμένω κατὰ ὦλκα, τεμεῖ δέ τε τέλσον ἀρούρης·

685. ΙΑ. Ἴωνες. Λέγει ἢ τοὺς Ἀθηναίους· ἀπὸ Ἴωνος, τοῦ Κρεούσης, τοῦ Ἐρεχθέως, καὶ Ξάνθου, τοῦ Ἕλληνος. ΕΛ. Βαθεῖς χιτῶνας ἔχοντες, ἄζωστοι.

686. ΦΘΙ. Οἱ τὴν ὑπὸ Πρωτεσιλάου Φθίαν, πόλιν Θεσσαλίας, οἰκοῦντες. Οἱ δὲ τὴν ὑπὸ Ἀχιλλέως, Φθιῶται καλοῦνται. ΦΑΙ. Ἐπιφανεῖς καὶ λαμπροὶ ταῖς πράξεσι.

689. ΠΡΟ. Προκατηριθμημένοι.

697. ΕΧ. Ἦν ἐγεγαμήκει Ὀϊλεύς.

699. ΠΡΟ. Πρὸ τῶν Φθίων.

700. ΝΑΥ. Ὑπὲρ τῶν νεῶν.

703. ΟΙΝ. Ἤτοι μέλανες, ἢ ξανθοί.

704. ΤΙ. Τείνουσιν, ἕλκουσι.

705. ΠΡΥ. Τοῖς ἐσχάτοις μέρεσι τῶν κεράτων, τοῖς πρὸς τὴν ἔκφυσιν. ΑΝΑ. Ἀναφέρεται.

706. ΑΜ. Διείργει, χωρίζει.

707. ΩΛ. Τὴν αὖλακα. ΤΕΜ. Τέ-

Ὣς τὼ παρβεβαῶτε μάλ' ἔστασαν ἀλλήλοιϊν.
Ἀλλ' ἤτοι Τελαμωνιάδῃ πολλοί τε καὶ ἐσθλοὶ
Λαοὶ ἕπονθ' ἕταροι, οἱ οἱ σάκος ἐξεδέχοντο, 710
Ὁππότε μιν κάματός τε καὶ ἱδρὼς γύναθ' ἵκοιτο.
Οὐδ' ἄρ' Ὀϊλιάδῃ μεγαλήτορι Λοκροὶ ἕποντο·
Οὐ γάρ σφιν ταδίη ὑσμίνη μίμνε φίλον κῆρ·
Οὐ γὰρ ἔχον κόρυθας χαλκήρεας ἱπποδασείας,
Οὐδ' ἔχον ἀσπίδας εὐκύκλυς καὶ μείλινα δοῦρα· 715
Ἀλλ' ἄρα τόξοισιν καὶ ἐϋτρόφῳ οἰὸς ἀώτῳ
Ἴλιον εἰς ἅμ' ἕποντο πεποιθότες· οἷσιν ἔπειτα
Ταρφέα βάλλοντες Τρώων ῥήγνυντο φάλαγγας.
Δή ῥα τόθ' οἱ μὲν πρόσθε, σὺν ἔντεσι δαιδαλέοισι,
Μάρναντο Τρωσίν τε καὶ Ἕκτορι χαλκοκορυστῇ· 720
Οἱ δ' ὄπιθεν βάλλοντες, ἐλάνθανον· οὐδέ τι χάρμης
Τρῶες μιμνήσκοντο· συνεκλόνεον γὰρ ὀϊστοί.
Ἔνθα κε λευγαλέως νηῶν ἄπο καὶ κλισιάων
Τρῶες ἐχώρησαν προτὶ Ἴλιον ἠνεμόεσσαν,
Εἰ μὴ Πυλυδάμας θρασὺν Ἕκτορα εἶπε παραστάς· 725
"Ἕκτορ, ἀμήχανός ἐσσι παραῤῥητοῖσι πιθέσθαι,
"Οὕνεκά τοι πέρι δῶκε θεὸς πολεμήϊα ἔργα,
"Τὔνεκα καὶ βουλῇ ἐθέλεις περιίδμεναι ἄλλων;
"Ἀλλ' ὄπως ἅμα πάντα δυνήσεαι αὐτὸς ἑλέσθαι·
"Ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα· 730
"Ἄλλῳ δ' ὀρχηστύν, ἑτέρῳ κίθαριν καὶ ἀοιδήν·
"Ἄλλῳ δ' ἐν στήθεσσι τίθει νόον εὐρύοπα Ζεὺς

μνεται δὲ εἰς βάθος γῆς. ΤΕΛ. Τέλος.

710. ΕΞ. Διεδέχοντο.

713. ΣΤΑ. Οὐ γὰρ ὑπέμενον τὴν συστάδην μάχην.

722. ΣΤΝ. Συνεταράσσοντο.

723. ΛΕΥ. Ὀλεθρίως, ἀδόξως.

726. ΠΑΡ. Παραμυθητικοῖς, παραινετικοῖς.

728. ΠΕΡ. Περισσῶς εἰδέναι.

729. ΑΜΑ. Νῦν, ἐπίῤῥημα χρόνου δηλωτικόν.

'Εθλὸν, τῷ δέ τε πολλοὶ ἐπαυρίσκοντ' ἄνθρωποι,
Καί τε πόλεις ἐσάωσε, μάλισα δέ κ' αὐτὸς ἀνέγνω.
Αὐτὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄρισα· 735
Πάντη γάρ σε πέρι σέφανος πολέμοιο δέδηε·
Τρῶες δὲ μεγάθυμοι, ἐπεὶ κατὰ τεῖχος ἔβησαν,
Οἱ μὲν ἀφεσᾶσιν σὺν τεύχεσιν, οἱ δὲ μάχονται
Παυρότεροι πλεόνεσσι, κεδαασθέντες κατὰ νῆας.
Ἀλλ' ἀναχασσάμενος κάλει ἐνθάδε πάντας ἀρίστους· 740
Ἔνθεν δ' ἂν μάλα πᾶσαν ἐπιφρασσαίμεθα βυλήν·
Ἦ κεν ἐνὶ νήεσσι πολυκλήϊσι πέσωμεν,
Αἴ κ' ἐθέλῃσι θεὸς δόμεναι κράτος, ἤ κεν ἔπειτα
Πὰρ νηῶν ἔλθοιμεν ἀπήμονες· ἦ γὰρ ἔγωγε
Δείδω, μὴ τὸ χθιζὸν ἀποσήσωνται Ἀχαιοὶ 745
Χρεῖος, ἐπεὶ παρὰ νηυσὶν ἀνὴρ ἄτος πολέμοιο
Μίμνει, ὃν ὐκέτι πάγχυ μάχης ἀφήσεσθαι ὀΐω.'
Ὣς φάτο Πυλυδάμας· ἄδε δ' Ἕκτορι μῦθος ἀπήμων·
Αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα· 750
Πυλυδάμα, σὺ μὲν αὐτῷ ἐρύκακε πάντας ἀρίστους·
Αὐτὰρ ἐγὼ κεῖσ' εἶμι, καὶ ἀντιόω πολέμοιο·
Αἶψα δ' ἐλεύσομαι αὖτις, ἐπὴν εὖ τοῖς ἐπιτείλω.'
Ἦ ῥα, καὶ ὠρμήθη, ὄρεϊ νιφόεντι ἐοικώς,
Κεκληγώς, διὰ δὲ Τρώων πέτετ', ἠδ' ἐπικέρων. 755

733. ΕΠΑΥ. Ἐπαπολαύουσιν.
734. ΜΑ. Ἐξαιρέτως δὲ καὶ αὐτὸς ἐγνώρισε τὸ τ' συνέσεως ἀγαθόν.
736. ΠΑΝ. Πανταχόθεν γάρ σε περιεκύκλωσαντο οἱ πολέμιοι.
741. ΕΠΙ. Ἐπινοήσαιμεν.
742. ΠΕ. Ἐμπέσωμεν, εἰσέλθωμεν.
745. ΑΠΟ. Μή πως τὴν χθεσινὴν ἧτταν ἀποδώσουσιν ἡμῖν οἱ Ἕλληνες, ὥσπερ καθαμῶ δεδανεικότες. Μηδέπω γὰρ νομισμάτων ὑπαρχόντων, καθαμῶ ἐδανείζον οἱ ἀρχαῖοι χρυσίον καὶ ἀργύριον, καὶ τὰ παραπλήσια.
746. ΧΡΕΙ. Δάνειον.
747. ΣΧΗ. Ἀποπαύσασθαι.
748. ΑΔ. Ἤρισκεν.
752. ΑΝ. Ἀπαντήσω, μεταλήψομαι.

Οἱ δ' ἐς Πανθοΐδην ἀγαπήνορα Πυλυδάμαντα
Πάντες ἐπεσσεύοντ', ἐπεὶ Ἕκτορος ἔκλυον αὐδήν.
Αὐτὰρ ὁ Δηΐφοβόν τε, βίην θ' Ἑλένοιο ἄνακτος,
Ἀσιάδην τ' Ἀδάμαντα, καὶ Ἄσιον Ὑρτάκου υἱὸν,
Φοίτα ἀνὰ προμάχους διζήμενος, εἴ πού οἱ ἐφεύροι· 760
Τοὺς δ' εὗρ' οὐκέτι πάμπαν ἀπήμονας, οὐδ' ἀνολέθρους·
Ἀλλ' οἱ μὲν δὴ, νηυσὶν ἐπὶ πρύμνησιν Ἀχαιῶν,
Χερσὶν ὑπ' Ἀργείων κέατο ψυχὰς ὀλέσαντες·
Οἱ δ' ἐν τείχει ἔσαν βεβλημένοι, ὀτάμενοί τε.
Τὸν δὲ τάχ' εὗρε μάχης ἐπ' ἀριστερὰ δακρυοέσσης 765
Δῖον Ἀλέξανδρον, Ἑλένης πόσιν ἠϋκόμοιο,
Θαρσύνον θ' ἑτάρους, καὶ ἐποτρύνοντα μάχεσθαι·
Ἀγχοῦ δ' ἱστάμενος προσέφη αἰσχροῖς ἐπέεσσι·
" Δύσπαρι, εἶδος ἄριστε, γυναιμανὲς, ἠπεροπευτὰ,
" Πῦ τοι Δηΐφοβός τε, βίη θ' Ἑλένοιο ἄνακτος, 770
" Ἀσιάδης τ' Ἀδάμας, ἠδ' Ἄσιος Ὑρτάκου υἱός;
" Πῦ δέ τοι Ὀθρυονεύς; νῦν ὤλετο πᾶσα κατ' ἄκρης
" Ἴλιος αἰπεινή· νῦν τοι σῶς αἰπὺς ὄλεθρος."
Τὸν δ' αὖτε προσέειπεν Ἀλέξανδρος θεοειδής·
" Ἕκτορ, ἐπεί τοι θυμὸς ἀναίτιον αἰτιάασθαι, 775
" Ἄλλοτε δήποτε μᾶλλον ἐρωήσαι πολεμοιο
" Μέλλω, ἐπεὶ οὐδ' ἐμὲ πάμπαν ἀνάλκιδα γείνατο μήτηρ·
" Ἐξ οὗ γὰρ παρὰ νηυσὶ μάχην ἤγειρας ἑταίρων,
" Ἐκ τοῦδ' ἐνθάδ' ἐόντες ὁμιλέομεν Δαναοῖσι

756. ΑΓΑ. Ἀγαπῶσα τὴν ἀνδρίαν· πολεμικόν.

761. ΑΠΗ. Ἀβλαβεῖς, ἀσινεῖς. ΤΟΥΣ. Συλληπτικῶς φέρεται, ἀντὶ τοῦ· τοὺς μὲν οὐκ ἀπήμονας, τοὺς τετρωμένους· τοὺς δὲ οὐκ ἀνολέθρους, τοὺς ἀνηρημένους.

764. ΒΕ. Ἀντὶ τοῦ· οἱ μὲ ἀπὸ μόνης βεβλημένοι δόρατι, ἢ ἰῷ· οἱ δὲ ἐκ τῶν ἐγγὺς τετρωμένοι ξίφει, ἤ τινι τοιούτῳ.

767. ΘΑΡ. Παρορμῶντα.

773. ΟΛΕ. Νῦν οὐδὲν ἐλλείπει σοι πρὸς ἀπώλειαν.

776. ΑΛ. Ἐν ἄλλῳ καιρῷ. ΕΡΩ. Ἔοικα ἠμελακέναι τοῦ πολέμου.

777. ΑΝΑ. Ἀδικῶ.

Ἀωλεμέως· ἕταροι δὲ κατέκταθεν, ὃς σὺ μεταλλᾷς. 780
Οἴω Δηΐφοβός τε, βίῃ θ' Ἑλένοιο ἄνακτος,
Οἴχεθον, μακρῇσι τετυμμένω ἐγχείῃσιν,
Ἀμφοτέρω κατὰ χεῖρα· φόνον δ' ἤμυνε Κρονίων.
Νῦν δ' ἄρχ', ὅππῃ σε κραδίη θυμός τε κελεύει·
Ἡμεῖς δ' ἐμμεμαῶτες ἅμ' ἑψόμεθ', οὐδέ τί φημι 785
Ἀλκῆς δευήσεσθαι, ὅσῃ δύναμίς γε πάρεστι·
Πὰρ δύναμιν δ' οὐκ ἔστι καὶ ἐσσύμενον πολεμίζειν.
Ὡς εἰπὼν, παρέπεισεν ἀδελφειοῦ φρένας ἥρως·
Βὰν δ' ἴμεν, ἔνθα μάλιστα μάχη καὶ φύλοπις ἦεν,
Ἀμφί τε Κεβριόνην, καὶ ἀμύμονα Πελυδάμαντα, 790
Φάλκην, Ὀρθαῖόν τε, καὶ ἀντίθεον Πολυφοίτην,
Πάλμυν τ', Ἀσκάνιόν τε, Μόρυν θ' υἷ' Ἱπποτίωνος·
Οἱ ῥ' ἐξ Ἀσκανίης ἐριβώλακος ἦλθον ἀμοιβοὶ
Ἠοῖ τῇ προτέρῃ· τότε δὲ Ζεὺς ὦρσε μάχεσθαι.
Οἱ δ' ἴσαν, ἀργαλέων ἀνέμων ἀτάλαντοι ἀέλλῃ, 795
Ἦ ῥά θ' ὑπὸ βροντῆς πατρὸς Διὸς εἶσι πέδονδε,
Θεσπεσίῳ δ' ὁμάδῳ ἁλὶ μίσγεται, ἐν δέ τε πολλὰ
Κύματα παφλάζοντα πολυφλοίσβοιο θαλάσσης,
Κυρτὰ, φαληριόωντα, πρὸ μέν τ' ἄλλ', αὐτὰρ ἐπ' ἄλλα·

782. ΤΕ. Τετραμένω ἐκ χειρός.

793. ΑΣ. Ἀσκανία, πόλις Φρυγίας. ΑΜΟΙ. Ἤτοι, ἐξ ἀμοιβῆς καὶ ἐναλλάξεως παραγεγονότες συμμαχῆσαι τοῖς Τρωσὶν, ἀντὶ ὧν πρότερον συνεργούντων αὐτοῖς πολιτῶν. Διὰ γὰρ τὸ ἐπὶ δέκα ἔτη τὸν πόλεμον ἀνύεσθαι, οἱ πρῶτοι κεκμηκότες κατὰ μάχην, ἰσαρίθμων αὐτοῖς ἄλλων ἀποστελλομένων, ἀπεπέμποντο, ὡς εἰκὸς, ἐξ ἀμοιβῆς ἀμύνοντες· ἢ, οἱ ἀμοιβὴν ἀποδιδόντες τῷ Πριάμῳ. Διὰ τὸ καὶ αὐτὸν συμμαχῆσαι Φρυξὶν, ἐπιφέρει, Ἠοῖ τῇ προτέρῃ. Λέγει γὰρ ἐν τῷ καταλόγῳ·

Φόρκυς αὖ Φρύγας ἦγε, καὶ Ἀσκάνιος θεοειδής.

Ἦ, ἀμοιβοὶ, πεζοί. Διὰ γὰρ τῆς ἀμοιβῆς τῶν ποδῶν γίγνεται τῶν πεζῶν ἔφοδος.

794. ΗΟΙ. Τῇ χθὲς ἡμέρᾳ.

796. ΥΠΟ. Ἀντὶ ὑ, μετὰ βροντῆς. ΠΕ. Εἰς τὸ ἔδαφος.

797. ΘΕΣ. Θείῳ θορύβῳ. ΑΛΙ. Τῇ θαλάσσῃ.

798. ΠΑ. Ἠχεῖλα, ἀναζέοιλα. Ὀνοματοποιία, ὁ τρόπος.

799. ΚΥΡ. Ὑψηλά. ΦΑ. Λευκανίζοντα· τουτέστι, λευκαινόμενα ὑπ' ἀφροῦ. ΠΡΟ. Ἄλλα πρὸ ἄλλων, τουτέστιν, ἐπάλληλα, πυκνά.

Ὣς Τρῶες πρὸ μὲν ἄλλοι ἀρηρότες, αὐτὰρ ἐπ' ἄλλοι, 800
Χαλκῷ μαρμαίροντες ἅμ' ἡγεμόνεσσιν ἕποντο.
Ἕκτωρ δ' ἡγεῖτο, βροτολοιγῷ ἶσος Ἄρηϊ,
Πριαμίδης· πρὸ ἕθεν δ' ἔχεν ἀσπίδα πάντοσε ἴσην,
Ῥινοῖσιν πυκινήν· πολλὸς δ' ἐπελήλατο χαλκός·
Ἀμφὶ δέ οἱ κροτάφοισι φαεινὴ σείετο πήληξ. 805
Πάντῃ δ' ἀμφὶ φάλαγγας ἐπειρᾶτο προπολίζων,
Εἴ πώς οἱ εἴξειαν ὑπασπίδια προβιβῶντι·
Ἀλλ' οὐ σύγχει θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν.
Αἴας δὲ πρῶτος προκαλέσσατο, μακρὰ βιβάθων·
Δαιμόνιε, σχεδὸν ἐλθέ· τίη δειδίσσεαι ἔτως 810
Ἀργείους; ἔτοι τι μάχης ἀδαήμονες εἰμέν,
Ἀλλὰ Διὸς μάστιγι κακῇ ἐδάμημεν Ἀχαιοί.
Ἦ θήν πού τοι θυμὸς ἐέλπεται ἐξαλαπάξειν
Νῆας· ἄφαρ δέ τε χεῖρες ἀμύνειν εἰσὶ καὶ ἡμῖν.
Ἦ κε πολὺ φθάσῃ εὐναιομένη πόλις ὑμὴ 815
Χερσὶν ὑφ' ἡμετέρῃσιν ἁλοῦσά τε, περθομένη τε.
Σοὶ δ' αὐτῷ φημι σχεδὸν ἔμμεναι, ὁππότε φεύγων
Ἀρήσῃ Διΐ πατρὶ καὶ ἄλλοις ἀθανάτοισι,
Θάσσονας ἱρήκων ἔμεναι καλλίτριχας ἵππους,
Οἵ σε πόλινδ' οἴσουσι, κονίοντες πεδίοιο. 820
Ὣς ἄρα οἱ εἰπόντι ἐπέπιστο δεξιὸς ὄρνις,
Αἰετὸς ὑψιπέτης· ἐπὶ δ' ἴαχε λαὸς Ἀχαιῶν,

804. ΕΠΕ. Ἐπικατεσκεύαστο.
805. ΑΜ. Περὶ δὲ τοῖς κροτάφοις αὐτοῦ ἐσείετο ἡ περικεφαλαία σφοδρῶς ἐνεργοῦντος.
808. ΣΥ. Οὐκ ἐθορύβει, οὐκ ἐτάρατλε.
809. ΒΙ. Διαβάς.
810. ΔΕΙ. Εἰς δέος ἄγεις, ἐκφοβεῖς.
811. ΑΔΑ. Ἀμαθεῖς.
812. ΜΑΣ. Τῇ Διὸς πληγῇ, τῷ κεραυνῷ.
813. ΘΗΝ. Ὄντως δή. ΕΞΑ. Κενώσειν, πορθήσειν.
815. ΦΘΑΙΗ. Φθάσει.
819. ΙΡΗ. Ἱεράκων. Ἔστι δὲ εἶδος αἰετῶν.
820. ΚΟ. Κονιορτὸν ἐγείροντες.
821. ΔΕΞ. Αἴσιος, ἀγαθός.

Θάρσυνος οἰωνῷ· ὁ δ' ἀμείβετο Φαίδιμος Ἕκτωρ·
' Αἶαν ἀμαρτοεπὲς, βεγάϊε, ποῖον ἔειπες ;
' Αἰ γὰρ ἐγὼν ἔτω γε Διὸς παῖς αἰγιόχοιο 825
' Εἴην ἤματα πάντα, τέκοι δέ με πότνια Ἥρη,
' Τιοίμην δ' ὡς τίετ' Ἀθηναίη καὶ Ἀπόλλων·
' Ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισι
' Πᾶσι μάλ'· ἐν δὲ σὺ τοῖσι πεφήσεαι, αἴ κε τελάσσῃς
' Μεῖναι ἐμὸν δόρυ μακρὸν, ὅ τοι χρόα λειριόεντα 830
' Δάψει· ἀτὰρ Τρώων κορέεις κύνας ἠδὲ οἰωνοὺς
' Δημῷ καὶ σάρκεσσι, πεσὼν ἐπὶ νηυσὶν Ἀχαιῶν.'
Ὣς ἄρα φωνήσας ἠγήσατο· τοὶ δ' ἅμ' ἕποντο
Ἠχῇ θεσπεσίῃ, ἐπὶ δ' ἴαχε λαὸς ὄπισθεν·
Ἀργεῖοι δ' ἑτέρωθεν ἐπίαχον, οὐδ' ἐλάθοντο 835
Ἀλκῆς, ἀλλ' ἔμενον Τρώων ἐπιόντας ἀρίστους·
Ἠχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα, καὶ Διὸς αὐγάς.

823. ΘΑΡΣ. Τεθαρρηκώς.
824. ΑΜΑΡ. Ἁμαρτάνων τῶν σκοπῶν λόγων. ΒΟΥ. Μεγάλως ἐπὶ σαυτῷ ἀγλαϊζόμενε καὶ γαυριῶν· ἢ, βουεργέτα, πολύπραγμον.
829. ΠΕ. Ἀναιρεθήσῃ, φονευθήσῃ.
ΤΑ. Τλῆς, ὑπομείνης.
830. ΛΕΙ. Εὐανθῆ, τρυφερὸν, ἢ λιπαρόν.
831. ΔΑ. Διακόψει, τρώσει.
837. ΑΥ. Τὰς Διὸς ἀπολαύσεις.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΙΛΙΑΔΟΣ Ξ.

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

ΑΓΑΜΕΜΝΩΝ, συμπαραλαβὼν τοὺς τραυματίας, καὶ Νέστορα σὺν αὐτοῖς, ἔξεισιν ἐπὶ τὸν πόλεμον. Ἥρα δὲ, τὸν κεστὸν λαβοῦσα παρὰ τῆς Ἀφροδίτης, κατέρχεται, καὶ τὸν Ὕπνον πείσασα, κοιμίζει τὸν Δία. Ποσειδῶν δὲ τοῖς Ἕλλησι βοηθεῖ, καὶ πολὺς φόνος γίγνεται τῶν Τρώων. Αἴας δὲ, λίθῳ βαλὼν, Ἕκτορα πλήσσει. Ὁ δὲ ἀγαγὼν αἷμα, λιποψυχεῖ. Ἀριστεύει δὲ καὶ Αἴας, ὁ Λοκρός.

Διὸς ἀπάτη.

Ξῖ, Κρονίδην λεχέεσσι παρήπαφεν Ὕπνος, ἰδ' Ἥρη.

ΝΕΣΤΟΡΑ δ' οὐκ ἔλαθεν ἰαχὴ, πίνοντά περ ἔμπης,
Ἀλλ' Ἀσκληπιάδην ἔπεα πτερόεντα προσηύδα·
'Φράζεο, δῖε Μαχᾶον, ὅπως ἔσται τάδε ἔργα·
'Μείζων δὴ παρὰ νηυσὶ βοὴ θαλερῶν αἰζηῶν.
'Ἀλλὰ σὺ μὲν νῦν πῖνε καθήμενος αὖθι παρ οἶνον, 5
'Εἰσόκε θερμὰ λοετρὰ ἐϋπλόκαμος Ἑκαμήδη

1. ΝΕΣΤ. Σφόδρα συνετὸς εἰσάγεται ὁ Νέστωρ, μὴ νικώμενος ὑπὸ μέθης τὴν λογισμόν. ΕΛΑ. Σημαίνει καὶ τὸ, ἐκ προαιρέσεως μαθόντα παραπέμψαθαι· ἀς τό· Καὶ τότ' ἐγὼ Κίρκης λαθόμην. ΕΜ. Ὅμως. Σημαίνει δὲ καὶ τὸ ὁμοίως. Ἐζήτηται δὲ, πῶς ὁ Νέστωρ ἐπὶ τοσοῦτον πίνει χρόνον, ἀρξάμενος ἀπὸ τῶν ἰαχάων τῆς Λάμβδα. Καὶ ῥητέον, ὅτι οὐ τοσοῦτον χρόνον ἔπινεν, ἀλλ' Ὅμηρος, κατὰ παρέκτασιν ἀπαγγέλλας τὰς πράξεις, βουληθείς τε ἐπὶ τὸν Νέστορα ἐπανελθεῖν, ἀπὸ ταύτης τῆς πράξεως ἤρξατο, ἥνπερ αὐτὸν κατέλιπε ποιοῦντα.

3. ΕΣΤ. Ἀντὶ τοῦ, ὅπως γενήσεται. Τὸ ἔσται διαφέρει τοῦ γενήσεται· τὸ μὲν γὰρ, ἐπὶ τοῦ ὑπάρχοντος· ὡς· Ἔσται γέρων ὅδε. Τὸ δὲ, ἐπὶ τοῦ μὴ ὄντος· ὡς· Γενήσεται παῖς.

5. ΑΙ. Νῦν, ἐρωτῶν.

‘ Θερμήνῃ, καὶ λύσῃ ἄπο βρότον αἱματόεντα·
‘ Αὐτὰρ ἐγὼν ἐλθὼν τάχα εἴσομαι ἐς περιωπήν.’
Ὡς εἰπὼν, σάκος εἷλε τετυγμένον υἷος ἑῆος,
Κείμενον ἐν κλισίῃ, Θρασυμήδεος ἱπποδάμοιο, 10
Χαλκῷ παμφαῖνον· ὁ δ' ἔχ' ἀσπίδα πατρὸς ἑοῖο.
Εἵλετο δ' ἄλκιμον ἔγχος ἀκαχμένον ὀξέϊ χαλκῷ·
Στῆ δ' ἐκτὸς κλισίης, τάχα δ' εἴσιδεν ἔργον ἀεικὲς,
Τὺς μὲν ὀρινομένυς, τὺς δὲ κλονέοντας ὄπισθε
Τρῶας ὑπερθύμυς· ἐρέριπτο δὲ τεῖχος Ἀχαιῶν. 15
Ὡς δ' ὅτε πορφύρῃ πέλαγος μέγα κύματι κωφῷ,
Ὀσσόμενον λιγέων ἀνέμων λαιψηρὰ κέλευθα
Αὔτως, ὃ δ' ἄρα τε προκυλίνδεται, ὃ δετέρωσε,
Πρίν τινα κεκριμένον καταβήμεναι ἐκ Διὸς ἦρον·
Ὡς ὁ γέρων ὥρμαινε, δαϊζόμενος κατὰ θυμὸν 20
Διχθάδι· ἢ μεθ' ὅμιλον ἴοι Δαναῶν ταχυπώλων,

7. ΛΟΥ. Ἀπολύσῃ τ' μολυσμὸν τοῦ ἀνθρωπείυ αἵματος. ΑΙ. Ἡματωμένον.

8. ΕΙ. Γνώσομαι, ἢ φανήσομαι. ΠΕΡΙ. Τόπον ὑψηλὸν, ἐξ οὗ περιωπήσασθαι καὶ περιβλέψαι ἐς τὰ πάντα.

11. ΑΣ. Πιθανῶς ὁ νέος εἰσῆκται, κεχρημένος τῇ χρυσῇ ἀσπίδι. Προείρηκε γὰρ περὶ αὐτῆς ὁ Ποιητής·

Ἀλλ' ἐφομαρτεῖτον καὶ σπεύδελον, αἴκε λάβωμεν
Ἀσπίδα Νεσορέην, τ' νῦν κλέος οὐρανὸν ἥκει,
Πᾶσαν χρυσείην ἔμεναι, κανόνας τε καὶ αὐτήν.

12. ΑΚΑ. Ἐσομαμένον, ὠξυμμένον.

13. ΑΕΙ. Ἀπειοικὸς, ἀπρεπές.

14. ΟΡΙ. Ταρασσομένους. ΚΛΟ. Ταράσσοντας.

15. ΕΡΕ. Κατεβέβλητο, κατήριπτο. Ἔστι δὲ ῥῆμα ἐρίπτω, ὃ σημαίνει, τὸ πίπτω· ὡς τό. Ἤριπε δ', ὡς ὅτε τις δρῦς, ἢ ἀχεραΐς. Σημαίνει δὲ καὶ τὸ, καταβάλλω, ἐρείπω· οὗ γίγνεται παθητικὸν, ἐρίπτομαι, ἀντὶ τοῦ καταβάλλομαι· καὶ, ἤριμμαι, παθητικὸς παρακείμενος· καὶ, ἠρίμμην, ὑπερσυντελικός· ἤριπτο· καὶ, Ἀττικὸς ἀναδιπλασιασμὸς, ἐρήριπτο· καὶ, κατὰ συγκοπὴν, ἐρέριπτο.

16. ΠΟΡ. Μελαίνει, ταράσσει. ΚΩ. Τῷ δίχα ἀνέμυ ἐπαιρομένῳ· τῷ ἀνόφῳ, καὶ μηδένα ἦχον ἀποτελοῦντι· μηδέπω γὰρ ἀνέμου εὐκρινοῦς ὄντος, τὸ κῦμα ἠρεμεῖ.

17. ΟΣ. Ἤτοι, προσδεχόμενον, ἢ προσημαῖνον. ΛΙ. Σφοδρῶς πανέστωσ, ὀξέων. ΛΑΙ. Ταχέα. ΚΕ. Τὰς θαλασσίυς ὁρμάς.

18. ΑΥ. Νῦν, ἀπράκτως. ΠΡΟ. Προσωτέρω κυλίεται. ΟΥΔ. Οὐδ' ὄπισθεν. Ἰν' ἢ ἀπὸ κοινῦ τὸ, κυλίνδεται· ὅ ἐστιν, οὐδ' ὄπισθεν ἀνακάμπει τὸ κῦμα.

19. ΚΕ. Ἀφωρισμένον, ἢ σεσυν καὶ σφοδρόν. ΔΙ. Ἀντὶ τῦ, ἐκ τῶν νεφελῶν. ΟΥ. Τὸν ὁρμῆς αἴτιον.

20. ΩΡ. Διενοεῖτο. ΔΑΙ. Διχῇ μεριζόμενος τῷ σκέμματι τ' λογισμόν· τουτέστιν, ἐπὶ πολλὰ τὸν λογισμὸν μεταφέρων, καὶ διασκεπτόμενος.

Ἠὲ μετ' Ἀτρείδην Ἀγαμέμνονα, ποιμένα λαῶν.
Ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
Βῆναι ἐπ' Ἀτρείδην. Οἱ δ' ἀλλήλους ἐνάριζον,
Μαρνάμενοι· λάκε δέ σφι περὶ χροῖ χαλκὸς ἀτειρὴς 25
Νυσσομένων ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισι.
Νέστορι δὲ ξύμβλητο διοτρεφέες βασιλῆες
Πὰρ νηῶν ἀνιόντες, ὅσοι βεβλήατο χαλκῷ,
Τυδείδης, Ὀδυσεύς τε, καὶ Ἀτρείδης Ἀγαμέμνων.
Πολλὸν γάρ ῥ' ἀπάνευθε μάχης εἰρύατο νῆες 30
Θῖν' ἐφ' ἁλὸς πολιῆς· τὰς γὰρ πρώτας πεδίονδε
Εἴρυσαν, αὐτὰρ τεῖχος ἐπὶ πρύμνῃσιν ἔδειμαν.
Οὐδὲ γὰρ ὤδ', εὐρύς περ ἐών, ἐδυνήσατο πάσας
Αἰγιαλὸς νῆας χαδέειν· στείνοντο δὲ λαοί.
Τῷ ῥα προκρόσσας ἔρυσαν, καὶ πλῆσαν ἀπάσης 35
Ἠϊόνος στόμα μακρὸν, ὅσον συνεέργαθον ἄκραι.
Τῷ ῥ' οἴγ' ὀψείοντες ἀϋτῆς καὶ πολέμοιο,
Ἔγχει ἐρειδόμενοι κίον ἀθρόοι· ἄχνυτο δέ σφιν
Θυμὸς ἐνὶ στήθεσσιν· ὁ δὲ ξύμβλητο γεραιὸς
Νέστωρ, πῆξε δὲ θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν· 40
Τὸν καὶ φωνήσας προσέφη κρείων Ἀγαμέμνων·
Ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδος Ἀχαιῶν,

23. ΔΟ. Ἔδοξε. ΚΕΡ. Κρεῖσσον.
25. ΛΑ. Ἤχει, ἰψόφει. ΑΤΕΙ. Ἀτρωτος, ὁ τειρόμενος ὑπὸ Ἄρεος.
27. ΣΥΜ. Συνέτυχον.
28. ΠΑΡ. Ἀντὶ τοῦ, ἀπὸ τῶν νηῶν. ΒΕ. Βεβλημένοι ἦσαν.
30. ΠΟΛ. Πολύ.
34. ΧΑ. Χωρῆσαι. ΣΤΕΙ. Ἐστενοχωροῦντο, διὰ τὸ πλῆθος.
35. ΠΡΟ. Ἄλλην πρὸ ἄλλης παραλλήλως ἀνείλκυσαν κλιμακηδὸν, καὶ ἀνθυπέταξαν αὐτὰς ἀλλήλαις. Κρόσσαι δὲ καλοῦνται, αἱ τειχομάχοι κλίμακες. ΠΛΗ. Ἐπλήρωσαν, ἐγέμισαν.
36. ΗΙ. Τὴν ἀρχὴν, τὴν εἰσβολὴν τῆς αἰγιαλοῦ. ΣΥΝ. Ὅσον ἦν διάστημα, ὃ συνέκλεισαν καὶ συνεδέσμευν αἱ τοῦ Ἑλλησπόντου ἄκραι, τὸ Ῥοίτειον καὶ Σίγειον.
37. ΟΨΕΙ. Ὀφθαλμῶν ἔχοντες, θέλοντες ἰδεῖν.
38. ΕΡΕΙ. Ἐπειρειδόμενοι, σκηριπτόμενοι.
40. ΠΤΗ. Τὸ εὔρωστον καὶ εὔθυμον τῆς ἑκάστου ψυχῆς εἰς δέος ἤγαγε. Γράφεται δὲ καὶ, πῆξεν· ἵν' ᾖ, ἀκίνητον ἐποίησαν.

Τίπτε λιπὼν πόλεμον φθισήνορα δεῦρ' ἀφικάνεις;
Δειδῶ, μὴ δή μοι τελέσῃ ἔπος ὄβριμος Ἕκτωρ,
Ὡς ποτ' ἐπηπείλησεν ἐνὶ Τρώεσσ' ἀγορεύων, 45
Μὴ πρὶν πὰρ νηῶν προτὶ Ἴλιον ἀπονέεσθαι,
Πρὶν πυρὶ νῆας ἐνιπρῆσαι, κτεῖναι δὲ καὶ αὐτούς.
Κεῖνός θ' ὡς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται.
Ὦ πόποι, ἦ ῥα καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοὶ
Ἐν θυμῷ βάλλονται ἐμοὶ χόλον, ὥσπερ Ἀχιλλεὺς 50
Οὐδ' ἐθέλουσι μάχεσθαι ἐπὶ πρύμνῃσι νέεσσι.
Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
Ἦ δὴ ταῦτά γ' ἐτοῖμα τετεύχαται, οὐδέ κεν ἄλλως
Ζεὺς ὑψιβρεμέτης αὐτὸς παρατεκτήναιτο.
Τεῖχος μὲν γὰρ δὴ κατερήριπεν, ᾧ ἐπεπίθμεν, 55
Ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι·
Οἱ δ' ἐπὶ νηυσὶ θοῇσι μάχην ἀλίαστον ἔχουσι
Νωλεμές· οὐδ' ἂν ἔτι γνοίης, μάλα περ σκοπιάζων,
Ὁππότερωθεν Ἀχαιοὶ ὀρινόμενοι κλονέονται·
Ὡς ἐπιμιξ κτείνονται, ἀϋτὴ δ' οὐρανὸν ἵκει. 60
Ἡμεῖς δὲ φραζώμεθ', ὅπως ἔσται τάδε ἔργα,
Εἴ τι νόος ῥέξει· πόλεμον δ' οὐκ ἄμμε κελεύω
Δύμεναι· οὐ γάρ πως βεβλημένον ἐστὶ μάχεσθαι.
Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
Νέστορ, ἐπειδὴ νηυσὶν ἔπι πρύμνῃσι μάχονται, 65
Τεῖχος δ' οὐκ ἔχραισμε τετυγμένον, οὐδέ τι τάφρος,
Ἧ ἔπι πόλλ' ἔπαθον Δαναοί, ἔλποντο δὲ θυμῷ
Ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι·

53. ΕΤ. Εὔληπτα, φανερά. ΤΕ. Κατεσκευάσαι.
54. ΠΑ. Ἐπινοήσειε.
55. ΚΑ. Κατέπεσεν. ΕΠ. Ἐπεπίθομεν, ἐπεπιστεύκειμεν.
56. ΑΡΡΗ. Στερεόν. ΕΙ. Ἀσφάλεια.
57. ΑΛ. Ἀδιάλειπτον.
66. ΕΧΡ. Οὐκ ἐβοήθησεν.

Οὔτω πω Διὶ μέλλει ὑπερμενέϊ φίλον εἶναι,
Νωϊτέρους ἀπολέσθαι, ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιοῦς. 70
Ἤδεα μὲν γὰρ, ὅτε πρόφρων Δαναοῖσιν ἄμυνεν·
Οἶδα δὲ νῦν, ὅτι τοὺς μὲν ὁμῶς μακάρεσσι θεοῖσι
Κυδάνει, ἡμέτερον δὲ μένος καὶ χεῖρας ἔδησεν.
Ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες·
Νῆας, ὅσαι πρῶται εἰρύαται ἄγχι θαλάσσης, 75
Ἕλκωμεν, πάσας δὲ ἐρύσσομεν εἰς ἅλα δῖαν·
Ὕψι δ' ἐπ' εὐνάων ὁρμίσσομεν, εἰσόκεν ἔλθῃ
Νὺξ ἀβρότη, ἣν κεν καὶ τῇ ἀπόσχωνται πολέμοιο
Τρῶες· ἔπειτα δέ κεν ἐρυσαίμεθα νῆας ἁπάσας.
Οὐ γάρ τις νέμεσις φυγέειν κακὸν, ὐδ' ἀνὰ νύκτα. 80
Βέλτερον, ὃς φεύγων προφύγῃ κακὸν, ἤπερ ἁλώῃ.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Ἀτρεΐδη, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;
Οὐλόμεν', αἴθ' ὤφελλες ἀεικελίῳ στρατῷ ἄλλῳ
Σημαίνειν, μηδ' ἄμμιν ἀνασσέμεν· οἷσιν ἄρα Ζεὺς 85
Ἐκ νεότητος ἔδωκε καὶ ἐς γῆρας τολυπεύειν

71. ΗΔ. Ἤδειν, ἠπιστάμην.
73. ΚΥ. Δοξάζει.
75. ΠΡΩ. Ἐν τῇ ἀρχῇ, ἐν τῇ ἄκρᾳ. ΕΙ. Εἰλκυσμένας εἰσίν.
77. ΥΨΙ. Ἐφ' ὕψους. Τὸ ὑγρὸν γὰρ ὑψηλότερον τῆς γῆς· διὸ ἀνάπλους μὲ, ἀναγωγή· κατάπλους δὲ, ἡ προσόρμησις.
78. ΑΒΡ. Ἀμβροσία, θεία. Οἱονεὶ ἀβρότη. Ἔστι γὰρ ἱερὰ τῶν θεῶν ἡ νὺξ, ἐν ᾗ βροτὸς οὐκ ἀναστρέφεται, ἢ βρότος, βαρυτόνως, τυτέτι, μολυσμὸς καὶ φόνος, ὐ γίνεται. ΗΝ. Ἐὰν ὅλως καὶ δι' αὐτῆς. Ἐζήτηται δὲ, πῶς ὁ Ἀγαμέμνων ὢν στρατηγικῶς φυλεῖν προτάσσει τοῖς Ἕλλησι, λέγων· Νῆας, ὅσαι σῴζεται. Ῥητέον ὖν, ὅτι ὁ Ἀγαμέμνων, γινώσκων αὐτοὺς μὴ φευξομένους, διὰ τὴν οἰκείαν ἀρετὴν, καὶ ὅτι ὐδὲ λαθεῖν ἠδύναντο τὴν πολεμίους, ἐπιτρέπει αὐτοῖς φεύγειν, ἵνα μὴ, παρὰ δύναμιν κατέχων αὐτοὺς, ἕνεκα τοῦ καθ' ἑαυτὸν χρησίμου, αἴτιος γενέσθαι δόξῃ τοῦ πάντας ἀπολέσθαι· τοὐναντίον δὲ, εὔνοιαν ἑαυτῷ πορίσηται, διὰ τὸ πᾶν ὁτιοῦν αἱρεῖσθαι ποιεῖν, καὶ ὑπομένειν, καὶ τὴν ἐκ τῆς φυγῆς ἀδοξίαν, ἕνεκεν τῆς ἐκείνων σωτηρίας.
83. ΕΡ. Περιφραστικῶς, τοὺς ὀδόντας· ἢ τροπικῶς, αὐτὰ τὰ χείλη.
84. ΟΥ. Ὀλεθριώτατε, ἢ, ὀλέθρου τοῖς Ἕλλησι παρασκευαστικέ. ΑΕΙ. Εὐκαταφρόνητε· ὅ ἐστιν, εὐτελῶς, κακῶ.
85. ΣΗ. Νῦν, ἄρχειν.
86. ΤΟ. Κατεργάζεσθαι. Μεταφορικῶς· ἰδίως γὰρ τολύπη καλεῖται τὸ κατεργασμένον ἔριον.

"Αργαλέους πολέμους, ὄφρα φθιόμεθα ἕκαστος.
Οὕτω δὴ μέμονας Τρώων πόλιν εὐρυάγυιαν
Καλλείψειν, ἧς εἵνεκ' ὀϊζύομεν κακὰ πολλά;
Σίγα, μήτις τ' ἄλλος Ἀχαιῶν τοῦτον ἀκούσῃ 90
Μῦθον, ὃν ὄ κεν ἀνήρ γε διὰ στόμα πάμπαν ἄγοιτο,
Ὅστις ἐπίστοιτο ἧσι φρεσὶν ἄρτια βάζειν,
Σκηπτοῦχός τ' εἴη, καί οἱ πειθοίατο λαοὶ
Τοσσοίδ', ὅσσοισιν σὺ μετ' Ἀργείοισιν ἀνάσσεις.
Νῦν δέ σευ ὠνοσάμην πάγχυ φρένας, οἷον ἔειπες· 95
Ὃς κέλεαι, πολέμοιο συνεσταότος καὶ ἀϋτῆς,
Νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν, ὄφρ' ἔτι μᾶλλον
Τρωσὶ μὲν εὐκτὰ γένηται, ἐπικρατέουσί περ ἔμπης·
Ἡμῖν δ' αἰπὺς ὄλεθρος ἐπιῤῥέπῃ· οὐ γὰρ Ἀχαιοὶ
Σχήσουσιν πόλεμον, νηῶν ἅλαδ' ἑλκομενάων, 100
Ἀλλ' ἀποπαπτανέουσιν, ἐρωήσουσι δὲ χάρμης.
Ἔνθα κε σὴ βουλὴ δηλήσεται, ὄρχαμε λαῶν.
Τὸν δ' ἠμείβετ' ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
Ὦ Ὀδυσεῦ, μάλα πῶς με καθίκεο θυμὸν ἐνιπῇ
Ἀργαλέῃ· ἀτὰρ οὐ μὲν ἐγὼν ἀέκοντας ἄνωγα 105
Νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν υἷας Ἀχαιῶν·
Νῦν δ' εἴη, ὃς τῆσδέ γ' ἀμείνονα μῆτιν ἐνίσποι,
Ἦ νέος, ἠὲ παλαιός· ἐμοὶ δέ κεν ἀσμένῳ εἴη.

87. ΦΘΙ. Φθαρῶμεν, ἀπολόμεθα.
89. ΚΑΛ. Καταλείψειν. ΟΙ. Κακοπαθοῦμεν.
91. ΟΝ. Ὅν οὐκ ἂν εἴποι συνετὸς καὶ σώφρων ἀνήρ. Ἀνὰ στόμα γὰρ ἀντὶ τοῦ, διὰ στόματος.
92. ΑΡ. Ὑγιῆ καὶ ἁρμόδια λέγειν.
95. ΩΝΟ. Ἐμεμψάμην.
96. ΣΥ. Συνεστῶτος.
98. ΕΥΚ. Εὐχῆς ἄξια.
99. ΕΠΙ. Ἐπηρτημένος, καταῤῥιπτὴς ἢ. Ἡ μεταφορὰ ἀπὸ τῶν ζυγοστατουμένων σωμάτων.
100. ΣΧΗ. Ὑπομενοῦσιν, ἀνθέξουσιν.
101. ΑΠΟ. Εἰς τὰς ναῦς ἀποβλέψουσιν, ἢ ἀλλαχόσε· ὅ ἐστι, φεύξονται. ΕΡΩ. Ὑποχωρήσουσιν, ἀμελήσουσι.
102. ΔΗ. Βλάψει.
104. ΚΑ. Καθήψω, ἐλύπησας. ΕΝΙ. Ἐπιτιμήσει, ἐπιπλήξει.
107. ΕΙΗ. Ἔγω, φαινέσθω. ΜΗ. Γνώμην. ΕΝΙ. Εἴποι, φράσοι.
108. ΠΑ. Πρεσβύτερος, γέρων. ΑΣ. Ἐκόντι, χαίροντι.

Τοῖσι δὲ καὶ μετέειπε βοὴν ἀγαθὸς Διομήδης·
Ἐγγὺς ἀνὴρ, ἐ δηθὰ ματεύσομεν, αἴ κ' ἐθέλητε 110
Πείθεσθαι· καὶ μήτι κότῳ ἀγάσησθε ἕκαστος,
Οὕνεκα δὴ γενεῇφι νεώτατός εἰμι μεθ' ὑμῖν·
Πατρὸς δ' ἐξ ἀγαθοῦ κ' ἐγὼ γένος εὔχομαι εἶναι
Τυδέος, ὃν Θήβῃσι χυτὴ κατὰ γαῖα κάλυψε.
Πορθεῖ γὰρ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο, 115
Ὤκεον δ' ἐν Πλευρῶνι, κ' αἰπεινῇ Καλυδῶνι,
Ἄγριος, ἠδὲ Μέλας, τρίτατος δ' ἦν ἱππότα Οἰνεύς,
Πατρὸς ἐμεῖο πατήρ· ἀρετῇ δ' ἦν ἔξοχος αὐτῶν.
Ἀλλ' ὁ μὲν αὐτόθι μεῖνε, πατὴρ δ' ἐμὸς Ἄργεϊ νάσθη,
Πλαγχθείς· ὣς γάρ πε Ζεὺς ἤθελε καὶ θεοὶ ἄλλοι. 120
Ἀδρήστοιο δ' ἔγημε θυγατρῶν, ναῖε δὲ δῶμα
Ἀφνειὸν βιότοιο, ἄλις δέ οἱ ἦσαν ἄρουραι
Πυροφόροι, πολλοὶ δὲ φυτῶν ἔσαν ὄρχατοι ἀμφὶς,

110. ΕΓ. Ἀντὶ τοῦ, ὁ συμβουλεύων. Ἐζήτηται δὲ, διατὶ νῦν Διομήδης συμβουλεύει, καὶ οὐ Νέστωρ. Ῥητέον δὴ, ὅτι τὸ μὲν γῆρας ἐν τοῖς δεινοῖς ἐστιν ἐπισχετικόν· ἡ δὲ νεότης θαρσαλεώτερον· ἄλλως τε καὶ Διομήδης ἐν τῇ πρωτέρᾳ συμβουλῇ θαυμασθεὶς, νῦν μᾶλλον τεθάρρηκε, καὶ προήρπακε τῷ πρεσβυτέρῳ τοὺς λόγους. ΜΑ. Ἤτοι, ματαιοπραγήσομεν· ἢ ἀντὶ τοῦ, ζητήσομεν· ἴδιοι, μαστεύσομεν.

111. ΚΟ. Μετ' ὀργῆς μέμψηθε.

112. ΓΕ. Ἡλικίᾳ.

114. ΟΝ. Ἀντὶ τοῦ, ὃς ἐν Θήβαις ἐτελεύτησεν ἐν τῷ Θηβαϊκῷ πολέμῳ· χυτὴ γὰρ, ἡ τοῖς τεθνεῶσιν ἐπιχεομένη γῆ.

118. ΑΡΕ. Εὐδαιμονία, ἀνδρεία.

119. ΑΥ. Ἐν τῷ τόπῳ ἔμεινε. ΝΑ. Ἀπωκίδη.

120. ΠΛΑ. Ἀποπλανηθεὶς καὶ ἐκπεσὼν τῆς πατρίδος, διὰ τὴν φυγήν. ΖΕΥ. Βουλόμενος ὁ Διομήδης παρεσιώπησε τὴν τοῦ πατρὸς φυγήν. Τυδεὺς γὰρ, ἀπελαυνόμενος Λυκωπία καὶ Ἀλκάθοῃ, ἑαυτοῦ παῖδας, ἔφυγεν· ἡ δ' ἀληθεστέρα ἱστορία ἐστὶν αὕτη. Τυδεὺς, ὁ Οἰνέως, Αἰτωλὸς μὲν ἦν τὸ γένος, ἀνδρειότατος δὲ τῶν κατ' αὐτὸν γενόμενος. Ἔτι νέος ὤν, ἐθεάσατο τὸν πατέρα, διὰ γῆρας, ὑπὸ τῶν Ἀγρίου παίδων, τῆς βασιλείας ἐκβαλλόμενον. Διόπερ ἀναιρεῖ τούς τε ἀνεψιοὺς, καὶ σὺν αὐτοῖς ἀκουσίως ἀδελφόν. Φεύγων δ' εἰς Ἄργος πρὸς Ἄδραστον, βασιλέα τῆς χώρας, καθαρσίων τε τυγχάνει πρὸς αὐτοῦ, καὶ γαμεῖ τὴν αὐτοῦ θυγατέρα Δηϊπύλην. Ἡ ἱστορία παρὰ Φερεκύδῃ.

121. ΘΥ. Προσληπτέον τὸ, μίαν, τὴν Δηϊπύλην. Διατὶ νῦν ὁ Διομήδης ἑαυτὸν γενεαλογεῖ; Ῥητέον, ὅτι πάνυ ῥητορικῶς· Δεῖ γὰρ ἐν ταῖς συμβουλαῖς προσαποδεικνύειν, ὡς εἰσὶν οὐχ οἱ τυχόντες, ἀλλὰ τῶν πάνυ ἐνδόξων, ἵν' ὦσιν τῷ ἀξιώματι πειθόμενοι.

122. ΑΛ. Δαψιλῶς, ἱκανῶς.

123. ΠΥ. Σιτοφόροι. ΟΡ. Αἱ ἐκλεκτοὶ φυτεῖαι, κῆποι.

ἐ Ἀργαλέης πολέμης, ὄφρα φθιόμεθα ἕκαστος.
ἐ Οὕτω δὴ μέμονας Τρώων πόλιν εὐρυάγυιαν
ἐ Καλλείψειν, ἧς εἵνεκ' ὀϊζύομεν κακὰ πολλά;
ἐ Σίγα, μήτις τ' ἄλλος Ἀχαιῶν τοῦτον ἀκούσῃ 90
ἐ Μῦθον, ὃν οὔ κεν ἀνὴρ γε διὰ στόμα πάμπαν ἄγοιτο,
ἐ Ὅστις ἐπίστατο ἧσι φρεσὶν ἄρτια βάζειν,
ἐ Σκηπτοῦχός τ' εἴη, καί οἱ πειθοίατο λαοὶ
ἐ Τοσσοίδ', ὅσσοισιν σὺ μετ' Ἀργείοισιν ἀνάσσεις.
ἐ Νῦν δέ σευ ὠνοσάμην πάγχυ φρένας, οἷον ἔειπες· 95
ἐ Ὃς κέλεαι, πολέμοιο συνεταότος καὶ ἀϋτῆς,
ἐ Νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν, ὄφρ' ἔτι μᾶλλον
ἐ Τρωσὶ μὲν εὐκτὰ γένηται, ἐπικρατέουσί περ ἔμπης·
ἐ Ἡμῖν δ' αἰπὺς ὄλεθρος ἐπιῤῥέπῃ· οὐ γὰρ Ἀχαιοὶ
ἐ Σχήσουσιν πόλεμον, νηῶν ἅλαδ' ἑλκομενάων, 100
ἐ Ἀλλ' ἀποπαπτανέουσιν, ἐρωήσουσι δὲ χάρμης.
ἐ Ἔνθα κε σὴ βουλὴ δηλήσεται, ὄρχαμε λαῶν.'
Τὸν δ' ἠμείβετ' ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
ἐ Ὦ Ὀδυσεῦ, μάλα πῶς με καθίκεο θυμὸν ἐνιπῇ
ἐ Ἀργαλέῃ· ἀτὰρ οὐ μὲν ἐγὼν ἀέκοντας ἄνωγα 105
ἐ Νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν υἷας Ἀχαιῶν·
ἐ Νῦν δ' εἴη, ὃς τῆσδέ γ' ἀμείνονα μῆτιν ἐνίσποι,
ἐ Ἢ νέος, ἠὲ παλαιός· ἐμοὶ δέ κεν ἀσμένῳ εἴη.'

87. ΦΘΙ. Φθαρῶμεν, ἀπολόμεθα.
89. ΚΑΛ. Καταλείψειν. ΟΙ. Κακοπαθοῦμεν.
91. ΟΝ. Ὃν οὐκ ἂν εἴποι συνετὸς καὶ σώφρων ἀνήρ. Ἀνὰ στόμα γὰρ ἀντὶ τοῦ, διὰ στόματος.
92. ΑΡ. Ὑγιῆ καὶ ἁρμόδια λέγειν.
95. ΩΝΟ. Ἐμεμψάμην.
96. ΣΥ. Συνεργῶτος.
98. ΕΥΚ. Εὐχῆς ἄξια.
99. ΕΠΙ. Ἐπηρτημένος, καταῤῥεπὴς ἦ. Ἡ μεταφορὰ ἀπὸ τῶν ζυγοστατουμένων σωμάτων.
100. ΣΧΗ. Ὑπομενοῦσιν, ἀνθέξουσιν.
101. ΑΠΟ. Εἰς τὰς ναῦς ἀποβλέψουσιν, ἢ ἀλλαχόσε· ὅ ἐστι, φεύξονται. ΕΡΩ. Ὑποχωρήσουσιν, ἀμελήσουσι.
102. ΔΗ. Βλάψει.
104. ΚΑ. Καθήψω, ἐλύπησας. ΕΝΙ. Ἐπιτιμήσει, ἐπιπλήξει.
107. ΕΙΗ. Ἔγω, φαινέσθω. ΜΗ. Γνώμην. ΕΝΙ. Εἴποι, φράσοι.
108. ΠΑ. Πρεσβύτερος, γέρων. ΑΣ. Ἑκόντι, χαίροντι.

Τοῖσι δὲ καὶ μετέειπε βοὴν ἀγαθὸς Διομήδης·
Ἐγγὺς ἀνὴρ, ὃ δηθὰ ματεύσομεν, αἴ κ' ἐθέλῃτε 110
Πείθεσθαι· καὶ μήτι κότῳ ἀγάσησθε ἕκαστος,
Οὕνεκα δὴ γενεῇφι νεώτατός εἰμι μεθ' ὑμῖν·
Πατρὸς δ' ἐξ ἀγαθοῦ κ' ἐγὼ γένος εὔχομαι εἶναι
Τυδέος, ὃν Θήβῃσι χυτὴ κατὰ γαῖα κάλυψε.
Πορθεῖ γὰρ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο, 115
Ὤκεον δ' ἐν Πλευρῶνι, καὶ αἰπεινῇ Καλυδῶνι,
Ἄγριος, ἠδὲ Μέλας, τρίτατος δ' ἦν ἱππότα Οἰνεύς,
Πατρὸς ἐμεῖο πατήρ· ἀρετῇ δ' ἦν ἔξοχος αὐτῶν.
Ἀλλ' ὁ μὲν αὐτόθι μεῖνε, πατὴρ δ' ἐμὸς Ἄργεϊ νάσθη,
Πλαγχθείς· ὣς γάρ πῃ Ζεὺς ἤθελε καὶ θεοὶ ἄλλοι. 120
Ἀδρήστοιο δ' ἔγημε θυγατρῶν, ναῖε δὲ δῶμα
Ἀφνειὸν βιότοιο, ἄλις δέ οἱ ἦσαν ἄρουραι
Πυροφόροι, πολλοὶ δὲ φυτῶν ἔσαν ὄρχατοι ἀμφίς,

110. ΕΓ. Ἀντὶ τοῦ, ὁ συμβουλεύων. Ἐζήτηται δὲ, διατὶ νῦν Διομήδης συμβουλεύει, καὶ οὐ Νέστωρ. Ῥητέον δὲ, ὅτι τὸ μὲν γῆρας ἐν τοῖς δεινοῖς ἐστιν ἐπιχειρητικόν· ἡ δὲ νεότης θαρσαλεώτερον· ἄλλως τε καὶ Διομήδης ἐν τῇ πρωτέρᾳ συμβουλῇ θαυμασθεὶς, νῦν μᾶλλον τεθάρρηκε, καὶ προήρπακε τῷ πρεσβυτέρῳ τοὺς λόγους. ΜΑ. Ἤτοι, ματαιοπραγήσομεν· ἢ ἀντὶ τοῦ, ζητήσομεν· ἴσως, μαστεύσομεν.

111. ΚΟ. Μετ' ὀργῆς μέμψησθε.

112. ΓΕ. Ἡλικίᾳ.

114. ΟΝ. Ἀντὶ τοῦ, ὃς ἐν Θήβαις βασιλεύσασιν ἐν τῷ Θηβαϊκῷ πολέμῳ· χυτὴ γὰρ, ἡ τοῖς τεθνεῶσιν ἐπιχεομένη γῆ.

118. ΑΡΕ. Εὐδαιμονίᾳ, ἀνδρείᾳ.

119. ΑΥ. Ἐν τῷ τόπῳ ἔμεινε. ΝΑ. Ἀπωκίσθη.

120. ΠΛΑ. Ἀποπλανηθεὶς καὶ ἐκπεσὼν τῆς πατρίδος, διὰ τὴν φυγήν. ΖΕΥ. Εὐχομένου ὁ Διομήδης παρεσιώπησε τὴν τοῦ πατρὸς φυγήν. Τυδεὺς γὰρ, ἀπελθὼν Λυκωπίαν καὶ Ἀλκάθοῃ, ἑαυτοῦ παῖδας, ἔφυγεν· ἡ δ' ἀληθεστέρα ἱστορία ἐστὶν αὕτη. Τυδεὺς, ὁ Οἰνέως, Αἰτωλὸς μὲν ἦν τὸ γένος, ἀνδρειότατος δὲ τῶν κατ' αὐτὸν γενόμενος. Ἔτι νέος ὤν, ἐθεάσατο τὸν πατέρα, διὰ γῆρας, ὑπὸ τῶν Ἀγρίου παίδων, τῆς βασιλείας ἐκβαλλόμενον. Διόπερ ἀναιρεῖ τούς τε ἀνεψιοὺς, καὶ σὺν αὐτοῖς ἀκουσίως ἀδελφόν. Φεύγων δ' εἰς Ἄργος πρὸς Ἄδραστον, βασιλέα τῆς χώρας, καθαρσίων τε τυγχάνει πρὸς αὐτοῦ, καὶ γαμεῖ τὴν αὐτοῦ θυγατέρα Δηϊπύλην. Ἡ ἱστορία παρὰ Φερεκύδῃ.

121. ΘΥ. Προσληπτέον τὸ, μίαν, τὴν Δηϊπύλην. Διατὶ νῦν ὁ Διομήδης ἑαυτὸν γενεαλογεῖ; Ῥητέον, ὅτι πάνυ ῥητορικῶς· Δεῖ γὰρ ἐν ταῖς συμβουλαῖς προαποδεικνύειν, ὡς εἰσὶν οὐχ οἱ τυχόντες, ἀλλὰ τῶν πάνυ ἐνδόξων, ἵν' ὦσιν τῷ ἀξιώματι πιστοῖ.

122. ΑΛ. Δαψιλῶς, ἱκανῶς.

123. ΠΥ. Σιτοφόροι. ΟΡ. Αἱ ἐκ σίτου φυτεῖαι, κῆποι.

‘ Πολλὰ δέ οἱ πρόβατ᾽ ἔσκε· κέκασο δὲ πάντας Ἀχαιοὺς
‘ Ἐγχέϊ· τὰ δὲ μέλλετ᾽ ἀκουέμεν, ὡς ἐτεόν περ. 125
‘ Τῷ οὐκ ἄν με γένος γε κακὸν καὶ ἀνάλκιδα φάντες,
‘ Μῦθον ἀτιμήσαιτε πεφασμένον, ὅν κ᾽ εὖ εἴπω.
‘ Δεῦτ᾽ ἴομεν πόλεμόνδε, κ᾽ ἐτάμενοί περ, ἀνάγκῃ·
‘ Ἔνθα δ᾽ ἔπειτ᾽ αὐτοὶ μὲν ἐχώμεθα δηϊοτῆτος,
‘ Ἐκ βελέων, μή πέ τις ἐφ᾽ ἕλκεϊ ἕλκος ἄρηται· 130
‘ Ἄλλους δ᾽ ὀτρυνέοντες ἐνήσομεν, οἳ τὸ πάρος περ
‘ Θυμῷ ἦρα φέροντες ἀφεστᾶσ᾽, ἠδὲ μάχονται.’
Ὣς ἔφαθ᾽· οἱ δ᾽ ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ᾽ ἐπίθοντο·
Βὰν δ᾽ ἴμεν, ἦρχε δ᾽ ἄρα σφιν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
Οὐδ᾽ ἀλαοσκοπιὴν εἶχε κλυτὸς Ἐννοσίγαιος, 135
Ἀλλὰ μετ᾽ αὐτοὺς ἦλθε, παλαιῷ φωτὶ ἐοικώς·
Δεξιτερὴν δ᾽ ἕλε χεῖρ᾽ Ἀγαμέμνονος Ἀτρείδαο,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
‘ Ἀτρείδη, νῦν δή που Ἀχιλλῆος ὀλοὸν κῆρ
‘ Γηθεῖ ἐνὶ στήθεσσι, φόνον καὶ φῦζαν Ἀχαιῶν 140
‘ Δερκομένῳ· ἐπεὶ οὔ οἱ ἔνι φρένες ἠδ᾽ ἠβαιαί.
‘ Ἀλλ᾽ ὁ μὲν ὣς ἀπόλοιτο, θεὸς δέ ἑ σιφλώσειε·
‘ Σοὶ δ᾽ ὄπω μάλα πάγχυ θεοὶ μάκαρες κοτέουσιν·

124. ΠΡΟ. Πάντα τὰ τετράποδα ἐκάλουν οἱ παλαιοὶ πρόβατα, διὰ τὸ πρὸ τῶν ὀπισθίων βάσεων ἑτέρας ἐμπροσθίους ἔχειν. Καθ᾽ ὃ καὶ Ἡσίοδός φησι· Χαλεπὸς προβάτοις, χαλεπὸς δ᾽ ἀνθρώποις. ΕΣ. Ἦν, ὑπῆρχεν. ΚΕ. Ἐκεκόσμητο, ὑπέρ· ἐνίκα.

125. ΜΕΛ. Ταῦτα εἰκὸς ὑμᾶς ἀκηκοέναι. ΕΤ. Ὡς ἀληθές.

126. ΓΕ. Δυσγενῆ. ΦΑΝ. Λογισάμενοι, εἰπόντες.

127. ΠΕ. Νῦν, φανερῶς εἰρημένον.

128. ΟΥ. Τέρωμένοι. ΑΝ. Διὰ τὴν ἀνάγκην.

129. ΕΧΩ. Ἀπεχώμεθα.

130. ΕΚ. Ἔξω τῶν βελῶν. ΜΗ. Μή τις τραυματίας ὑπάρχων, τραῦμα ἕτερον λάβῃ.

131. ΕΝΗ. Παρορμήσομεν, ἐμβαλοῦμεν τοῖς πολεμίοις.

132. ΘΥ. Χαριζόμενοι τῇ ψυχῇ τὴν ἀργίαν.

135. ΑΛΑ. Μάταιον καὶ τυφλὸν τὸν σκοπόν. Ἀλαὸς γάρ, ὁ τυφλός. ΕΝ. Κινησίγαιος. Ἔνοσις γὰρ, ἡ κίνησις.

136. ΜΕΤ. Ἀντὶ τοῦ, πρὸς αὐτοὺς ἦλθεν.

139. ΟΛ. Ὀλίθριον.

140. ΦΥ. Τὴν μετὰ δίης φυγήν.

141. ΔΕΡ. Ὀρῶντος. ΕΝΙ. Ἔπεισιν, ὑπάρχουσιν. ΗΒΑΙ. Οὐδὲ ὀλίγαι.

"Ἀλλ' ἔτι πυ Τρώων ἡγήτορες, ἠδὲ μέδοντες,
Εὐρὺ κονίσσυσιν πεδίον· σὺ δ' ἐπόψεαι αὐτὺς 145
Φεύγοντας προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων."
Ὣς εἰπὼν, μέγ' ἄυσεν, ἐπεσσύμενος πεδίοιο·
Ὅσσον τ' ἐννεάχιλοι ἐπίαχον, ἢ δεκάχιλοι
Ἀνέρες ἐν πολέμῳ, ἔριδα ξυνάγοντες Ἄρηος·
Τόσσην ἐκ στήθεσφιν ὄπα κρείων Ἐνοσίχθων 150
Ἧκεν· Ἀχαιοῖσιν δὲ μέγα σθένος ἔμβαλ' ἑκάστῳ
Καρδίῃ, ἄλληκτον πολεμίζειν ἠδὲ μάχεσθαι.
Ἥρη δ' εἰσεῖδε χρυσόθρονος ὀφθαλμοῖσι,
Στᾶσ', ἐξ Οὐλύμποιο ἀπὸ ῥίου· αὐτίκα δ' ἔγνω
Τὸν μὲν ποιπνύοντα μάχην ἀνὰ κυδιάνειραν 155
Αὐτοκασίγνητον καὶ δαέρα, χαῖρε δὲ θυμῷ·
Ζῆνα δ' ἐπ' ἀκροτάτης κορυφῆς πολυπίδακος Ἴδης
Ἥμενον εἰσεῖδε· συγερὸς δέ οἱ ἔπλετο θυμῷ.
Μερμήριξε δ' ἔπειτα βοῶπις πότνια Ἥρη,
Ὅππως ἐξαπάφοιτο Διὸς νόον αἰγιόχοιο· 160
Ἧδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλὴ,
Ἐλθεῖν εἰς Ἴδην, εὖ ἐντύνασάν ἑ αὐτὴν,
Εἴ πως ἱμείραιτο παραδραθέειν φιλότητι
Ἦ χροιῇ, τῷ δ' ὕπνον ἀπήμονά τε λιαρόν τε

145. ΚΟ. Κόνεως πληρώσουσιν. Ἐκ δὲ τῦ παρακολουθοῦντος νοεῖται τὸ, φεύξονται· οἱ γὰρ φεύγοντες, κατὰ τὸν δρόμον ἐγείρουσι κόνιν. ΕΠΟΥ. Θεάσῃ.

148. ΕΝ. Ἐκπακιχίλιοι. Πῶς δέ φησιν, ὁ Ποσειδῶν, ὁμοιωθεὶς πρεσβύτῃ, ὑπὲρ τὴν ἡλικίαν φθέγγεται; Καὶ ῥητέον, ὅτι τῇ μὲν ὄψει πρεσβύτης ἐφαίνετο, τῇ φωνῇ δὲ τὴν τῦ θεῦ δύναμιν ἐνεδείκνυτο. ΕΠΙ. Ἐπεβόησαν.

150. ΣΤΗ. Ἐκ τῶν στηθῶν.

152. ΑΛ. Ἄλληκτον, ἄπαυστον.

154. ΣΤΑΣ. Τὸ πλῆρες, στᾶσα. ΑΠΟ. Ἀπὸ τῦ ἀκρωτηρίου τῦ ὄρους.

155. ΠΟΙ. Ἐνεργῦντα. Γίνεται δὲ ἐκ τοῦ πνύω, καὶ ποιπνύω, ἀναδιπλασιασμῷ.

156. ΔΑΕ. Ἀνδρὸς ἀδελφόν.

158. ΣΤΥ. Κατάπληκτος, μισητός· ἢ συγγνωστοιός· τὸ γὰρ κεχαρισμένον αὐτῇ σῦπω ἐποίει.

160. ΕΞ. Ἐξαπατήσειεν.

162. ΕΝ. Παρασκευασαμένην, κοσμησαμένην.

163. ΙΜΕΙ. Ἐπιθυμήσειεν, ἱραδῇ. ΠΑ. Παραδαρθεῖν· παρακαταπλιθῦναι.

164. ΧΡ. Τῷ ἰδίῳ αὐτῆς χρωτί. ΔΙ. Χλιαρὸν, θερμὸν, ἡδύ. Τῶν δὲ πολλ.

Χεύη ἐπὶ βλεφάροισιν, ἰδὲ φρεσὶ πευκαλίμῃσι. 165
Βῆ δ' ἴμεν ἐς θάλαμον, τόν οἱ φίλος υἱὸς ἔτευξεν
Ἥφαιστος, πυκινὰς δὲ θύρας σαθμοῖσιν ἐπῆρσε
Κληῖδι κρυπτῇ· τὸν δ' ὄ θεὸς ἄλλος ἄνωγεν.
Ἔνθ' ἤγ' εἰσελθοῦσα, θύρας ἐπέθηκε φαεινάς.
Ἀμβροσίῃ μὲν πρῶτον ἀπὸ χροὸς ἱμερόεντος 170
Λύματα πάντα κάθηρεν, ἀλείψατο δὲ λίπ' ἐλαίῳ,
Ἀμβροσίῳ, ἑδανῷ, τό ῥά οἱ τεθυωμένον ἦεν·
Τὸ καὶ κινυμένοιο Διὸς πρὸς χαλκοβατὲς δῶ,
Ἔμπης ἐς γαῖάν τε καὶ οὐρανὸν ἵκετ' ἀϋτμή.
Τῷ ῥ' ἤγε χρόα καλὸν ἀλειψαμένη, ἰδὲ χαίτας 175
Πεξαμένη, χερσὶ πλοκάμους ἔπλεξε φαεινοὺς,
Καλοὺς, ἀμβροσίους, ἐκ κράατος ἀθανάτοιο.
Ἀμφὶ δ' ἄρ' ἀμβρόσιον ἑανὸν ἕσαθ', ὅν οἱ Ἀθήνη
Ἕξυσ' ἀσκήσασα, τίθει δ' ἐνὶ δαίδαλα πολλά·
Χρυσείῃς δ' ἐνετῇσι κατὰ στῆθος περονᾶτο. 180
Ζώσατο δὲ ζώνην ἑκατὸν θυσάνοις ἀραρυῖαν,

εὔδουσι παρακολουθεῖ θερμαίνεσθαι τὰ ἄκρα.

165. ΠΕΥ. Συνεταῖς, πυκναῖς.

167. ΠΥ. Ἀσφαλεῖς, πυκνάς. ΣΤ. Παρασάσιν. ΕΠΗΡ. Ἐφώρμησε.

168. ΚΑΗ. Οὕτω καλοῦνται τὰ κλήθρων μοχλοί. ΑΝΩ. Ἀνίωγεν. Ἡ ἀνάγνωσις προπεριεσπωμένως.

169. ΕΠΕ. Ἐνέβαλεν, ἔκλεισεν.

170. ΑΜ. Θείῳ ἀλείμματι, μύρῳ. Οἱ δὲ, θείῳ λουτρῷ. ΙΜΕ. Ἐπεράσου, καλῷ.

171 ΑΥ. Καθάρσιον, ξύσον. ΚΑ. Ἐκάθαιρεν.

172. ΕΔΑ. Εὐόσμῳ. ΤΕ. Τεθυμιαμένον.

173. ΚΙ. Σαλευομένου, κινουμένου. ΧΑΛ. Χαλκῷ βεβηκὸς, γεριόν· ἢ, χαλκοῦν ἔχον ὀδόν.

174. ΕΜ. Νῦν, ὁμοίως. ΙΚΕ. Ἀφικνεῖτο, ἐφέρετο. ΑΥ. Πνοή.

175. ΙΔΕ. Καὶ τὰς χαίτας, ἤγουν τὰς κόμας.

176. ΠΕΞ. Κτενισαμένη τὰς κόμας.

177. ΚΡΑ. Ἐκ τῆς κεφαλῆς.

178. ΕΑ. Νῦν, σίπλον. Παρὰ τὸ ἔνυσθαι. Ὅταν δὲ εἴπῃ, ἑαυτῷ κασσιτέρειον, τῷ εὐδιαχύτῳ λέγει, καὶ ἀσταλοῦ, ὡσεὶ ῥαινοῦ. ΕΣΑ. Περιεβάλετο. Ἐκοσμοῦντο γὰρ τοῖς περιβολαίοις.

179. ΕΣΥ. Ἀντὶ τοῦ, κατεσκεύασε· Νῦν δὲ, λεπτὸν εἰργάσατο. ΑΣΚ. Μετ' ἐπιμελείας κατασκευάσασα.

180. ΕΝΕ. Περόναις. Ἀπὸ τοῦ ἐνίεσθαι τοῖς ἱματίοις· ὅ ἐστιν, ἐμπορποῦσθαι.

181. ΘΥ. Κρεσσοῖς. Παρὰ τὸ θυσσύεσθαι θυσσούεσθαι, θύσσεσθαι· ὅ ἐστι, κινεῖσθαι, θύειν, ὁρμᾶν.

Ἐν δ' ἄρα ἕρματα ἧκεν ἐϋτρήτοισι λοβοῖσι,
Τρίγληνα, μερόεντα· χάρις δ' ἀπελάμπετο πολλή.
Κρηδέμνῳ δ' ἐφύπερθε καλύψατο δῖα θεάων,
Καλῷ, νηγατέῳ· λευκὸν δ' ἦν, ἠέλιος ὥς. 185
Ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα.
Αὐτὰρ ἐπειδὴ πάντα περὶ χροῒ θήκατο κόσμον,
Βῆ ῥ' ἴμεν ἐκ θαλάμοιο· καλεσσαμένη δ' Ἀφροδίτην,
Τῶν ἄλλων ἀπάνευθε θεῶν, πρὸς μῦθον ἔειπεν·
"Ἦ ῥά νύ μοί τι πίθοιο, φίλον τέκος, ὅ, τί κεν εἴπω; 190
"Ἠέ κεν ἀρνήσαιο, κοτεσσαμένη τόγε θυμῷ,
"Οὕνεκ' ἐγὼ Δαναοῖσι, σὺ δὲ Τρώεσσιν ἀρήγεις;"
Τὴν δ' ἠμείβετ' ἔπειτα Διὸς θυγάτηρ Ἀφροδίτη·
"Ἥρη, πρέσβα θεά, θύγατερ μεγάλοιο Κρόνοιο,
"Αὖδα ὅ, τι φρονέεις· τελέσαι δέ με θυμὸς ἄνωγεν, 195
"Εἰ δύναμαι τελέσαί γε, καὶ εἰ τετελεσμένον ἐστί."
Τὴν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·
"Δὸς νῦν μοι φιλότητα καὶ ἵμερον, ᾧ τε σὺ πάντας
"Δαμνᾷ ἀθανάτους, ἠδὲ θνητοὺς ἀνθρώπους·
"Εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης, 200
"Ὠκεανόν τε θεῶν γένεσιν, καὶ μητέρα Τηθύν,

182. ΕΡ. Νῦν, ἐνώτια. ΕΥ. Καλῶς τετρημένοις, τετρυπημένοις. ΛΟ. Τοῖς ἄκροις τῶν ὠτίων τοῖς ἀπαλοῖς. Παρὰ τὸ λαμβάνειν, καὶ δέχεσθαι.

183. ΤΡΙ. Πολλῆς θέας ἄξια. Τρίκοκκα· ἢ, τριπρόσωπα. Γλήνη γὰρ, ἡ τοῦ ὀφθαλμοῦ κόρη· ἢ, πολλῶν κοσμίων ἄξια. Γλήνεια γὰρ, τὰ κόσμια· ὡς καὶ ἀλλαχοῦ φησιν· Ὅς γλήνεια πολλὰ κεχάνδει. ΜΟ. Μετὰ μόρου καὶ κακοπαθείας εἰργασμένα· περὶ ἃ ἐμόρησεν ὁ τεχνίτης, τυτθίοις, ἕκαμε κατασκευάζων αὐτά. ΧΑ. Ἀρετὴ, καλλονή.

184. ΚΡΗ. Κεφαλοδέσμῳ. Νῦν δὲ, καλύπτρα.

185. ΝΗ. Νεωτὶ γεγονότι, λειπτῷ.

186. ΛΙ. Εὐτραφέσι, λευκοῖς.

194. ΠΡΕΣ. Ἐνιμοτάτη. Συγκοπὴ τοῦ πρέσβειρα, καὶ πρέσβεια.

195. ΑΥ. Λέγε. ΦΡΟ. Ὅπερ βούλει.

196. ΤΕ. Νῦν, δυνατόν.

198. ΙΜΕ. Ἐπιθυμίαν.

199. ΔΑ. Δαμάζεις.

200. ΕΙ. Πορεύομαι, ἄπειμι. ΠΟ. Πολυτρόφου. ΠΕΙ. Πέρατα, τέλη.

201. ΘΕ. Θεῶν πατέρα. Ἐπεὶ πρῶτον στοιχεῖόν τινες τῶν φυσικῶν εἶπον τὸ ὕδωρ, καὶ ἐξ αὐτοῦ τὰ λοιπὰ τρία. Ὅθεν ὁ Πίνδαρος ἄριστον εἶπε τὸ ὕδωρ. Τοῦ

‘ Οἴ μ᾽ ἐν σφοῖσι δόμοισιν ἐὺ τρέφον ἠδ᾽ ἀτίταλλον,
‘ Δεξάμενοι Ῥέης, ὅτε τε Κρόνον εὐρυόπα Ζεὺς
‘ Γαίης νέρθε καθεῖσε καὶ ἀτρυγέτοιο θαλάσσης.
‘ Τὼς εἶμ᾽ ὀψομένη, καί σφ᾽ ἄκριτα νείκεα λύσω· 205
‘ Ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται
‘ Εὐνῆς καὶ φιλότητος, ἐπεὶ χόλος ἔμπεσε θυμῷ.
‘ Εἰ κείνω γ᾽ ἐπέεσσι παραιπεπιθοῦσα φίλον κῆρ
‘ Εἰς εὐνὴν ἀνέσαιμι ὁμωθῆναι φιλότητι,
‘ Αἰεί κέ σφι φίλη τε καὶ αἰδοίη καλεοίμην.’ 210
Τὴν δ᾽ αὖτε προσέειπε φιλομμειδὴς Ἀφροδίτη·
‘ Οὐκ ἔς᾽, ἠδὲ ἔοικε, τεὸν ἔπος ἀρνήσασθαι·
‘ Ζηνὸς γὰρ τοῦ ἄρίστου ἐν ἀγκοίνῃσιν ἰαύεις.’
Ἦ, καὶ ἀπὸ στήθεσφιν ἐλύσατο κεστὸν ἱμάντα,
Ποικίλον· ἔνθα δέ οἱ θελκτήρια πάντα τέτυκτο· 215
Ἔνθ᾽ ἔνι μὲν φιλότης, ἐν δ᾽ ἵμερος, ἐν δ᾽ ὀαριστὺς,
Πάρφασις, ἥτ᾽ ἔκλεψε νόον πύκα περ φρονεόντων·
Τόν ῥά οἱ ἔμβαλε χερσὶν, ἔπος τ᾽ ἔφατ᾽, ἐκ τ᾽ ὀνόμαζε·
‘ Τῇ νῦν τοῦτον ἱμάντα, τεῷ δ᾽ ἐγκάτθεο κόλπῳ,
‘ Ποικίλον, ᾧ ἔνι πάντα τετεύχαται· ἠδέ σε φημι 220

δέ φησι τὴν γῆν, οἱονεὶ τιθήνην τινὰ οὖσαν καὶ τροφὸν πάντων.

202. ΣΦΟΙ. Τοῖς ἑαυτῶν. ΕΥ. Μεθ᾽ ἐπιμελείας ἀνῆγον. ΑΤΙ. Ἐπαιδοτρόφουν.

203. ΡΕΙ. Τῆς Ῥέας. ΕΥ. Ἤτοι, μεγαλόφθαλμος, ἀπὸ τοῦ πάντα ἐποπτεύειν· ἢ, μεγαλόφωνος.

204. ΚΑ. Καθίδρυσε.

205. ΑΚ. Καὶ τὰς πολλὰς αὐτῶν καὶ ἀδιαλύτους φιλονεικίας διαλύσω.

208. ΚΕΙ. Ἐκείνως· Δυϊκῶς. ΠΑ. Παραπείσασα, ἐξαπατήσασα.

209. ΟΜΩ. Εἰς ὁμόνοιαν ἐλθεῖν.

210. ΑΙ. Αἰδοῦς ἀξία, αἰδέσιμος.

212. ΟΥΚ. Οὔτε πρέπον, ὅτι δυνατὸν ἀρνήσασθαι περὶ ὧν ἀξιοῖς. ΕΟΙ. Προσήκει, πρέπει.

213. ΑΓ. Ἀγκάλαις. ΙΑΥ. Κοιμᾶσαι.

214. ΚΕ. Ζωστῆρα. Οὕτω καλοῦσιν ἀπὸ τοῦ πολυκέντητον αὐτὸν εἶναι ταῖς ῥαφαῖς.

215. ΘΕ. Τὰ θέλγοντα καὶ ἀπατῶντα τοὺς ἀνθρώπους.

216. ΕΝΙ. Ἔνεστι, τὸ πλῆρες. ΦΙ. Νῦν, φιλία, πρὸς μίξιν ὄρεξις.

217. ΠΑΡ. Ἔνεστι δὲ καὶ ὁμιλία παραινετική. ΕΚ. Ἐξέκλεψεν, ἔκρυψε, παρελογίσαλο. ΠΥ. Νῦν, συνετῶς, φρονίμως.

219. ΤΗ. Ἄγε, λάβε. ΤΕΩ. Κατάκρυψον τῷ ἰδίῳ κόλπῳ, φησὶ, διὰ τὴν πρὸς τὸν Δία ἐπιβουλήν. ΕΓ. Ἐγκατάθου.

220. ΤΕ Ἔγκειται, κατεστόλισται.

'Ἄπρηκτόν γε νέεσθαι, ὅ, τι φρεσὶ σῇσι μενοινᾷς.'
Ὣς φάτο· μείδησεν δὲ βοῶπις πότνια Ἥρη,
Μειδήσασα δ' ἔπειτα ἑῷ ἐγκάτθετο κόλπῳ.
Ἡ μὲν ἔβη πρὸς δῶμα Διὸς θυγάτηρ Ἀφροδίτη·
Ἥρη δ' αἴψασα λίπεν ῥίον Οὐλύμποιο, 225
Πιερίην δ' ἐπιβᾶσα, καὶ Ἠμαθίην ἐρατεινὴν,
Σεύατ' ἐφ' ἱπποπόλων Θρηκῶν ὄρεα νιφόεντα,
Ἀκροτάτας κορυφάς, ἐδὲ χθόνα μάρπε ποδοῖϊν.
Ἐξ Ἀθόω δ' ἐπὶ πόντον ἐβήσατο κυμαίνοντα·
Λῆμνον δ' εἰσαφίκανε, πόλιν θείοιο Θόαντος, 230
Ἔνθ' Ὕπνῳ ξύμβλητο, κασιγνήτῳ Θανάτοιο,
Ἔν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
'Ὕπνε, ἄναξ πάντων τε θεῶν, πάντων τ' ἀνθρώπων,
'Εἰ μὲν δή ποτ' ἐμεῦ ἔπος ἔκλυες, ἠδὲ ἔτι καὶ νῦν

225. ΡΙ. Ὄρους ἀκρωτήριον. Παρὰ τὸ ῥαΐζειν καὶ καταλήγειν εἰς ὀξύ.

226. ΠΙΕ. Χώραν ἐπὶ τὴν Μακεδονίαν. Οἱ δὲ, ὄρος. Μακεδὼν, ὁ Διὸς καὶ Αἰθρίας, καταχὼν τὴν χώραν, ἔσαν τῆς Θρᾴκης, ἀφ' ἑαυτῦ προσηγόρευσε. Γήμας δὲ μίαν τῶν ἐγχωρίων, τεκνῦται δύο παῖδας, Πίερον, καὶ Ἄμαθον· ἀφ' ὧν δύο πόλεις ἐν Μακεδονίᾳ, Πιερία, καὶ Ἀμαθία. Ἡ ἱστορία παρὰ Μαρσύᾳ. Νῦν ᾖ, Ἠμαθίην καταχρηστικῶς ὅλην τὴν Μακεδονίαν φησί. Πιερίων δὲ, ὄρος Μακεδονίας, ἱερὸν Μουσῶν.

227. ΣΕΥ. Ὥρμησεν. ΙΠ. Περὶ ἵππους ἀναστρεφομένων. ΝΙ. Χιονιζόμενα, νιφόμενα.

228. ΜΑΡ. Οὐδὲ ποσὶν αὐτῆς ἐπίβαινε τῆς γῆς.

229. ΑΘ. Ἐκ τοῦ Ἄθω· ὅ ἐστιν ὄρος Θρᾴκης ὑψηλόν. Ἔνιοι. Ἄθοω. ΑΘ. Ἄθως, ὄρος ἐν Θρᾴκῃ μέγα καὶ ὑψηλὸν, ἐξέχον εἰς θάλασσαν, τὸ ἰσθμὸν ἔχον χιλιοστῆνησόδη, σταδίων δώδεκα. Τοῦτο Ξέρξης, ὁ Περσῶν βασιλεὺς, ἀγανακτήσας ὅτι πρὸς αὐτὸ νῆες αὐτοῦ διεφθάρησαν, διακόψας, βαθὺ ἐποίησεν. Ἡ ἱστορία παρὰ Ἡροδότῳ. ΕΠΙ. Ἀντὶ τοῦ, θαλάσσης ἐπῖβη. ΚΥ. Κύμαῖα ἔχοντα, ταρασσόμενον.

230. ΠΟ. Ἀντὶ τῦ, νῆσον.

231. ΞΥΜ. Ξυμβίβλητο, ἀπήντησε, συνέτυχε. Διὰ ποίαν δὲ αἰτίαν ἐν τῇ Λήμνῳ μάλιστα ὁ Ὕπνος διατρίβει; Ῥητέον, ὅτι Λήμνου μὲν ἦν δεσπότης Ἥφαιστος· γυνὴ δὲ τούτου, Χάρις. Πασιθέας δὲ, ἡ Χάριτος ἀδελφῆς, ἐρωτικῶς ἔχων ὁ Ὕπνος ἐκεῖ διέτριβε. Ταύτην δὲ αὐτῷ ἐπαγγέλλεται γυναῖκα δώσειν ἡ Ἥρα. Δύναται δὲ καὶ φυσικώτερον λυθῆναι. Ὅτι οἰνοφόρος ἡ Λῆμνος· καθὼς λέγει·

Νῆες δ' ἐκ Λήμνοιο παρέστασαν, οἶνον ἄγουσαι.

Τοῖς δὲ πολυποτοῦσι μάλιστα ὁ Ὕπνος παρίπεται.

232. ΦΥ. Ἐνέφυ, συνέπλεξεν, αὐτοῦ χειρί.

Πείθευ· ἐγὼ δέ κέ τοι εἰδέω χάριν ἤματα πάντα· 235
Κοίμησόν μοι Ζηνὸς ὑπ' ὀφρύσιν ὄσσε φαεινὼ,
Αὐτίκ' ἐπεί κεν ἐγὼ παραλέξομαι ἐν φιλότητι.
Δῶρα δέ τοι δώσω, καλὸν θρόνον, ἄφθιτον αἰεὶ,
Χρύσεον· Ἥφαιστος δέ κ' ἐμὸς πάϊς ἀμφιγυήεις
Τεύξει ἀσκήσας, ὑπὸ δὲ θρῆνυν ποσὶν ἥσει, 240
Τῷ κεν ἐπιχοίης λιπαρὸς πόδας εἰλαπινάζων.
Τὴν δ' ἀπαμειβόμενος προσεφώνεε νήδυμος Ὕπνος·
Ἥρη, πρέσβα θεὰ, θύγατερ μεγάλοιο Κρόνοιο,
Ἄλλον μέν κεν ἔγωγε θεῶν αἰειγενετάων
Ῥεῖα κατευνήσαιμι, καὶ ἂν ποταμοῖο ῥέεθρα 245
Ὠκεανῦ, ὅσπερ γένεσις πάντεσσι τέτυκται·
Ζηνὸς δ' οὐκ ἂν ἔγωγε Κρονίονος ἄσσον ἱκοίμην,
Οὐδὲ κατευνήσαιμ', ὅτε μὴ αὐτός γε κελεύοι.
Ἤδη γάρ με καὶ ἄλλο τεὴ ἐπίνυσσεν ἐφετμὴ,
Ἤματι τῷ, ὅτ' ἐκεῖνος ὑπέρθυμος Διὸς υἱὸς 250
Ἔπλεεν Ἰλιόθεν, Τρώων πόλιν ἐξαλαπάξας.
Ἤτοι ἐγὼ μὲν ἔθελξα Διὸς νόον αἰγιόχοιο
Νήδυμος ἀμφιχυθείς· σὺ δέ οἱ κακὰ μήσαο θυμῷ,
Ὄρσασ' ἀργαλέων ἀνέμων ἐπὶ πόντον ἀήτας·
Καί μιν ἔπειτα Κόωνδ' εὐναιομένην ἀπένεικας, 255

235. ΕΙ. Γνώσομαι καὶ προσομολογήσω σοι χάριν.

240. ΘΥΗ. Ὑποπόδιον. Ἀρσενικῶς. ΗΣ. Ὑποθήσει.

241. ΕΙ. Εὐνχόμενος.

249. ΚΑΙ. Ἤ, κατ' ἄλλο· ἴν' ἤ, ἤδη γάρ με καὶ κατ' ἄλλο ἐπαίδευσεν ἡ σὴ πρόταξις· ἤ, ἄλλοτε ἢ ἐπίνυσσεν ἐφετμῇ· τυτίσι, τῇ ἰδίᾳ ἰσοφρύησε καὶ ἐνουθέτησεν ἐντολῇ καὶ ἀπειλῇ.

252. ΕΘΕΛ. Κατεκοίμισα.

253. ΑΜ. Περιχυθείς. ΜΗ. Ἐμηχανήσω, ἐβουλεύσω.

254. ΟΡ. Εἰς ὁρμὴν ἀγαγοῦσα, διεγείρασα. ΑΗ. Τὰς τ' ἀνέμων πνοάς.

255. ΚΟ. Εἰς τὴν Κῶν νῆσον. Γράφεται δὲ σὺν τῷ ν κατ' αἰτιατικήν. Ἡρακλῆς, ἀνακομιζόμενος, μετὰ τὸ πορθῆσαι Τροίαν, γενόμενός τε κατὰ τὸ Αἰγαῖον πέλαγος, βουλήσει Ἥρας, σφοδρῶς συνεχέθη ἀνέμῳ. Κατασυρθείς τε εἰς Κῶν τὴν Μεροπίδα, ἐκωλύθη ἐπιβῆναι τῇ νήσου ὑπὸ Εὐρυπύλου τοῦ Ποσειδῶνος, βασιλεύοντος αὐτῆς. Βιασάμενος δὲ, καὶ ὡς λῃστὴς ἐπιβὰς, ἀνεῖλε τόν τε Εὐρύπυλον, καὶ τοὺς παῖδας αὐτοῦ. Μιγεὶς δὲ

Νόσφι φίλων πάντων· ὁ δ' ἐπεγρόμενος χαλέπαινε,
Ῥιπιάζων κατὰ δῶμα θεός· ἐμὲ δ' ἔζοχα πάντων
Ζήτει, καί κέ μ' ἄϊστον ἀπ' αἰθέρος ἔμβαλε πόντῳ,
Εἰ μὴ Νὺξ δμήτειρα θεῶν ἐσάωσε καὶ ἀνδρῶν·
Τὴν ἱκόμην φεύγων· ὁ δ' ἐπαύσατο, χωόμενός περ· 260
Ἄζετο γὰρ, μὴ Νυκτὶ θοῇ ἀποθύμια ἔρδοι.
Νῦν αὖ τεῖτό μ' ἄνωγας ἀμήχανον ἄλλο τελέσσαι.
Τὸν δ' αὖτε προσέειπε βοῶπις πότνια Ἥρη·
Ὕπνε, τίη δὲ σὺ ταῦτα μετὰ φρεσὶ σῇσι μεμοινᾶς;
Ἦ φῆς, ὡς Τρώεσσιν ἀρηγέμεν εὐρυόπα Ζῆν', 265
Ὡς Ἡρακλῆος περὶ χώσατο, παιδὸς ἑοῖο;
Ἀλλ' ἴθ', ἐγὼ δέ κέ τοι Χαρίτων μίαν ὀπλοτεράων
Δώσω ὀπυιέμεναι, καὶ σὴν κεκλῆσθαι ἄκοιτιν,
* Πασιθέην, ἧς αἰὲν ἰμείρεαι ἤματα πάντα.
Ὣς φάτο· χήραλο δ' Ὕπνος, ἀμειβόμενος δὲ προσηύδα· 270
Ἄγρει νῦν μοι ὅμοσσον ἀάατον Στυγὸς ὕδωρ,
Χειρὶ δὲ τῇ ἑτέρῃ μὲν ἕλε χθόνα παγλυβότειραν,
Τῇ δ' ἑτέρῃ ἅλα μαρμαρέην· ἵνα νῶϊν ἅπαντες
Μάρτυροι ὦσ' οἱ ἔνερθε θεοὶ Κρόνον ἀμφὶς ἐόντες·

τῇ θυγατρὶ αὐτῦ, Χαλκιόπῃ, Θεσσαλὸν ἐγέννησεν.

256. ΕΠΕ. Ἐπαναγὰς, διϋπνωθείς. Ἀντιστροφή ἐστιν ἀντὶ Ῥ, χαλεπαίνων ἔρριπτε. Μή ποτε ἔν τις ἀφ' ἑτέρας ἀρχῆς ἀναγιγνώσκῃ τὸ ῥιπιάζων.

257. ΡΙΠ. Ῥίπτων, συνελαύνων. ΕΞΟ. Μάλιστα.

258. ΑΙΣ. Καὶ ἂν ἰδὼν με, ἀνιστόρητον καὶ ἀφανῆ ἐποίησε, βαλὼν ἀπὸ τῦ ὠρανῦ εἰς θάλασσαν.

259. ΔΜΗ. γρ. μήτειρα. Ἡ δαμάστρια· ὅ ἐστιν, ἄρχουσα.

260. ΙΚΟ. Ἱκετεύων παρεγενόμην.

261. ΑΖΕ. Ἐνετρέπετο. ΑΠ. Ἀηδῆ, οὐκ ἀρεστά. ΑΠ. Ἐχθρὰ πράξει. ΘΟΗ. Διὰ τ' ὕπνον θᾶττον καὶ πρὸς τὴν ἡμέραν παρεῖναι· ἤ, θείᾳ.

262. ΑΜΗ. Ἄπορον, ἀδύνατον.

264. ΜΕ. Προθυμῇ, σπουδάζεις.

265. ΖΗΝ. Τὸ πλῆρες, Ζῆνα.

267. ΟΠΛΟ. Νεωτέρων.

268. ΟΠΥΙ. Γῆμαι.

270. ΧΗ. Ἐχάρη.

271. ΑΑ. Ἤτοι, ἀβλαβὲς, ἢ πολυβλαβές.

272. ΧΕΙ. Τὰ βαρύταῖα τῷ ποιχείων ὄμνυσι· καθάπερ ἐν τῇ συνηθείᾳ λέγομεν, Ξηρὸν, καὶ ὑγρόν.

273. ΜΑΡ. Λευκήν.

274. ΘΕ. Οἱ περὶ τὸν Κρόνον θεοί. Λέγει δὲ τοὺς Τιτᾶνας. Οὗτοι δέ εἰσιν Οὐρανοῦ παῖδες, Κρόνος, Κρεῖος, Ὑπερίων, Ἰαπετός. Κοῖος Ἰκιμαῖος, ὑστερα

Ἦ μὲν ἐμοὶ δώσειν Χαρίτων μίαν ὁπλοτεράων, 275
Πασιθέην, ἧς τ' αὐτὸς ἐέλδομαι ἤματα πάντα.
Ὡς ἔφατ'· ἐδδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη,
Ὤμνυε δ', ὡς ἐκέλευε, θεὺς δ' ὀνόμηνεν ἅπαντας
Τοὺς ὑποταρταρίους, οἱ Τιτῆνες καλέονται.
Αὐτὰρ ἐπεί ῥ' ὄμοσέν τε, τελεύτησέν τε τὸν ὅρκον, 280
Τὼ βήτην, Λήμνου τε καὶ Ἴμβρου ἄστυ λιπόντε,
Ἠέρα ἐσσαμένω, ῥίμφα πρήσσοντε κέλευθον·
Ἴδην δ' ἱκέσθην πολυπίδακα, μητέρα θηρῶν,
Λεκτὸν, ὅθι πρῶτον λιπέτην ἅλα· τὼ δ' ἐπὶ χέρσου
Βήτην· ἀκροτάτη δὲ πόδων ὑπ' ἐσείετο ὕλη. 285
Ἔνθ' Ὕπνος μὲν ἔμεινε, πάρος Διὸς ὄσσε ἰδέσθαι,
Εἰς ἐλάτην ἀναβὰς περιμήκετον, ἣ τότ' ἐν Ἴδῃ
Μακροτάτη πεφυυῖα δι' ἠέρος αἰθέρ' ἵκανεν·
Ἔνθ' ἥς' ὄζοισιν πεπυκασμένος εἰλατίνοισιν,
Ὄρνιθι λιγυρῇ ἐναλίγκιος, ἥντ' ἐν ὄρεσσι 290
Χαλκίδα κικλήσκουσι θεοὶ, ἄνδρες δὲ κύμινδιν.
Ἥρη δὲ κραιπνῶς προσεβήσατο Γάργαρον ἄκρον

γίνεσις πάντεσσι τέτυκται· ἐπεὶ ἐξ ὕδατος αἱ αὔξησεις ὑπάρχουσι. Πῶς, Ἡσιόδε πάντων πρῶτον εἰκόντος γεγενῆσθαι τὸ Χάος, Ὅμηρος δέ φησιν Ὠκεανόν; Ῥητέον οὖν, ὅτι ἕκαστος μὲν εἴρηκεν, ὡς ἐβούλετο. Ὅμηρος δέ φησι φιλοσοφώτερον. Τὸ γὰρ ὕδωρ τῶν πάντων ἡ ζωὴ, καὶ προέχει τῶν τεσσάρων στοιχείων, ὅλα ὄν. Ὅθεν καὶ ὁ Πίνδαρος ἄριστον αὐτό φησιν.

278. ΟΝΟ. Ὠνόμασε.

280. ΤΕ. Ἐπλήρωσεν.

281. ΙΜ. Ἴμβρος, νῆσος Θρᾴκης.

282. ΗΕ. Ὁμίχλην, σκότος.

283. ΜΗ. Μητέρα θηρίων. Θηριοτρόφος γὰρ ἡ Ἴδη, διὰ τὸ πολὺ τῆς ὕλης.

284. ΛΕΚ. Ἀκρωτήριον τῆς Ἴδης, κεκλημένον ἀπὸ Ὃ ἐν αὐτῷ κατακλιθῆναι Δία καὶ Ἥραν. Τρία δὲ τὰ πάντα ἀκρωτήρια τῆς Ἴδης, Λεκτὸν, Γάργαρον, Φαλάκρη. ΧΕΡ. Ἐπὶ τ' γῆς.

287. ΠΕ. Πάνυ ὑψηλόν. Η. Διὰ τοῦτο τότε ἀνήρηκε τὸ ψεῦδος, ὥστε μὴ ζητεῖν αὐτήν.

289. ΠΕ. Ἐσκιπασμένος. ΕΙΛ. Ἐλατίνοις.

290. ΛΙ. Ὀξεῖα.

291. ΧΑΛ. Χαλκὶς, εἶδος ὀρνέου, ἥτις καλεῖται κύμινδις, ἀπὸ τ' φωνῆς. ΚΥ. Ὁ κύμινδις οἰκεῖ μὲν ὄρη, ἔστι δὲ μέλας, χαλκίζων τὴν χροιάν· καὶ μέγεθος, ὅσον ἱέραξ φασσοφόνος, ὥς φησιν Ἀριστοτέλης. Παρὰ δέ τισι θηλυκῶς λέγεται. Εὐπτίφορον δὲ εἰς ὕπνον τὸ ὄρνεον. Ἀεὶ δὲ τὴν κεφαλὴν ὑπὸ τοὺς κλάδους κρύπτει.

Ἴδης ὑψηλῆς· ἴδε δὲ νεφεληγερέτα Ζεύς.
Ὡς δ' ἴδεν, ὥς μιν ἔρως πυκινὰς φρένας ἀμφεκάλυψεν,
Οἷον ὅτε πρώτιστον ἐμισγέσθην φιλότητι, 295
Εἰς εὐνὴν φοιτῶντε, φίλους λήθοντε τοκῆας.
Στῆ δ' αὐτῆς προπάροιθεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
«Ἥρη, πῇ μεμνῶια κατ' Οὐλύμπου τόδ' ἱκάνεις;
«Ἵπποι δ' ἐ παρέασι καὶ ἅρματα, τῶν κ' ἐπιβαίης.»
Τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη· 300
«Ἔρχομαι ὀψομένη πολυφόρβου πείρατα γαίης,
«Ὠκεανόν τε θεῶν γένεσιν, καὶ μητέρα Τηθύν,
«Οἵ μ' ἐν σφοῖσι δόμοισιν εὖ τρέφον ἠδ' ἀτίταλλον·
«Τοὺς εἶμ' ὀψομένη, καί σφ' ἄκριτα νείκεα λύσω·
«Ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται 305
«Εὐνῆς καὶ φιλότητος, ἐπεὶ χόλος ἔμπεσε θυμῷ.
«Ἵπποι δ' ἐν πρυμνωρείῃ πολυπίδακος Ἴδης
«Ἑστᾶσ', οἵ μ' οἴσουσιν ἐπὶ τραφερήν τε καὶ ὑγρήν.
«Νῦν δέ σευ εἵνεκα δεῦρο κατ' Οὐλύμπου τόδ' ἱκάνω,
«Μήπως μοι μετέπειτα χολώσεαι, αἴ κε σιωπῇ 310
«Οἴχωμαι πρὸς δῶμα βαθυῤῥόου Ὠκεανοῖο.»
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
«Ἥρη, κεῖσε μέν ἐστι καὶ ὕστερον ὁρμηθῆναι,
«Νῶϊ δ', ἄγ', ἐν φιλότητι τραπείομεν εὐνηθέντε·
«Οὐ γὰρ πώποτέ μ' ὧδε θεᾶς ἔρος, οὐδὲ γυναικὸς, 315

294. ΩΣ. Νῦν, εὐθίως· ἢ, τότε. ΠΥ. Συνετάς.

295. ΟΙΟΝ. Ἥραν, τριφομένην παρὰ τοῖς γονεῦσιν, εἷς τῶν γιγάντων, Εὐρυμέδων, βιασάμενος, ἴγκυον ἐποίησεν· ἡ δὲ Προμηθέα ἐγέννησε. Ζεὺς δὲ, ὕστερον γήμας τὴν ἀδελφὴν, καὶ γνὺς τὰ γενόμενα, τὸν μὲν Εὐρυμέδοντα κατεταρτάρωσε, τὸν δὲ Προμηθέα, προφάσει πυρὸς, δεσμοῖς ἀνήρτησεν. Ἡ ἱστορία παρ' Εὐφορίωνι.

296. ΑΗΘ. Καὶ Ἀπολλόδωρος ἱστορεῖ, κρύφα τὸν Δία τῇ Ἥρᾳ συγκαθευδῆσαι.

298. ΜΕ. Ποῦ ὁρμήσασα. ΤΟ. Εἰς τοῦτον τὸν τόπον. ΙΚΑ. Παραγίγνῃ.

307. ΠΡΥ. Πρυμνωρείας καλοῦσι τὰ ἔσχατα καὶ κατώτατα τῶν ὀρῶν.

308. ΤΡΑ. Τῆν. ΤΓ. Θαλάσσαν.

313. ΚΕΙ. Εἰς ἐκείνου τὸν τόπον.

‘ Θυμὸν ἐνὶ στήθεσσι περιπροχυθεὶς ἐδάμασσεν,
‘ Οὐδ᾽ ὁπότ᾽ ἠρασάμην Ἰξιονίης ἀλόχοιο,
‘ Ἠ τέκε Πειρίθοον, θεόφιν μήστωρ᾽ ἀτάλαντον·
‘ Οὐδ᾽ ὅτε περ Δανάης καλλισφύρου Ἀκρισιώνης,
‘ Ἠ τέκε Περσῆα, πάντων ἀριδείκετον ἀνδρῶν· 320
‘ Οὐδ᾽ ὅτε Φοίνικος κούρης τηλεκλειτοῖο,
‘ Ἠ τέκε μοι Μίνω τε καὶ ἀντίθεον Ῥαδάμανθυν·
‘ Οὐδ᾽ ὅτε περ Σεμέλης, οὐδ᾽ Ἀλκμήνης ἐνὶ Θήβῃ,

316. ΠΕ. Περιπεσὼν, καταχών.

317. ΙΞ. Ἦν δὲ αὕτη θυγάτηρ Ἰονέως. Μετὰ δὲ τὸ φθαρῆναι αὐτὴν ὑπὸ Διὸς, ὕστερον Ἰξίονι ἐζεύχθη.

319. ΔΑΝ. Δανάη, Ἀκρισίου θυγάτηρ, ἣ Διὶ συγκοιμηθεῖσα, Περσέα ἐγέννησε. Χρησαμένου γάρ φασι τοῦ Ἀκρισίου περὶ γενέσεως ἄρρένων παίδων, ὁ θεὸς ἔφη, τὸν γενόμενον παῖδα ἐκ τῆς θυγατρὸς αὐτοῦ αὐτὸν κτενεῖν. Δείσας δὲ ὁ Ἀκρίσιος, κατὰ γῆς θάλαμον χαλκοῦν κατασκευάσας, τὴν Δανάην ἐφρούρει. Αὕτη δὲ, ὥς φησι Πίνδαρος, καὶ ἕτεροί τινες, ἐφθάρη ὑπὸ τοῦ παιδὸς αὐτῆς Προίτου. Ὅθεν αὐτοῖς καὶ τάσις ἐκινήθη. Ὡς δὲ ἔνιοί φασι, Ζεὺς μεταμορφωθεὶς εἰς χρυσὸν, καὶ διὰ τῆς ὀροφῆς εἰσδὺς εἰς τὸν Δανάης κόλπον, συνῆλθεν αὐτῇ. Αἰδόμενος δὲ Ἀκρίσιος ὕστερον, ἐξ αὐτῆς γεγενημένον Περσέα, μὴ πιστεύσας ὑπὸ Διὸς ἐφθάρθαι, τὴν θυγατέρα, μετὰ τοῦ παιδὸς, εἰς λάρνακα βαλὼν, εἰς θάλασσαν ἔρριψε. Διασωθέντων δὲ τούτων εἰς Σέριφον τὴν νῆσον, συνέβη ἀνατραφῆναι τὸν παῖδα παρὰ Πολυδέυκη, ἤ, ὡς ἔνιοί φασιν, ὑπὸ Δίκτυος τοῦ ἀδελφοῦ Πολυδεύκους. Φυγόντος δὲ ὕστερον Ἀκρισίου, τὴν Ἀργείων βασιλείαν παρέλαβε Περσεύς. ΚΑΛ. Καλὴς πόδας ἐχούσης· ἀπὸ μέρους, καλῆς. Ὁ τρόπος, συνεκδοχή.

320. ΑΡΙ. Μεγάλως εὐπρεπῆ, ἀσπαστόν.

321. ΦΟΙ. Θυγατρός. Λέγει δὲ τὴν Εὐρώπης. Ἔνιοι τὴν αὐτὴν καὶ Φοίνικος, ἀλλ᾽ Ἀγήνορος, εἶπον. Τὰ δὲ περὶ αὐτῆς ἀκριβῶς εἴρηται ἐν τῇ Μ. ῥαψῳδίᾳ, ἐν τοῖς περὶ Σαρπηδόνα. ΤΗ. Μίχρι πόρρω καὶ πολλοῦ ἐνδόξου, ἢ πάνυ ἐνδόξου.

323. ΣΕΜ. Σεμέλης, τῆς Κάδμου θυγατρὸς, Ζεὺς ἐρασθεὶς, κρύφα συνεκάθευδε. Ἡ δὲ ἐξαπατηθεῖσα ὑπὸ Ἥρας, ἐπιτρεψάντος αὐτῇ Διὸς, πᾶν τὸ αὐτοῦ ποιῆσαι, αἰτεῖται τοιοῦτον αὐτὸν ἐλθεῖν, οἷος ἦλθε μνηστευόμενος Ἥραν. Ζεὺς δὲ, μὴ δυνάμενος ἀνανεῦσαι, παρεγένετο εἰς τὸν θάλαμον αὐτῆς ἐφ᾽ ἅρματος, ἀστραπαῖς καὶ βρονταῖς ὀμοῦ, καὶ κεραυνοῖς ἴησιν. Σεμέλης δὲ διὰ τὸν φόβον ἐκλαπέσης, ἐξαμηνιαῖον τὸ βρέφος ὁ Ζεὺς ἐκ τοῦ πυρὸς ἁρπάσας ἐνέῤῥαψε τῷ μηρῷ. Ἡ ἱστορία παρ᾽ Εὐριπίδῃ ἐν Βάκχαις. ΑΛΚ. Ἀλκμήνης, τῆς Ἠλεκτρύονος καὶ Ἀναξοῦς τῆς Ἀγκαίου (Ἀλκαίου) θυγατρὸς Ἀμφιτρύων. Ὃς ἀνελὼν Ἠλεκτρύονα, βοῶν ἀμφισβητήσεως χάριν, ἐξ Ἄργους ἔφυγεν εἰς Θήβας· σὺν αὐτῷ καὶ Ἀλκμήνη. Ὑποδεχθέντων δὲ ἀσμένως ὑπὸ τῶν βασιλέων τῶν τῆς πόλεως Κρέοντος καὶ Ἡνιόχης, τιμῆς ἐτύγχανον μεγίστης. Μὴ βουλομένης δὲ Ἀλκμήνης γαμηθῆναι, εἰ μὴ οἱ φονεῖς τῶν ἀδελφῶν αὐτῆς ἀναιρεθῶσιν, καθηγησάμενος Ἀμφιτρύων, προσλαβόμενος συμμάχους Βοιωτοὺς, καὶ Λοκρεῖς, ἔτι καὶ Φωκεῖς, ἐνιαυτὸν προσεδρεύσας. Ὡς δὲ ἐπιστρέψας ἀπὸ τῆς στρατείας ἦγε τὸν γάμον ἑαυτῷ καὶ Ἀλκμήνης, τῇ αὐτῇ νυκτὶ ἐρασθεὶς αὐτῆς ὁ Ζεὺς, καὶ εἰκασθεὶς Ἀμφιτρύωνι, ἐμίγη, καὶ υἱὸν ἐποίησεν. Ὁμοίως δὲ καὶ Ἀμ-

"Η ῥ' Ἡρακλῆα κρατερόφρονα γείνατο παῖδα·
Ἡ δὲ Διώνυσον Σεμέλη τέκε, χάρμα βροτοῖσιν· 325
Οὐδ' ὅτε Δήμητρος, καλλιπλοκάμοιο ἀνάσσης·
Οὐδ' ὁπότε Λητὼς ἐρικυδέος, ἠδέ σευ αὐτῆς·
Ὡς σέο νῦν ἔραμαι, καί με γλυκὺς ἵμερος αἱρεῖ.
Τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·
Αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες; 330
Εἰ νῦν ἐν φιλότητι λιλαίεαι εὐνηθῆναι
Ἴδης ἐν κορυφῇσι, τὰ δὲ προπέφανται ἅπαντα,
Πῶς κ' ἔοι, εἴ τις νῶϊ θεῶν αἰειγενετάων
Εὕδοντ' ἀθρήσειε, θεοῖσι δὲ πᾶσι μετελθὼν
Πεφράδοι; ἠκ ἂν ἔγωγε τεὸν πρὸς δῶμα νεοίμην, 335
Ἐξ εὐνῆς ἀνσᾶσα· νεμεσσητὸν δέ κεν εἴη.
Ἀλλ' εἰ δή ῥ' ἐθέλεις, καί τοι φίλον ἔπλετο θυμῷ,
Ἔστιν τοι θάλαμος, τόν τοι φίλος υἱὸς ἔτευξεν
Ἥφαιστος, πυκινὰς δὲ θύρας σαθμοῖσιν ἐπῆρσεν·
Ἔνθ' ἴσμεν κείοντες, ἐπεί νύ τοι εὔαδεν εὐνή.
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἥρη, μήτε θεῶν τόγε δείδιθι μήτε τιν' ἀνδρῶν
Ὄψεαι· τοῖόν τοι ἐγὼ νέφος ἀμφικαλύψω
Χρύσεον· οὐδ' ἂν νῶϊ διαδράκοι Ἠέλιός περ,

φιτρύων τῇ αὐτῇ νυκτί. Ἤδη δὲ ἐκείνης δεκαμηνιαῖον χρόνον τῆς μίξεως ἐχούσης, γεννᾶται Ἡρακλῆς μὲν ἐκ Διός, Ἰφικλῆς δὲ ἐξ Ἀμφιτρύωνος, τῇ αὐτῇ νυκτί. Φασὶ, Δία, συγκοιμώμενον Ἀλκμήνῃ, πείσαι τὸν Ἥλιον μὴ ἀνατεῖλαι ἐπὶ τρεῖς ἡμέρας. Ὅθεν καὶ ἐπὶ τρεῖς νύκτας συγκοιμηθεὶς αὐτῇ ὁ Ζεὺς, τὸν τριέσπερον Ἡρακλέα ἐποίησε.

325. ΧΑΡ. Χαρὰν τοῖς ἀνθρώποις· διὰ τὸ εὑρεῖν συκῆν καὶ ἄμπελον.

326. ΚΑΛ. Ἀλληγορικῶς, πολυκάμους, τοὺς κλάδους διὰ νοεῖν· ὡς καὶ ἱστορεῖσιν αὐτὴν ἐστεμμένην τοῖς κλάδοις.

327. ΔΗ. Κοίου θυγατρὸς, ἑνὸς τῶν Τιτάνων. Ἧς δύο παῖδες, Ἀπόλλων, καὶ Ἄρτεμις.

331. ΛΙ. Ἐπιθυμεῖς, προθυμῇ.

332. ΠΡΟ. Προφανῆ ἐστι, φανερά.

333. ΠΩΣ. Πῶς ἂν γένοιτο; τί ἂν εἴη;

334. ΑΘΡΗ. Ἴδοι. Τὸ αὐτὸ δὲ δηλοῖ καὶ τὸ Διαδράκοι.

335. ΠΕ. Φράσειν, δηλώσειν, εἴποι.

340. ΚΕΙ. Κοιμηθησόμενοι. ΕΥΑ. Ἥδεται.

'Οὔτε καὶ ὀξύτατον πέλεται φάος εἰσοράασθαι.' 346
Ἦ ῥα, καὶ ἀγκὰς ἔμαρπε Κρόνου παῖς ἣν παράκοιτιν·
Τοῖσι δ' ὑπὸ χθὼν δῖα φύεν νεοθηλέα ποίην,
Λωτόν θ' ἑρσήεντα, ἰδὲ κρόκον, ἠδ' ὑάκινθον,
Πυκνὸν καὶ μαλακὸν, ὃς ἀπὸ χθονὸς ὑψόσ' ἔεργε·
Τῷ ἔνι λεξάσθην, ἐπὶ δὲ νεφέλην ἔσσαντο 350
Καλὴν, χρυσείην· στιλπναὶ δ' ἀπέπιπτον ἔερσαι.
Ὡς ὁ μὲν ἀτρέμας εὗδε πατὴρ ἀνὰ Γαργάρῳ ἄκρῳ,
Ὕπνῳ καὶ φιλότητι δαμεὶς, ἔχε δ' ἀγκὰς ἄκοιτιν.
Βῆ δὲ θέειν ἐπὶ νῆας Ἀχαιῶν νήδυμος Ὕπνος,
Ἀγγελίην ἑρέων γαιηόχῳ Ἐννοσιγαίῳ· 355
Ἀγχοῦ δ' ἱσάμενος ἔπεα πτερόεντα προσηύδα·
'Πρόφρων νῦν Δαναοῖσι, Ποσειδάων, ἐπάμυναι,
'Καί σφιν κῦδος ὄπαζε, μίνυνθά περ, ὄφρ' ἔτι εὕδει
'Ζεὺς· ἐπεὶ αὐτῷ ἐγὼ μαλακὸν περὶ κῶμα κάλυψα·
'Ἥρη δ' ἐν φιλότητι παρήπαφεν εὐνηθῆναι.' 360
Ὡς εἰπὼν, ὁ μὲν ᾤχετ' ἐπὶ κλυτὰ φῦλ' ἀνθρώπων·
Τὸν δ' ἔτι μᾶλλον ἀνῆκεν ἀμυνέμεναι Δαναοῖσιν.
Αὐτίκα δ' ἐν πρώτοισι μέγα προθορὼν ἐκέλευσεν·

346. ΑΓ. Εἰς τὰς ἀγκάλας. ΕΜΑ. Συνιλάμβανε.

347. ΤΟΙ. Ἐκπεσὼν εἰς φορτικοῦ πράγματος διήγησιν, ἐφ' ἕτερα τὸν λόγον μετήγαγε, τὰ ἀπὸ τῆς γῆς φυόμενα ἄνθη καὶ τὸ νέφος, δι' ὧν ἀπέκλεισε τὸ περαιτέρω πολυπραγμονεῖν ἡμᾶς. Ἀνθηρῶς δὲ γράφει τὴν εὐνὴν, καὶ προθεὶς τὸ γένος, ποίην, ἐπιφέρει τὸ εἶδος. Οὐκ εἶπε δὲ ῥόδον, διὰ τὸ ἀκανθῶδες. Νεοθηλέα δὲ, ἐπεὶ τὴν ἄλλην ἐνεμήθη καὶ ἐπάτησε τὰ ζῶα. Κατὰ συλλογισμὸν ἡ ὑπεροχὴ, εἴ γε καὶ τὰ ἄψυχα αἰθάνεται τῆς δυνάμεως τοῦ θείου. ΔΙΑ. Ἡ μεγάλη, καὶ θαυμαστή. ΦΥ. Ἀνέφυσεν, ἀνέδωκε. ΝΕΟ. Νεωστὶ θάλλουσαν. ΠΟΙ. Βοτάνην.

348. ΛΩ. Λωτὸς, εἶδος χόρτου ἐλαίου, διὸ καὶ ἑρσήεντα· ὅ ἐστι, δροσώδη. ΚΡΟ. Κρόκος, εἶδος ἄνθους. Ὡς καὶ ὁ ὑάκινθος.

349. ΜΑΛ. Ἁπαλόν. ΥΨ. Εἰς ὕψος ἐξάγαξε. ΕΕ. Ὃς αὐτοὺς ὥστε εἴα ἐπὶ γῆς θλίβεσθαι, ἀλλ' ἀνεῖχε, καὶ ἀπεκώλυεν αὐτούς.

350. ΛΕΞ. Κατεκοιμήθησαν.

351. ΣΤΙ. Στίλβουσαι, λαμπραί. ΕΕΡ. Δρόσοι, γαλαγμοί.

358. ΟΠΑ. Περιεποίει.

359. ΚΩ. Τὸ κοίμημα.

360. ΠΑ. Παρηπάτησε, παρέπεισε.

363. ΠΡΟ. Προαλλόμενος, προτυδήσας.

Ἀργεῖοι, ἢ δ' αὖτε μεθίεμεν Ἕκτορι νίκην
Πριαμίδῃ, ἵνα νῆας ἕλῃ, καὶ κῦδος ἄρηται;
Ἀλλ' ὁ μὲν ἄτῳ φησὶ, καὶ εὔχεται, ἕνεκ' Ἀχιλλεὺς
Νηυσὶν ἐπι γλαφυρῇσι μένει κεχολωμένος ἦτορ·
Κείνῳ δ' ἔτι λίην ποθὴ ἔσσεται, εἴ κεν οἱ ἄλλοι
Ἡμεῖς ὀτρυνώμεθ' ἀμυνέμεν ἀλλήλοισιν.
Ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες·
Ἀσπίδας, ὅσσαι ἄριστοι ἐνὶ στρατῷ ἠδὲ μέγιστοι,
Ἐσσάμενοι, κεφαλὰς δὲ παναίθῃσιν κορύθεσσι
Κρύψαντες, χερσίν τε τὰ μακρότατ' ἔγχε' ἑλόντες,
Ἴομεν· αὐτὰρ ἐγὼν ἡγήσομαι, οὐδέ τί φημι
Ἕκτορα Πριαμίδην μενέειν, μάλα περ μεμαῶτα.
Ὃς δέ κ' ἀνὴρ μενέχαρμος, ἔχει δ' ὀλίγον σάκος ὤμῳ,
Χείρονι φωτὶ δότω, ὁ δ' ἐν ἀσπίδι μείζονι δύτω.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα τῷ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο.
Τὼς δ' αὐτοὶ βασιλῆες ἐκόσμεον, ὀτάμενοί περ,
Τυδείδης, Ὀδυσεύς τε, καὶ Ἀτρείδης Ἀγαμέμνων·
Οἰχόμενοι δ' ἐπὶ πάντας, ἀρήϊα τεύχε' ἄμειβον,
Ἐσθλὰ μὲν ἐσθλὸς ἔδυνε, χέρεια δὲ χείρονι δόσκον.
Αὐτὰρ ἐπεί ῥ' ἔσσαντο περὶ χροῖ νώροπα χαλκὸν,
Βάν ῥ' ἴμεν· ἦρχε δ' ἄρα σφι Ποσειδάων ἐνοσίχθων,
Δεινὸν ἄορ τανύηκες ἔχων ἐν χειρὶ παχείῃ,

364. ΜΕ. Παραχωροῦμεν. Ταῦτα δὲ, καὶ τὰ ἑξῆς, κατ' ἐπερώτησιν ἀναγωγέον.
365. ΑΡΗ. Καρπώσηται, λάβῃ.
368. ΠΟ. Ἐπιζήτησις, χρεία.
372. ΕΣ. Λαβόντες, καθοπλισάμενοι. ΠΑ. Πάνυ γιλπναῖς, λαμπραῖς.
376. ΜΕ. Ὑπομονητικὸς ἐν μάχῃ. ΟΛΙ. Ἀντὶ τῦ, μικρὰν ἀσπίδα. Ἔστι δὲ ποσότης αὐτὶ ποιλικότητος.
377. ΧΕΙ. Ἐλάττοσι.
379. ΕΚΟΣ. Διέτασσον.
381. ΟΙ. Πάντας ἐπερχόμενοι. ΑΜΕΙ. Νῦν, ἤλλασσον.
382. ΕΣΘ. Γενναῖα. ΧΕΙ. Ἐλάττονι. ΔΟ. Ἐδίδυ.
383. ΝΩ. Λαμπρόν.
385. ΤΑΝ. Ἐπὶ μῆκος ἠκονημένον, μακρὰν καὶ παρατεταμένην ἔχον τὴν ἀκμήν.

Εἴκελον ἀστεροπῇ· τῷ δ' οὐ θέμις ἐστὶ μιγῆναι
Ἐν δαΐ λευγαλέῃ, ἀλλὰ δέος ἰσχάνει ἄνδρας.
Τρῶας δ' αὖθ' ἑτέρωθεν ἐκόσμεε Φαίδιμος Ἕκτωρ.
Δή ῥα τότ' αἰνοτάτην ἔριδα πολέμοιο τάνυσσαν
Κυανοχαῖτα Ποσειδάων, καὶ Φαίδιμος Ἕκτωρ, 390
Ἤτοι ὁ μὲν Τρώεσσιν, ὁ δ' Ἀργείοισιν ἀρήγων.
Ἐκλύθη δὲ θάλασσα ποτὶ κλισίας τε νέας τε
Ἀργείων· οἱ δὲ ξύνισαν μεγάλῳ ἀλαλητῷ.
Οὔτε θαλάσσης κῦμα τόσον βοάᾳ ποτὶ χέρσον,
Ποντόθεν ὀρνύμενον πνοιῇ Βορέω ἀλεγεινῇ· 395
Οὔτε πυρὸς τόσσος γε ποτὶ βρόμος αἰθομένοιο,
Οὔρεος ἐν βήσσῃς, ὅτε τ' ὤρετο καιέμεν ὕλην·
Οὔτ' ἄνεμος τόσσον γε ποτὶ δρυσὶν ὑψικόμοισιν
Ἠπύει, ὅτε μάλιστα μέγα βρέμεται χαλεπαίνων·
Ὅσση ἄρα Τρώων καὶ Ἀχαιῶν ἔπλετο φωνή, 400
Δεινὸν ἀϋσάντων, ὅτ' ἐπ' ἀλλήλοισιν ὄρουσαν.
Αἴαντος δὲ πρῶτος ἀκόντισε Φαίδιμος Ἕκτωρ
Ἔγχει, ἐπεὶ τέτραπτο πρὸς ἰθύ οἱ, ὃ δ' ἀφάμαρτε·
Τῇ ῥα δύω τελαμῶνε περὶ στήθεσσι τετάθην,
Ἤτοι ὁ μὲν σάκεος, ὁ δὲ φασγάνου ἀργυροήλου· 405
Τώ οἱ ῥυσάσθην τέρενα χροός· χώσατο δ' Ἕκτωρ,

386. ΑΣΤΕ. Ἀστραπῇ. ΤΩ. Τῷ δὲ Ποσειδῶνι ὁ δίκαιόν ἐστι μιχθῆναι ἐν τῇ ὀλεθρίᾳ μάχῃ.

387. ΙΣ. Κατέχει, λαμβάνει. Πεποίηται γὰρ εἰς φόβον, οὐκ εἰς φόνον.

390. ΚΥ. Μελανόθριξ.

394. ΒΟ. Βοᾷ, ἠχεῖ. ΠΟ. Προσρηγνύμενον τῇ γῇ.

395. ΠΟΝ. Ἐκ τῆς θαλάσσης ὁρμῶν.

396. ΒΡΟ. Κυρίως, ὁ ὑπὸ πυρὸς ἦχος. Ὅθεν καὶ Βρόμιος, ἀπὸ τοῦ πυρός. Ἐν οἷς οἱ ποιηταὶ καὶ τὸν μῦθον ἔπλασαν, ὅτι ἐκ Διὸς καὶ Σεμέλης ἐστὶ, βληθείσης τοῦ κεραυνοῦ, καὶ ὅτι πυρογενής ἐστιν. ΠΟ. γρ. ποτέ.

397. ΩΡΕ. Ὥρμησεν.

399. ΗΠΥ. Βοᾷ, ἠχεῖ.

402. ΑΙ. Ἀντὶ ὑ, κατὰ τοῦ Αἴαντος ἔβαλεν.

403. ΙΘ. Πρὸς εὐθὺ αὐτοῦ.

404. ΤΕΛΑ. Οἱ ἀναφορεῖς. ΤΕ. Ἐξετέτανταο.

406. ΤΩ. Ἀντὶ ὑ, οἵτινες ἐφύλαξαν

Ὄφρι ῥά οἱ βέλος ὠκὺ ἐτώσιον ἔκφυγε χειρός·
Ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο, κῆρ' ἀλεείνων.
Τὸν μὲν ἔπειτ' ἀπιόντα μέγας Τελαμώνιος Αἴας
Χερμαδίῳ, τά ῥα πολλὰ, θοάων ἔγματα νηῶν, 410
Πὰρ ποσὶ μαρναμένων ἐκυλίνδετο· τῶν ἓν ἀείρας,
Στῆθος βεβλήκει ὑπὲρ ἄντυγος, ἀγχόθι δειρῆς·
Στρόμβον δ' ὣς, ἔσσευε βαλὼν, περὶ δ' ἔδραμε πάντη.
Ὡς δ' ὅθ' ὑπαὶ ῥιπῆς πατρὸς Διὸς ἐζερίπῃ δρῦς
Πρόῤῥιζος, δεινὴ δὲ θεείου γίνεται ὀδμὴ 415
Ἐξ αὐτῆς· τὸν δ' ἤπερ ἔχει θράσος, ὅς κεν ἴδηται
Ἐγγὺς ἐὼν, χαλεπὸς δὲ Διὸς μεγάλοιο κεραυνός·
Ὣς ἔπεσ' Ἕκτορος ὦκα χαμαὶ μένος ἐν κονίῃσι·
Χειρὸς δ' ἔκβαλεν ἔγχος, ἐπ' αὐτῷ δ' ἀσπὶς ἐάφθη,
Καὶ κόρυς, ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ. 420
Οἱ δὲ μέγα ἰάχοντες ἐπέδραμον υἷες Ἀχαιῶν,
Ἐλπόμενοι ἑρύεσθαι, ἀκόντιζον δὲ θαμειὰς
Αἰχμάς· ἀλλ' ὅτις ἐδυνήσατο ποιμένα λαῶν
Οὐτάσαι, ἠδὲ βαλεῖν· πρὶν γὰρ περίβησαν ἄριστοι,
Πηλυδάμας τε, καὶ Αἰνείας, καὶ δῖος Ἀγήνωρ, 425
Σαρπηδών τ' ἀρχὸς Λυκίων, καὶ Γλαῦκος ἀμύμων·
Τῶν δ' ἄλλων ὅτις εὖ ἀκήδησ', ἀλλὰ πάροιθεν
Ἀσπίδας εὐκύκλους ἀνέθον αὐτοῦ· τὸν δ' ἄρ' ἑταῖροι

αὐτοῦ τὸ σῶμα ἄτρωτον. ΧΩΣ. Νῦν, ἐλυπήθη.

411. ΑΕΙ. Ἄρας.

413. ΣΤΡΟΜ. Ὡς ῥόμβον περιφερῆ. Λέγει δὲ τὸν καλούμενον βέμβηκα. Δίκην οὖν ῥόμβου ἐποίησεν αὐτὸν τρίφιδαι, σφοδρῶς πλήξας. ΕΣ. Κινεῖσθαι ἐποίησε. ΠΕ. Περιῆλθεν, ἢ πέριξ ἔδραμε.

414. ΕΞΕ. Ἐκπίσῃ.

415. ΠΡΟΡ. Μέχρι ῥιζῶν. ΘΕ. Θείου. Προσληπτέον δὲ, κεραυνοῦ. ΟΔ. Ποιότης, πνοή.

416. ΤΟΝ. Πάντες δὲ αὐτὸν καταπλήττονται οἱ ἰδόντες.

419. ΕΠ. Ἐπικατεκάμφθη δὲ αὐτῷ ἡ ἀσπίς· ὅ ἐστι, κατηνέχθη.

423. ΑΙΧ. Ἀκόντια.

424. ΠΕΡ. Ὑπερεμάχησαν.

427. ΑΚ. Οὐδὲς δὲ αὐτοῦ ἠμέλησε, καὶ ἠφροντίσησε.

Χερσὶν ἀείραντες φέρον ἐκ πόνου, ὄφρ' ἵκεθ' ἵππους
Ὠκέας, οἵ οἱ ὄπισθε μάχης ἠδὲ πολέμοιο
Ἕσαν, ἡνίοχόν τε καὶ ἅρματα ποικίλ' ἔχοντες·
Οἳ τόν γε πρὸς ἄστυ φέρον βαρέα στενάχοντα.
Ἀλλ' ὅτε δὴ πόρον ἵκον ἐυῤῥεῖος ποταμοῖο
Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς,
Ἔνθα μιν ἐξ ἵππων πέλασαν χθονὶ, καδδέ οἱ ὕδωρ
Χεῦαν· ὁ δ' ἀμπνύνθη, καὶ ἀνέδρακεν ὀφθαλμοῖσιν·
Ἑζόμενος δ' ἐπὶ γεῦνα, κελαινεφὲς αἷμ' ἀπέμεσσεν·
Αὖτις δ' ἐξοπίσω πλῆτο χθονὶ, καδδέ οἱ ὄσσε
Νὺξ ἐκάλυψε μέλαινα· βέλος δ' ἔτι θυμὸν ἐδάμνα.
Ἀργεῖοι δ', ὡς οὖν ἴδον Ἕκτορα νόσφι κιόντα,
Μᾶλλον ἐπὶ Τρώεσσι θόρον, μνήσαντο δὲ χάρμης.
Ἔνθα πολὺ πρώτιστος Ὀϊλῆος ταχὺς Αἴας
Σάτνιον ὕτασε, δουρὶ μετάλμενος ὀξυόεντι,
Ἠνοπίδην, ὃν ἄρα νύμφη τέκε Νηΐς ἀμύμων
Ἠνοπι βουκολέοντι παρ' ὄχθας Σατνιόεντος.
Τὸν μὲν Ὀϊλιάδης δουρικλυτὸς, ἐγγύθεν ἐλθὼν,
Οὖτα κατὰ λαπάρην· ὁ δ' ἀνετράπετ', ἀμφὶ δ' ἄρ' αὐτῷ
Τρῶες καὶ Δαναοὶ σύναγον κρατερὴν ὑσμίνην.
Τῷ δ' ἔπι Πουλυδάμας ἐγχέσπαλος ἦλθεν ἀμύντωρ
Πανθοίδης· βάλε δὲ Προθοήνορα δεξιὸν ὦμον,

433. ΠΟ. Παρεγένοντο εἰς τὸ Σκαιατὸν καὶ πορεύσιμον μέρος τοῦ ποταμοῦ.
434. ΞΑΝ. Ἰδίως τὸν μὲν σωματικὸν Ξάνθον Διὸς γενεαλογεῖ, τὸν δὲ ποταμὸν Ὠκεανοῦ λέγει,
Ἐξ ὑπερ πάντες ποταμοὶ, καὶ πᾶσα θάλασσα,
Καὶ πᾶσαι κρῆναι, καὶ φρείαλα μακρὰ ναίουσι.
435. ΠΕ. Ἔθεσαν εἰς τὴν γῆν.
436. ΑΜΠ. Ἔμφρων ἐγένετο, λειποθυμήσας. ΑΝΕ. Ἀνέβλεψεν.
437. ΕΖΟ. Διανασὰς ἐπὶ γόνατα, ΑΠΕ. Ἀπήμισεν, ἀπέμεσε.
438. ΠΛΗ. Προσεπελάσθη.
439. ΒΕ. Ἡ ἀπὸ τῆς βολῆς ἀδύνη, ὁ βεβλημένος τόπος. ΕΔ. Καλεπόνει.
441. ΘΟ. Ὤρμησαν.
443. ΜΕ. Ἔνοι, μετάλμενον. Ἐπιπηδῶντα.
445. ΣΑΤ. Σατνίου ποταμοῦ.
447. ΛΑ. Καὶ τὴν λαγόνα. ΑΝΕ. Εἰς τὸ πίσω ἀνετράπη.
449. ΑΜΥΝ. Βοηθός.

Υἱὸν Ἀρηϊλύκοιο· δι᾽ ὤμου δ᾽ ὄβριμον ἔγχος
Ἔχεν· ὁ δ᾽ ἐν κονίῃσι πεσὼν ἔλε γαῖαν ἀγοστῷ·
Πυλυδάμας δ᾽ ἔκπαγλον ἐπεύξατο, μακρὸν ἀΰσας·
Οὐ μὰν αὖτ᾽ ὀίω μεγαθύμου Πανθοΐδαο
Χειρὸς ἄπο σιβαρῆς ἅλιον πεδήσαμ᾽ ἄκοντα, 455
Ἀλλά τις Ἀργείων κόμισε χροΐ· καί μιν ὀίω
Αὐτῷ σκηπόμενον κατίμεν δόμον Ἄϊδος εἴσω.
Ὣς ἔφατ᾽· Ἀργείοισι δ᾽ ἄχος γένετ᾽ εὐξαμένοιο·
Αἴαντι δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινε
Τῷ Τελαμωνιάδῃ· τοῦ γὸ πέσεν ἄγχι μάλιστα· 460
Καρπαλίμως δ᾽ ἀπιόντος ἀκόντισε δουρὶ φαεινῷ.
Πυλυδάμας δ᾽ αὐτὸς μὲν ἀλεύατο κῆρα μέλαιναν,
Λαμπρὸς ἀΐξας· κόμισεν δ᾽ Ἀντήνορος υἱὸς
Ἀρχίλοχος· τῷ γάρ ῥα θεοὶ βέλεσσαν ὄλεθρον·
Τόν ῥ᾽ ἔβαλεν, κεφαλῆς τε καὶ αὐχένος ἐν συνεοχμῷ, 465
Νείατον ἀστράγαλον· ἀπὸ δ᾽ ἄμφω κέρσε τένοντε·
Τοῦ δὲ πολὺ πρότερον κεφαλή, στόμα τε, ῥῖνές τε
Οὔδει πλῆντ᾽, ἦπερ κνήμας καὶ γοῦνα πεσόντος.
Αἴας δ᾽ αὖτε γέγωνεν ἰαμύμονι Πυλυδάμαντι·
Φράζεο, Πυλυδάμα, καί μοι νημερτὲς ἔνισπε, 470
Ἦ ῥ᾽ ἄχ᾽ ἔτος ἀνὴρ Προθοήνορος ἀντιπεφάσθαι
Ἄξιος; οὐ μέν μοι κακὸς εἴδεται, οὐδὲ κακῶν ἐῶν·

452. ΕΣ. Διῆλθεν. ΑΓΟ. Ἀγκάλῃ.
454. ΠΑ. Ἑαυτοῦ λίγει.
455. ΠΗ. Ἀντὶ ᾧ, πεπηδηκέναι, καὶ ἐξορμηθῆναι. ΑΚΟΝ. Ἀκόντιον.
456. ΚΟ. Ὑπεδέξατο. ΧΡΟΙ. Τῷ σώματι.
457. ΣΚΗΠ. Σκηριπτόμενον, ἐρειδόμενον.
463. ΛΙ. Εἰς πλάγιον ὁρμήσας· ὅ ἐστιν, ἐγκλίνας.
465. ΕΝ. Ἐν τῇ συναφῇ τοῦ ἰνίου, ἐν τῷ συνδέσμῳ. Ἀστράγαλον δὲ νῦν τὸν σπόνδυλον. Εἴρηται δὲ καλὰ ἀντίφρασιν· πολύστρεπτος γὸ ὑπάρχει.
466. ΑΠΟ. Ἀπέτεμε δὲ ἀμφότερα τὰ κατατείνοντα αὐτοῦ νεῦρα.
470. ΦΡΑ. Νῦν, ὅρα.
471. ΠΡΟ. Ἀντὶ τοῦ Προθοήνορος πεφονεῦθαι. Ἀναστροφὴ, ὁ τρόπος.
472. ΕΙ. Φαίνεται. ΚΑ. Ἀντὶ τοῦ, ἐκ κακῶν.

‘ Ἀλλὰ κασίγνητος Ἀντήνορος ἱπποδάμοιο,
‘ Ἦ πάϊς· αὐτῷ γὰρ γενεὴν ἄγχιστα ἐώκει.’
Ἦ ῥ’, εὖ γινώσκων· Τρῶας δ’ ἄχος ἔλλαβε θυμόν. 475
Ἔνθ’ Ἀκάμας Πρόμαχον Βοιώτιον ὄτασε δουρὶ,
Ἀμφὶ κασιγνήτῳ βεβαώς· ὁ δ’ ὕφελκε ποδοῖϊν.
Τῷ δ’ Ἀκάμας ἔκπαγλον ἐπεύξατο, μακρὸν ἀΰσας·
‘ Ἀργεῖοι ἰόμωροι, ἀπειλάων ἀκόρητοι,
‘ Οὔ θην οἴοισίν γε πόνος τ’ ἔσεται καὶ ὀϊζὺς 480
‘ Ἡμῖν, ἀλλά ποθ’ ὧδε κατακτανέεσθε καὶ ὔμμες.
‘ Φράζεσθ’, ὡς ὑμῖν Πρόμαχος δεδμημένος εὕδει
‘ Ἔγχει ἐμῷ, ἵνα μή τι κασιγνήτοιό γε ποινὴ
‘ Δηρὸν ἄτιτος ἔῃ· τῷ καί κέ τις εὔχεται ἀνὴρ
‘ Γνωτὸν ἐνὶ μεγάροις ἄρεως ἀλκτῆρα λιπέσθαι.’ 485
Ὣς ἔφατ’· Ἀργείοισι δ’ ἄχος γένετ’ εὐξαμένοισι·
Πηνέλεῳ δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν·
Ὥρμήθη δ’ Ἀκάμαντος· ὁ δ’ οὐχ ὑπέμεινεν ἐρωὴν
Πηνελέοιο ἄνακτος· ὁ δ’ ὄτασεν Ἰλιονῆα,
Υἱὸν Φόρβαντος πολυμήλου, τόν ῥα μάλιστα 490
Ἑρμείας Τρώων ἐφίλει, καὶ κτῆσιν ὄπασσε·
Τῷ δ’ ἄρ’ ὕπο μήτηρ μοῦνον τέκεν Ἰλιονῆα·
Τὸν τόθ’ ὑπ’ ὀφρύος ὄτα κατ’ ὀφθαλμοῖο θέμεθλα,
Ἐκ δ’ ὦσε γλήνην· δόρυ δ’ ὀφθαλμοῖο διὰ πρὸ,

474. ΕΩ. Ὡμοιῶτο.
475. ΓΙΝ. Εἰδώς.
479. ΙΟ. Οἱ περὶ τὰς ἰὰς, ὅ ἐστι, τὰ βέλη, κακοπαθοῦντες, πολεμικοί. ΑΠΕΙ. Καυχήσεων.
480. ΟΥ. Οὐ δὴ μόνοις. ΠΟ. Κακοπάθεια. ΟΙ. Ταλαιπωρία.
482. ΔΕΔ. Ἀνῃρημένος.
483. ΠΟΙ. Ἀντίκτισις, τιμωρία.
484. ΑΤΙ. Ἀτιμώρητος.
485. ΓΝΩ. Ἀπὸ τοῦ, ἀδελφόν. ΑΛΚ. Ἀλεξητῆρα τοῦ πολέμου, καὶ βοηθόν· ἢ, ὅς τινες, φόβου τιμωρόν.
490. ΠΟ. Νῦν, πολλὰ πρόβατα ἔχοντος.
491. ΚΤΗ. Τὰ κτήματα.
493. ΘΕ. Ῥίζας, βάσεις· ἐφ’ ὧν ἕδραται ὁ ὀφθαλμός.
494. ΓΛΗ. Τὴν τοῦ ὀφθαλμοῦ κόρην. ΔΙΑ. Διαμπάξ, διόλου.

Καὶ διὰ ἰνίου ἦλθεν· ὁ δ' ἕζετο χεῖρε πετάσσας 495
Ἀμφω· Πηνέλεως δὲ ἐρυσσάμενος ξίφος ὀξὺ,
Αὐχένα μέσσον ἔλασσεν, ἀπήραζεν δὲ χαμᾶζε,
Αὐτῇ σὺν πήληκι, κάρη· ἔτι δ' ὄβριμον ἔγχος
Ἦεν ἐν ὀφθαλμῷ· ὁ δὲ φῆ, κώδειαν ἀναχὼν,
Πέφραδέ τε Τρώεσσι, καὶ εὐχόμενος ἔπος ηὔδα· 500
Εἰπέμεναί μοι, Τρῶες, ἀγαυοῦ Ἰλιονῆος
Πατρὶ φίλῳ καὶ μητρὶ, γοήμεναι ἐν μεγάροισιν·
Οὐδὲ γὰρ ἡ Προμάχοιο δάμαρ Ἀλεγηνορίδαο,
Ἀνδρὶ φίλῳ ἐλθόντι γανύσσεται, ὁππότε κεν δὴ
Ἐκ Τροίης σὺν νηυσὶ νεώμεθα κῦροι Ἀχαιῶν. 505
Ὣς φάτο· τοὺς δ' ἄρα πάντας ὑπὸ χλωρὸν δέος εἷλε·
Πάππηνεν δὲ ἕκαστος, ὅπη φύγοι αἰπὺν ὄλεθρον.
Ἔσπετε νῦν μοι, Μοῦσαι, Ὀλύμπια δώματ' ἔχουσαι,
Ὅστις δὴ πρῶτος βροτόεντ' ἀνδράγρι' Ἀχαιῶν
Ἦρατ', ἐπεί ῥ' ἔκλινε μάχην κλυτὸς Ἐννοσίγαιος. 510
Αἴας ῥα πρῶτος Τελαμώνιος Ὕρτιον ἕτα
Γορτιάδην, Μυσῶν ἡγήτορα καρτεροθύμων·
Φάλκην δ' Ἀντίλοχος κὴ Μέρμερον ἐξενάριζε·
Μηριόνης δὲ Μόρυν τε καὶ Ἱπποτίωνα κατέκτα·
Τεῦκρος δὲ Προθόωνά τ' ἐνήρατο, καὶ Περιφήτην· 515

495. ΠΕ. Ἀπλώσας.
497. ΑΥ. Σπόνδυλον, τράχηλον· ΕΛΑΣ. Ἀπὸ ϛ, ἀπέτεμεν, ἔκοψεν. ΑΠΗ. Ἀπέτεμεν, ἀπέκοψε.
498. ΠΗ. Περικεφαλαία. ΚΑ. Κεφαλήν.
499. ΚΩ. Ἐλλείπει τὸ ὡς· ἵν' ᾖ, ὡς κώδειαν ἀναείσας. Κώδεια δέ ἐστιν ἡ τῆς μήκωνος κεφαλὴ, ὃ ἐστιν εἶδος βοτάνης. Οὕτως ἂν εἴπε, φησὶν, τὴν κεφαλὴν ἀνατείνας.
500. ΠΕ. Σήμαινον, δείξον. Ὅτε δὲ, εἰπέ. ΕΥ. Μεγαληγορῶν, καυχώμενος.
502. ΓΟΗ. Θρηνῆσαι.
503. ΔΑ. Γυνή.
504. ΓΑ. Ἡδῇ, χαρᾷ.
507. ΑΙ. Χαλεπόν.
508. ΕΣ. Λίγιστε.
509. ΑΝΔ. Ἀνδρῶν ἀγρεύματα, σκῦλα.
510. ΗΡΑ. Ἀπενέγκατο, ἐκτήσατο. ΕΚΛ. Ἐτεροκλινῆ ἐποίησεν, ἔτρεψε.
512. ΚΑΡ. Ἰσχυρὸν τῇ ψυχῇ, ἀνδρεῖον.
515. ΕΝΗ. Ἀνήρησε.

Ἀτρείδης δ' ἄρ' ἔπειθ' Ὑπερήνορα, ποιμένα λαῶν,
Οὖτα κατὰ λαπάρην, διὰ δ' ἔντερα χαλκὸς ἄφυσσε
Δηώσας· ψυχὴ δὲ κατ' ἐταμένην ὠτειλὴν
Ἔσσυτ' ἐπεγομένη· τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε.
Πλέκτας δ' Αἴας εἷλεν, Ὀϊλῆος ταχὺς υἱός· 520
Οὐ γάρ οἵ τις ὁμοῖος ἐπισπέσθαι ποσὶν ἦεν,
Ἀνδρῶν τρεσσάντων, ὅτε τε Ζεὺς ἐν φόβον ὤρσεν.

517. ΔΙΑ. Διέκοψε, διήντλησε.
518. ΔΗ. Διακόψας, τρώσας. ΩΤΕΙ. Τραῦμα.
519. ΕΣ. Ὥρμησεν.
521. ΕΠΙ. Ἐπακολουθήσας.
522. ΤΡΕΣ. Διὰ δέος φυγόντα. ΦΟ. Φυγήν. ΩΡ. Ἐμβάλλε.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΙΛΙΑΔΟΣ Ο.

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

ΖΕΥΣ ἐγερθεὶς, καὶ διασαίμενος τοὺς Τρῶας νικωμένους, Ἥρᾳ ἐπιπλήσσει, καὶ Ἶριν μὲν μεταπέμπει πρὸς Ποσειδῶνα, κελεύων ἀφίστασθαι τοῦ πολέμου. Ἀπόλλωνα δὲ, ὅπως ἀναῤῥώσῃ τὸν Ἕκτορα. Ὃς, ἀναλαβὼν αἰγίδα, τοὺς Ἕλληνας εἰς φυγὴν τρέπει· καὶ, μέχρι τῶν νεῶν συνδιωχθέντων, Αἴας ὁ Τελαμώνιος πολλὰς ἀναιρεῖ τῶν πολεμίων, τοὺς ταῖς ναυσὶ πῦρ ἐπιφέροντας.

Παλίωξις.

Ο, Κρονίδης κεχόλωτο Ποσειδάωνι, καὶ Ἥρῃ,

ΑΥΤΑΡ ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν
Φεύγοντες, πολλοὶ δὲ δάμεν Δαναῶν ὑπὸ χερσὶν,
Οἱ μὲν δὴ παρ' ὄχεσφιν ἐρητύοντο μένοντες,
Χλωροὶ ὑπαὶ δείους, πεφοβημένοι· ἔγρετο δὲ Ζεὺς
Ἴδης ἐν κορυφῇσι παρὰ χρυσοθρόνου Ἥρης· 5
Στῆ δ' ἄρ' ἀναΐξας, ἴδε δὲ Τρῶας καὶ Ἀχαιοὺς,
Τοὺς μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας ὄπισθεν
Ἀργείους· μετὰ δέ σφι Ποσειδάωνα ἄνακτα.

1. ΔΙΑ. Τὸ ἑξῆς· διέβησαν τούς τε σκόλοπας καὶ τὴν τάφρον. Ὑπερβατὸν γὰρ, ὁ τρόπος.

3. ΕΡΗ. Κατείχοντο.

4. ΥΠΑΙ. Ὑπὸ δ' δείους· ὅ ἐστι, φόβου. Τὸ ὑπαὶ δείους δύνασαι καὶ, χλωροὶ ὑπαὶ δείους, καὶ, πεφοβημένοι ὑπὸ δέους. ΠΕ. Εἰς φυγὴν τετραμμένοι. ΕΓΡΕ. Ἐγρηγόρησεν, ἀνέστη.

6. ΑΝ. Ἀορμήσας, ἀναστάς.

7. ΟΡΙ. Ταραττομένους. ΚΛΟ. Ταράσσοντας.

Ἕκτορα δ' ἐν πεδίῳ ἴδε κείμενον· ἀμφὶ δ' ἑταῖροι
Εἵαθ', ὁ δ' ἀργαλέῳ ἔχετ' ἄθματι, κῆρ ἀπινύσσων,
Αἷμ' ἐμέων· ἐπεὶ οὔ μιν ἀφαυρότατος βάλ' Ἀχαιῶν.
Τὸν δὲ ἰδὼν ἐλέησε πατὴρ ἀνδρῶν τε θεῶν τε,
Δεινὰ δ' ὑπόδρα ἰδὼν Ἥρην πρὸς μῦθον ἔειπεν·
'Ἦ μάλα δὴ κακότεχνος, ἀμήχανε, σὸς δόλος, Ἥρη,
'Ἕκτορα δῖον ἔπαυσε μάχης, ἐφόβησε δὲ λαούς.
'Οὐ μὰν οἶδ', εἰ αὖτε κακορραφίης ἀλεγεινῆς
'Πρώτη ἐπαύρηαι, καί σε πληγῆσιν ἱμάσσω.
'Ἦ οὐ μέμνῃ, ὅτε τ' ἐκρέμω ὑψόθεν, ἐκ δὲ ποδοῖιν
'Ἄκμονας ἧκα δύω, περὶ χερσὶ δὲ δεσμὸν ἔηλα
'Χρύσεον, ἄῤῥηκτον; σὺ δ' ἐν αἰθέρι καὶ νεφέλῃσιν

10. ΕΧΕΤ. Ὑπὸ ἄθματος συνείχετο· ὅ ἐςιν, ὑπὸ πολλοῦ πνεύματος, καὶ συνεχὲς ἀναπνοῆς. ΚΗΡ. Ἐξεςηκὼς τῇ ψυχῇ, καὶ ὁ λογισμὸς συνετῶς, ἀλλ' ἀσυνέτως.

11. ΑΦΑΥ. Οὐκ ἀοδεινής.

14. ΜΑ. Ὄντως δὴ ὁ ἐπὶ κακῷ σου τετεχνασμένος δόλος, ὦ Ἥρα, τὸν Ἕκτορα ἔοικε τῇ μάχης πεπαυκέναι. ΑΜΗ. Παιέργε· πρὸς ὃν, καὶ πρὸς ἣν, ὁ δύναταί τις μηχανήσασθαι καὶ ἐπινοῆσαί τι.

16. ΚΑ. Κακοσυνθεσίας, κακοβουλίας.

17. ΕΠΑΥ. Ἐπιψαύσῃ, ἀπολαύσῃς τῆς κακοβυλίας. ΙΜΑ. Μαςίξω.

18. ΜΕΜ. Τὰς τῆ Ἥρας δεσμὰς νοητέον φυσικὴν τὴν ἀέρος πρὸς τὸν αἰθέρα συμπλοκήν. Διὰ τοῦτο ἐν φησὶ, χρύσεον, ἄῤῥηκτον· ἵν' ᾖ, δυσδιαχείριςον· ἐπεὶ καὶ τὸ πῦρ χρυσαυγὲς καὶ δυσδιάλυτον. Περὶ τούτου εἴρηται ἱκανῶς. Ἀκριβέςερον δὲ νῦν. Διὰ γὰρ τούτων ὁ Ποιητὴς τὴν κοσμικὴν αἰνίττεται φύσιν. Δία μὲν καὶ Ζῆνα τὸν ἀνωτάτω ὑποτιθέμενος διάπυρον ἀέρα, Ἥραν δὲ τὸν δεύτερον, καὶ ταύτην φησὶν ὑπὸ Ὠκεανοῦ τετράφθαι, ἐπειδὴ ἐκ τῆς τῶν ὑγρῶν ἀναθυμιάσεως γίγνεται ἀήρ. Ἄκμονας δὲ γῆν καὶ θάλασσαν λέγει. Χρυσοῦν δὲ δεσμὸν, τὸ αἰθέριον πῦρ, ὅτι ἐν τῷ ἀνωτάτῳ μέρει συνῆπται αὐτῷ ὁ ἀήρ. Καὶ ἐκπεμπόμενον τὸ Ἥφαιςον εἰς θάλασσαν, παρ' ὅσον μεταβάλλει εἰς ἄλλαλα τὰ ςοιχεῖα· πῦρ μὲν εἰς ἀέρα, ἀὴρ δὲ εἰς ὕδωρ. Χαλκεύοντα δὲ ἐν Ὠκεανοῦ, ὅτι τὰ γεννὰ τῆ δι' ὕδατος καὶ πυρὸς ἐργασίας τυγχάνει. Καὶ Ἡσίοδος ὑπαυδὸν μὲν λέγει τὴν ἐκπύρωσιν. Κρόνον δὲ τὸν ἄνω κρυπτὸν ἐπιφερόμενον ὄμβρον. Ῥέαν δὲ, τὴν ἐπιῤῥεομένην ὕδασιν. Ἑκτομὴν δὲ ὑρανοῦ, τὴν τοῦ πυρώδους ἐξ ὑγρῶν σβέσιν. Αἰθὼν δὲ καταπικόμενον ὑπὸ Κρόνου, ἐπειδήπερ ἡ μεταβολὴ τῆ ὑγρῶν εἰς γεῤῥότητα φύγουσα. Κρυπτεσθαι δὲ τὸν Δία, διὰ τὸ τοῦ ζῆν ἐπικρατεῖν τῷ χειμῶνι τὰς καρπὰς, ἀφανίζεσθαι πλεοναζόντων τῆ ὑγρῶν. Καὶ ἐν τῷ, Τριχθὰ δὲ πάντα δέδασται —φυσικὴ γίνεται διάταξις γεγενημένη. Ὁ μὲν γὰρ τὸ ζῆν παρεχόμενος, Ζεὺς ὀνόμασται· ὁ δὲ τὴν ὑγρὰν οὐσίαν, ἀπὸ τῆς πόσεως Ποσειδῶν. Ἅδης δὲ ὁ θάνατος, παρὰ τὸ σκοτεινὸν καὶ ἀιδὲς τῆ τῆ ἀνθρώπων ἀπωλείας. ΕΚΡΕ. Ἐκρέμασο. ΥΨΟ. Ἐκ τοῦ αἰθέρος, ἀπὸ ὕψους.

19. ΑΚ. Βάρη σιδηρᾶ καθήλωντα. ΗΚΑ. Ἀπεκρέμασα. ΙΗ. Περιέβαλον.

20. ΑΡ. Στειρὸν.

Ἐκρέμω, ἠλάσεον δὲ θεοὶ κατὰ μακρὸν Ὄλυμπον·
Λῦσαι δ' οὐκ ἐδύναντο παρασταδόν· ὃν δὲ λάβοιμι,
Ῥίπτασκον τεταγὼν ἀπὸ βηλοῦ, ὄφρ' ἂν ἵκηται
Γῆν ὀλιγηπελέων· ἐμὲ δ' ὀδ' ὡς θυμὸς ἀνίει
Ἀζηχὴς ὀδύνῃ Ἡρακλῆος θείοιο, 25
Τὸν σὺ ξὺν Βορέῃ ἀνέμῳ πεπιθοῦσα θυέλλας
Πέμψας ἐπ' ἀτρύγετον πόντον, κακὰ μητιόωσα,
Καί μιν ἔπειτα Κόωνδ' εὐναιομένην ἀπένεικας.
Τὸν μὲν ἐγὼν ἔνθεν ῥυσάμην, καὶ ἀνήγαγον αὖτις
Ἄργος ἐς ἱππόβοτον, καὶ πολλά περ ἀθλήσαντα. 30
Τῶν σ' αὖτις μνήσω, ἵν' ἀπολλήξῃς ἀπατάων·
Ὄφρ' εἰδῇς, ἤν τοι χραίσμῃ φιλότης τε καὶ εὐνή,
Ἣν ἐμίγης ἐλθοῦσα θεῶν ἄπο, καί μ' ἀπάτησας.
Ὣς φάτο· ῥίγησεν δὲ βοῶπις πότνια Ἥρη,
Καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα· 35
Ἴσω νῦν τόδε Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθεν,
Καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅστε μέγιστος
Ὅρκος, δεινότατός τε τέλει μακάρεσσι θεοῖσι·
Σή θ' ἱερὴ κεφαλή, καὶ νωΐτερον λέχος αὐτῶν
Κερίδιον, τὸ μὲν οὐκ ἂν ἐγώ ποτε μαψ ὀμόσαιμι· 40

21. ΗΛΑ. Ἐδεινοπάθουν, συνήλγουν.

22. ΠΑ. Ὃν δ' ἂν λάβοιμί σοι παρεστῶτα· ἀντὶ τοῦ, ὃν δὲ ἔλαβον παρεστάμενόν σοι. Δῆλον δὲ, ὅτι λέγει τὸ Ἡφαιστον.

23. ΡΙΠ. Ἐρρίπτουν. Παραγωγὴ, ὁ τρόπος. ΒΗ. Βαθμοῦ. ΟΦΡ. Ἕως ἄν.

24. ΟΛΙ. Ὀλιγοδρανῶν, ὀλίγον ἰσχύων, καὶ ὀλιγοψυχῶν. ΑΝΙ. Εἴα, κατελίμπανεν.

25. ΑΖΗ. Ἀδιάλειπτος· ἢ κακὸν ἦχον ἀποτελοῦσα. ΟΔ. γρ. θυμὸν ἀνίει Ἀζηχὴς ὀδύνη, ἄνευ τοῦ ι.

26. ΠΕ. Πείσασα. ΘΥ. Συμβουλὰς ἀνέμων.

28. ΑΠΕ. Ἀπαχθῆναι ἐποίησας.

30. ΑΘ. Κακοπαθήσαντα.

31. ΑΥ. Ἐκ δευτέρου, πάλιν. ΑΠΟΛ. Παύσῃ.

32. ΗΝ. Ἐάν σοι.

36. ΙΣ. Γιγνωσκέτω.

37. ΚΑ. Καταλειβόμενον, καθαρεῖον. ΣΤΥ. Ἐπεὶ ἡ Στὺξ, κατὰ τὸν Ἡσίοδον, ἐστὶν ἱερὰ πηγὴ, θυγάτηρ Ὠκεανοῦ, ἣ, ὥς τινές φασιν, ὅτι ὁμώνυμος ταύτῃ ἐστὶν ἡ πηγὴ ἡ ἐν Ἅιδου, ὅρκον αὐτὴν φρικτὸν οἱ θεοὶ ποιοῦνται βουλήσει Διός.

39. ΝΩ. Ἡμέτερον.

40. ΜΑΥ. Ψευδῶς, ματαίως.

Ἕκτορα δ' ἐν πεδίῳ ἴδε κείμενον· ἀμφὶ δ' ἑταῖροι
Εἵαθ', ὁ δ' ἀργαλέῳ ἔχετ' ἄσθματι, κῆρ ἀπινύσσων,
Αἷμ' ἐμέων· ἐπεὶ οὔ μιν ἀφαυρότατος βάλ' Ἀχαιῶν.
Τὸν δὲ ἰδὼν ἐλέησε πατὴρ ἀνδρῶν τε θεῶν τε,
Δεινὰ δ' ὑπόδρα ἰδὼν Ἥρην πρὸς μῦθον ἔειπεν·
'Ἦ μάλα δὴ κακότεχνος, ἀμήχανε, σὸς δόλος, Ἥρη,
'Ἕκτορα δῖον ἔπαυσε μάχης, ἐφόβησε δὲ λαούς.
'Οὐ μὰν οἶδ', εἰ αὖτε κακορραφίης ἀλεγεινῆς
'Πρώτη ἐπαύρηαι, καί σε πληγῆσιν ἱμάσσω.
'Ἦ οὐ μέμνῃ, ὅτε τ' ἐκρέμω ὑψόθεν, ἐκ δὲ ποδοῖιν
'Ἄκμονας ἧκα δύω, περὶ χερσὶ δὲ δεσμὸν ἔηλα
'Χρύσεον, ἄρρηκτον; σὺ δ' ἐν αἰθέρι καὶ νεφέλῃσιν

10. ΕΧΕΤ. Ὑπὸ ἄσθματος συνείχετο· ὅ ἐστιν, ὑπὸ πολλοῦ πνεύματος, καὶ συνεχὲς ἀναπνοῆς. ΚΗΡ. Ἐξεστηκὼς τῇ ψυχῇ, καὶ ὁ λογισμὸς συνιστῶς, ἀλλ' ἀσυνέτως.

11. ΑΦΑΥ. Οὐκ ἀσθενής.

14. ΜΑ. Ὅτως δὴ ὁ ἐπὶ κακῷ σου τετεχνασμένος δόλος, ὦ Ἥρα, τὸν Ἕκτορα ἔοικε τῆ μάχης πεπαυκέναι. ΑΜΗ. Παιέργε· πρὸς ὃν, καὶ πρὸς ἣν, ἐ δύναταί τις μηχανήσασθαι καὶ ἐπινοῆσαί τι.

16. ΚΑ. Κακοσυνθεσίας, κακοβουλίας.

17. ΕΠΑΥ. Ἐπιψαύσῃ, ἀπολαύσῃς τῆς κακοβυλίας. ΙΜΑ. Μαστίξω.

18. ΜΕΜ. Τὴς τῆ Ἥρας δισμὴς νοητέον φυσικὴν τὴ ἀέρος πρὸς τὸν αἰθέρα συμπλοκήν. Διὰ τῦτο ἐν φησὶ, χρύσεον, ἄρρηκτον· ἵν' ᾖ, δυσδιαχείριστον· ἐπεὶ καὶ τὸ πῦρ χρυσαυγὲς καὶ δυσδιάλυτον. Περὶ τούτου εἴρηται ἱκανῶς. Ἀκριβέστερον δὲ νῦν. Διὰ γὰρ τούτων ὁ Ποιητὴς τὴν κοσμικὴν αἰνίττεται φύσιν. Δία μὲν καὶ Ζῆνα τὴ ἀνωτάτω ὑποτιθέμενος διάπυρον ἀέρα, Ἥραν δὲ τὸν δεύτερον, καὶ ταύτην φησὶν ὑπὸ Ὠκεανῆ τετράφθαι, ἐπειδὴ ἐκ τῆ ὑγρῶν ἀναθυμιάσεως γίγνεται ἀήρ. Ἄκμονας δὲ γῆν καὶ θάλασσαν λέγει. Χρυσῆν δ δισμὸν, τὸ αἰθέριον πῦρ, ὅτι ἐν τῷ ἀνωτάτῳ μέρει συνῆπται αὐτῷ ὁ ἀήρ. Καὶ ῥιπτόμενον τὴ Ἥφαιστον εἰς θάλασσαν, παρ' ὅσον μεταβάλλει εἰς ἄλλα τὰ στοιχεῖα· πῦρ μὲν εἰς ἀέρα, ἀὴρ δὲ εἰς ὕδωρ. Χαλκεύοντα δὲ ἐν Ὠκεανῇ, ὅτι τὰ στερεὰ τῆ δι' ὕδατος καὶ πυρὸς ἐργασίας τυγχάνει. Καὶ Ἡσίοδος ὑραυὸν μὲν λέγει τὴν ἐκπύρωσιν. Κρόνον δὲ τὴ ἄνω κρυηδὸν ἐπιφερόμενον ὄμβρον. Ῥέαν δὲ, τὴν ἐπιῤῥεομένην ὕδασιν. Ἑκτορὴν δὲ ὑραιῦ, τὴν τῆ πυρώδυς ἐξ ὑγρῶν σβέσιν. Δίδυν δὲ καταπιπτόμενον ὑπὸ Κρόνου, ἐπειδήπερ ἡ μεταβολὴ τῆ ὑγρῶν εἰς στερεότητα πέφυκεν. Κρύπτεσθαι δὲ τὸν Δία, διὰ τὸ τοῦ ζῆν ἐπικρατεῖν τῷ χειμῶνι τὰς καρπὲς, ἀφανίζεσθαι πλεοναζόντων τῆ ὑγρῶν. Καὶ ἐν τῷ, Τριχθὰ δὲ πάντα δέδασται —φυσικὴ γίνεται διάταξις γεγενημένη. Ὁ μὲ γὰ τὸ ζῆν παρεχόμενος, Ζεὺς ὀνόμασαι· ὁ δὲ τὴν ὑγρὰν ὑσίαν, ἀπὸ τῆς πόσεως Ποσειδῶν. Ἅδης δὲ ὁ θάνατος, παρὰ τὸ σκοτεινὸν καὶ ἀηδὲς τῆ τῆ ἀνθρώπων ἀπωλείας. ΕΚΡΕ. Ἐκρέμασο. ΥΨΟ. Ἐκ τοῦ αἰθέρος, ἀπὸ ὕψους.

19. ΑΚ. Βάρη σιδηρᾶ καθήλκοντα. ΗΚΑ. Ἀπεκρέμασα. ΙΗ. Περιέβαλον.

20. ΑΡ. Στερεόν.

Ἐκρέμω, ἠλάσεον δὲ θεοὶ κατὰ μακρὸν Ὄλυμπον·
Λῦσαι δ' οὐκ ἐδύναντο παρασταδόν· ὃν δὲ λάβοιμι,
Ῥίψασκον τεταγὼν ἀπὸ βηλοῦ, ὄφρ' ἂν ἵκηται
Γῆν ὀλιγηπελέων· ἐμὲ δ' ὐδ' ὣς θυμὸς ἀνίει
Ἀζηχὴς ὀδύνη Ἡρακλῆος θείοιο, 25
Τὸν σὺ ζὺν Βορέῃ ἀνέμῳ πεπιθοῦσα θυέλλας
Πέμψας ἐπ' ἀτρύγετον πόντον, κακὰ μητιόωσα,
Καί μιν ἔπειτα Κόωνδ' εὐναιομένην ἀπένεικας.
Τὸν μὲν ἐγὼν ἔνθεν ῥυσάμην, καὶ ἀνήγαγον αὖτις
Ἄργος ἐς ἱππόβοτον, καὶ πολλά περ ἀθλήσαντα. 30
Τῶν σ' αὖτις μνήσω, ἵν' ἀπολλήξῃς ἀπατάων·
Ὄφρ' εἰδῇς, ἤν τοι χραίσμῃ φιλότης τε καὶ εὐνή,
Ἦν ἐμίγης ἐλθοῦσα θεῶν ἄπο, καί μ' ἀπάτησας.
Ὣς φάτο· ῥίγησεν δὲ βοῶπις πότνια Ἥρη,
Καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα· 35
Ἴσω νῦν τόδε Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθεν,
Καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅστε μέγιστος
Ὅρκος, δεινότατός τε τέλει μακάρεσσι θεοῖσι·
Σή θ' ἱερὴ κεφαλή, καὶ νωΐτερον λέχος αὐτῶν
Κυρίδιον, τὸ μὲν οὐκ ἂν ἐγώ ποτε μάψ ὀμόσαιμι· 40

21. ΗΛΑ. Ἐδεινοπάθουν, συνήλγουν.

22. ΠΑ. Ὃν ᾗ ἂν λάβοιμί σοι παρεστῶτα· ἀντὶ τοῦ, ὃ δὲ ἔλαβον παρεστάμενόν σοι. Δῆλον δὲ, ὅτι λέγει τὸν Ἥφαιστον.

23. ΡΙΠ. Ἐρρίπτουν. Παραγωγὴ, ὁ τρόπος. ΒΗ. Βαθμοῦ. ΟΦΡ. Ἕως ἄν.

24. ΟΛΙ. Ὀλιγοδρανῶν, ὀλίγον ἰσχύων, καὶ ὀλιγοψυχῶν. ΑΝΙ. Εἶα, κατελίμπανεν.

25. ΑΖΗ. Ἀδιάλειπτος· ἢ κακὸν ἦχον ἀφιεμένη. ΟΔ. γρ. θυμὸν ἀνίει Ἀζηχὴς ὀδύνη, ἄνευ τοῦ ι.

26. ΠΕ. Πείσασα. ΘΥ. Συμβουλὰς ἀνέμων.

28. ΑΠΕ. Ἀπαχθῆναι ἐποίησας.

30. ΑΘ. Κακοπαθήσαντα.

31. ΑΥ. Ἐκ δευτέρου, πάλιν. ΑΠΟΛ. Παύσῃ.

32. ΗΝ. Ἐάν σοι.

36. ΙΣ. Γιγνωσκέτω.

37. ΚΑ. Καταλειβόμενον, καταῤῥέον. ΣΤΥ. Ἐπεὶ ἡ Στὺξ, κατὰ τὸν Ἡσίοδον, ἐστὶν ἱερὰ πηγὴ, θυγάτηρ Ὠκεανοῦ, ἣ, ὥς τινές φασιν, ὅτι ὁμώνυμος ταύτῃ ἐστὶν ἡ πηγὴ ἡ ἐν Ἅιδου, ὅρκον αὐτὴν φρικτὸν οἱ θεοὶ ποιοῦνται βουλήσει Διός.

39. ΝΩ. Ἡμέτερον.

40. ΜΑΥ. Ψευδῶς, ματαίως.

Μὴ δ' ἐμὴν ἰότητα Ποσειδάων ἐνοσίχθων
Πημαίνει Τρῶάς τε καὶ Ἕκτορα, τοῖσι δ' ἀρήγει·
Ἀλλά κε αὐτὸν θυμὸς ἐποτρύνει καὶ ἀνώγει·
Τειρομένους δ' ἐπὶ νηυσὶν ἰδὼν ἐλέησεν Ἀχαιούς.
Αὐτάρ τοι καὶ κείνῳ ἐγὼ παραμυθησαίμην 45
Τῇ ἴμεν, ἦ κεν δὴ σὺ, Κελαινεφὲς, ἡγεμονεύῃς.
Ὣς φάτο· μείδησεν δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε,
Καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·
Εἰ μὲν δὴ σύ γ' ἔπειτα, βοῶπις πότνια Ἥρη,
Ἴσον ἐμοὶ φρονέουσα μετ' ἀθανάτοισι καθίζοις, 50
Τῷ κε Ποσειδάων γε, καὶ εἰ μάλα βούλεται ἄλλη,
Αἶψα μετατρέψειε νόον, μετὰ σὸν καὶ ἐμὸν κῆρ·
Ἀλλ' εἰ δή ῥ' ἐτεόν γε καὶ ἀτρεκέως ἀγορεύεις,
Ἔρχεο νῦν μετὰ φῦλα θεῶν, καὶ δεῦρο κάλεσσον
Ἶριν τ' ἐλθέμεναι, καὶ Ἀπόλλωνα κλυτότοξον, 55
Ὄφρ' ἡ μὲν μετὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων
Ἔλθῃ, καὶ εἴπῃσι Ποσειδάωνι ἄνακτι,
Παυσάμενον πολέμοιο, τὰ ἂ πρὸς δώματ' ἰκέσθαι·
Ἕκτορα δ' ὀτρύνῃσι μάχην ἐς, Φοῖβος Ἀπόλλων,
Αὖτις δ' ἐμπνεύσῃσι μένος, λελάθῃ δ' ὀδυνάων, 60
Αἶ νῦν μιν τείρουσι κατὰ φρένας· αὐτὰρ Ἀχαιοὺς
Αὖτις ἀποστρέψῃσιν, ἀνάλκιδα φῦζαν ἐνόρσας·
Φεύγοντες δ' ἐν νηυσὶ πολυκλήϊσι πέσωσι

41. ΜΗ. Οὐ δ' ἐμήν. ΙΟ. Βούλησιν.
42. ΠΗ. Βλάπτει, κακοῖ.
45. ΠΑ. Συμβουλεύσαιμι, εἴποιμι.
46. ΤΗ. Ταύτην ἔρχεσθαι, καὶ γνώμην ὁμοίαν σοι ἔχειν.
49. ΕΙ. Ἐὰν ὅπου δή.
50. ΙΣ. Ὅμοια καὶ τὰ αὐτὰ ἐμοὶ φρονοῦσα.
51. ΑΔ. Ἄλλως, ἢ ἀλλαχῇ.
52. ΜΕΤ. Μεταβάλοι. ΜΕ. Ἐπὶ τὸ σοὶ καὶ ἐμοὶ ἀρέσκον.
53. ΑΔΔ. Ἀλλ' ἐὰν δὴ ἀληθῆ λέγῃς. Δὶς δὲ τὸ αὐτό φησιν, ἐπιτάσεως χάριν.
54. ΕΡ. Ἔρχου. ΔΕΥ. Εἰς τοῦτον τὸν τόπον.
58. ΤΑ. Τὰ ἑαυτῇ ἴδια.
60. ΕΜ. Ἐμβάλῃ. ΑΕ. Εἰς λήθην ἀγάγοι, λήθην ποιήσειε.
62. ΦΥ. Δειλίαν, φυγήν.

Πηλείδεω Ἀχιλῆος· ὁ δ' ἀνσήσει ὃν ἑταῖρον
Πάτροκλον, τὸν δὲ κτενεῖ ἔγχεϊ φαίδιμος Ἕκτωρ 65
Ἰλίῳ προπάροιθε, πολεῖς ὀλέσαντ' ἀίζηνς
Τνς ἄλλνς, μετὰ δή, υἱὸν ἐμὸν Σαρπηδόνα δῖον·
Τνῦ δὲ χολωσάμενος κτενεῖ Ἕκτορα δῖος Ἀχιλλεύς.
Ἐκ τνῦδ' ἄν τοι ἔπεστα παλίωξιν παρὰ νηῶν
Αἰὲν ἐγὼ τεύχοιμι διαμπερὲς, εἰσόκ' Ἀχαιοὶ 70
Ἴλιον αἰπὺ ἕλοιεν, Ἀθηναίης διὰ βνλάς.
Τὸ πρὶν δ' ὅτ' ἄρ' ἐγὼ παύσω χόλον, ὅτε τιν' ἄλλων
Ἀθανάτων Δαναοῖσιν ἀμυνέμεν ἐνθάδ' ἐάσω,
Πρίν γε τὸ Πηλείδαο τελευτηθῆναι ἐέλδωρ·
Ὡς οἱ ὑπέσην πρῶτον, ἐμῷ δ' ἐπένευσα κάρηνι 75
Ἤματι τῷ, ὅτ' ἐμεῖο θεὰ Θέτις ἥψατο γέννων,
Λισσομένη τιμῆσαι Ἀχιλλῆα πτολίπορθον.
Ὣς ἔφατ'· ἐδέ, ἀπίθησε θεὰ λευκώλενος Ἥρη·
Βῆ δὲ κατ' Ἰδαίων ὀρέων ἐς μακρὸν Ὄλυμπον.
Ὡς δ' ὅτ' ἀναΐξῃ νόος ἀνέρος, ὅς τ' ἐπὶ πολλὴν 80
Γαῖαν ἐληλνθὼς, φρεσὶ πευκαλίμῃσι νοήσῃ,
Ἔνθ' ἔσην, ἢ ἔνθα, μενοινήσειέ τε πολλά·
Ὣς κραιπνῶς μεμαυῖα διέπτατο πότνια Ἥρη·
Ἵκετο δ' αἰπὺν Ὄλυμπον, ὁμηγερέεσσι δ' ἐπῆλθεν
Ἀθανάτοισι θεοῖσι Διὸς δόμῳ· οἱ δὲ ἰδόντες, 85

68. ΤΟΥ. Ὑπὲρ τούτου ὀργιδείς.

69. ΕΚ. Ἀπὸ τούτου τοῦ χρόνου. ΠΑ. Τὴν ἐξ ὑποστροφῆς τῶν φευγόντων δίωξιν· ὅταν οἱ πρότερον φεύγοντες, ὕστερον πάλιν αὐτοὶ διώκωσι θαρρήσαντες.

71. ΙΑΙ. Σημείωσαι τοῦτο, ὅτι οὐδετέρως τὸ Ἴλιον ἐνθάδε φησὶ μόνον. Διὸ καὶ ἀθετεῖται ὁ στίχος οὗτος.

80. ΩΣ. Καὶ τὰ ἑξῆς· ὥσπερ δὲ νοῦς ἀνδρὸς πολλὴν ἐπεληλυθότος γῆν, καὶ πολλὰ ἱστορηκότος, ἐν ὑπομνήσει ποιεῖται τὰ ἱστορήματα, καὶ ταχέως ἄλλοτε ἐπ' ἄλλο μεταβαίνει· οὕτω καὶ ἡ Ἥρα τότε ἐκ τῆς Ἴδης εὐθέως παρεγένετο εἰς τὸν Ὄλυμπον.

81. ΠΕΥ. Συνεταῖς.

82. ΕΝ. Ἐνταῦθα, ἢ ἐκεῖ. ΕΙ. Τὸ εἴην τοῖς Ἀριστάρχειοις σημαίνει τὸ, ὑπῆρχον· ὡς αὐτοῦ τοῦ ἀνδρὸς ἐπιλογιζομένου, εἴην, πορευοίμην, πορευθείην. Ὁ δὲ λόγος· εἰς ἐκείνην τὴν χώραν πορευθείην, ἢ εἰς ταύτην πορευοίμην. ΜΕ. Ἐνθυμηθῆ, διανοηθῆ.

83. ΔΙΕ. Διάνοια.

‘ Ἀλλὰ κασίγνητος Ἀντήνορος ἱπποδάμοιο,
‘ Ἦ πάϊς· αὐτῷ γὰρ γενὴν ἄγχιστα ἐῴκει.’
Ἦ ῥ’, εὖ γινώσκων· Τρῶας δ’ ἄχος ἔλλαβε θυμόν. 475
Ἔνθ’ Ἀκάμας Πρόμαχον Βοιώτιον ὄτασε δουρὶ,
Ἀμφὶ κασιγνήτῳ βεβαώς· ὁ δ’ ὕφελκε ποδοῖϊν.
Τῷ δ’ Ἀκάμας ἔκπαγλον ἐπεύξατο, μακρὸν ἀΰσας·
‘ Ἀργεῖοι ἰόμωροι, ἀπειλάων ἀκόρητοι,
‘ Οὔ θην οἴοισίν γε πόνος τ’ ἔσεται ϗ ὀϊζὺς 480
‘ Ἡμῖν, ἀλλά ποθ’ ὧδε κατακτανέεσθε καὶ ὔμμες.
‘ Φράζεσθ’, ὡς ὑμῖν Πρόμαχος δεδμημένος εὕδει
‘ Ἔγχει ἐμῷ, ἵνα μή τι κασιγνήτοιό γε ποινὴ
‘ Δηρὸν ἄτιτος ἔῃ· τῷ καί κέ τις εὔχεται ἀνὴρ
‘ Γνωτὸν ἐνὶ μεγάροις ἄρεως ἀλκτῆρα λιπέσθαι.’ 485
Ὣς ἔφατ’· Ἀργείοισι δ’ ἄχος γένετ’ εὐξαμένοισι·
Πηνέλεῳ δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν·
Ὥρμήθη δ’ Ἀκάμαντος· ὁ δ’ οὐχ ὑπέμεινεν ἐρωὴν
Πηνελέοιο ἄνακτος· ὁ δ’ ὄτασεν Ἰλιονῆα,
Υἱὸν Φόρβαντος πολυμήλου, τόν ῥα μάλιστα 490
Ἑρμείας Τρώων ἐφίλει, ϗ κτῆσιν ὄπασσε·
Τῷ δ’ ἄρ’ ὕπο μήτηρ μῆνον τέκεν Ἰλιονῆα·
Τὸν τόθ’ ὑπ’ ὀφρύος ὄτα κατ’ ὀφθαλμοῖο θέμεθλα,
Ἐκ δ’ ὦσε γλήνην· δόρυ δ’ ὀφθαλμοῖο διὰ πρὸ,

474. ΕΩ. Ὡμοιῶτο.
475. ΓΙΝ. Εἰδώς.
479. ΙΟ. Οἱ περὶ τὰς ἰὰς, ὅ ἐστι, τὰ βέλη, κακοπαθοῦντες, πολεμικοί. ΑΠΕΙ. Καυχήσεων.
480. ΟΥ. Οὐ δὴ μόνοις. ΠΟ. Κακοπάθεια. ΟΙ. Ταλαιπωρία.
482. ΔΕΔ. Ἀνῃρημένος.
483. ΠΟΙ. Ἀντέκτισις, τιμωρία.
484. ΑΤΙ. Ἀτιμώρητος.
485. ΓΝΩ. Ἀδελφὸν. ΑΛΚ. Ἀλεξητῆρα ἐν πολέμῳ, ϗ βοηθόν· ἤ, ὅς τινες, φόβον τιμωρόν.
490. ΠΟ. Νῦν, πολλὰ πρόβατα ἔχοντος.
491. ΚΤΗ. Τὰ κτήματα.
493. ΘΕ. Ῥίζας, βάσεις· ἐφ’ ὧν ἔδρασαι ὁ ὀφθαλμός.
494. ΓΑΗ. Τὴν τοῦ ὀφθαλμοῦ κόρην. ΔΙΑ. Διαμπὰξ, διόλου.

Καὶ διὰ ἰνίου ἦλθεν· ὁ δ' ἕζετο χεῖρε πετάσσας 495
Ἀμφω· Πηνέλεως δὲ ἐρυσσάμενος ξίφος ὀξὺ,
Αὐχένα μέσσον ἔλασσεν, ἀπήραζεν δὲ χαμᾶζε,
Αὐτῇ σὺν πήληκι, κάρη· ἔτι δ' ὄβριμον ἔγχος
Ἦεν ἐν ὀφθαλμῷ· ὁ δὲ φῆ, κώδειαν ἀναχὼν,
Πέφραδέ τε Τρώεσσι, καὶ εὐχόμενος ἔπος ηὔδα· 500
Εἰπέμεναί μοι, Τρῶες, ἀγαυοῦ Ἰλιονῆος
Πατρὶ φίλῳ καὶ μητρὶ, γοήμεναι ἐν μεγάροισιν·
Οὐδὲ γὰρ ἡ Προμάχοιο δάμαρ Ἀλεγηνορίδαο,
Ἀνδρὶ φίλῳ ἐλθόντι γανύσσεται, ὁππότε κεν δὴ
Ἐκ Τροίης σὺν νηυσὶ νεώμεθα κῦροι Ἀχαιῶν. 505
Ὣς φάτο· τοὺς δ' ἄρα πάντας ὑπὸ χλωρὸν δέος εἷλε·
Πάππηνεν δὲ ἕκαστος, ὅπῃ φύγοι αἰπὺν ὄλεθρον.
Ἔσπετε νῦν μοι, Μοῦσαι, Ὀλύμπια δώματ' ἔχουσαι,
Ὅστις δὴ πρῶτος βροτόεντ' ἀνδράγρι' Ἀχαιῶν
Ἦρατ', ἐπεί ῥ' ἔκλινε μάχην κλυτὸς Ἐννοσίγαιος. 510
Αἴας ῥα πρῶτος Τελαμώνιος Ὕρτιον ὗτα
Γορτιάδην, Μυσῶν ἡγήτορα καρτεροθύμων·
Φάλκην δ' Ἀντίλοχος κὴ Μέρμερον ἐξενάριζε·
Μηριόνης δὲ Μόρυν τε καὶ Ἱπποτίωνα κατέκτα·
Τεῦκρος δὲ Προθόωνά τ' ἐνήρατο, καὶ Περιφήτην· 515

495. ΠΕ. Ἀπλώσας.
497. ΑΥ. Σπόνδυλον, τράχηλον· ΕΛΑΣ. Ἀλλ' ᾗ, ἀπέτεμεν, ἔκοψεν. ΑΠΗ. Ἀπέτεμεν, ἀπέκοψε.
498. ΠΗ. Περικεφαλαίᾳ. ΚΑ. Κεφαλήν.
499. ΚΩ. Ἐλλείπει τὸ ὡς· ἤ, ὡς κώδειαν ἀναλείνας. Κώδεια δέ ἐστιν ἡ τῆς μήκωνος κεφαλὴ, ὅ ἐστιν εἶδος βοτάνης. Οὕτως ἂν εἴπε, φησὶν, τὴν κεφαλὴν ἀνατείνας.
500. ΠΕ. Σήμαινον, δεῖξον. Ὅτε δὴ, εἰπεῖ. ΕΥ. Μεγαληγορῶν, καυχώμενος.
502. ΓΟΗ. Θρηνῆσαι.
503. ΔΑ. Γυνή.
504. ΓΑ. Ἡδῇ, χαρῇ.
507. ΑΙ. Χαλεπόν.
508. ΕΣ. Λίγιστε.
509. ΑΝΔ. Ἀνδρῶν ἀγρεύματα, σκῦλα.
510. ΗΡΑ. Ἀπεκόγκατο, ἐκτήσατο. ΕΚΛ. Ἐτροκλινῆ ἐποίησεν, ἔτρεψε.
512. ΚΑΡ. Ἰσχυρῶν τῇ ψυχῇ, ἀνδρείων.
515. ΕΝΗ. Ἀνήρησε.

Ἀτρείδης δ' ἄρ' ἔπειθ' Ὑπερήνορα, ποιμένα λαῶν,
Οὖτα κατὰ λαπάρην, διὰ δ' ἔντερα χαλκὸς ἄφυσσε
Δηώσας· ψυχὴ δὲ κατ' ἐταμένην ὠτειλὴν
Ἔσσυτ' ἐπεσγομένη· τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε.
Πλείστους δ' Αἴας εἷλεν, Ὀϊλῆος ταχὺς υἱός· 520
Οὐ γάρ οἵ τις ὁμοῖος ἐπισπέσθαι ποσὶν ἦεν,
Ἀνδρῶν τρεσσάντων, ὅτε τε Ζεὺς ἐν φόβον ὦρσεν.

517. ΔΙΑ. Διέκοψε, διήντλησε.
518. ΔΗ. Διακόψας, τρώσας. ΩΤΕΙ. Τραῦμα.
519. ΕΣ. Ὥρμησεν.
521. ΕΠΙ. Ἐπακολουθήσαι.
522. ΤΡΕΣ. Διὰ δέος φυγόντων. ΦΟ. Φυγήν. ΩΡ. Ἐμβάλη.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΙΛΙΑΔΟΣ Ο.

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

ΖΕΥΣ ἐγερθεὶς, καὶ διασάμενος τοὺς Τρῶας νικωμένους, Ἥρᾳ ἐπιπλήσσει, καὶ Ἶριν μὲν μεταπέμπει πρὸς Ποσειδῶνα, κελεύων ἀφίστασθαι τοῦ πολέμου. Ἀπόλλωνα δὲ, ὅπως ἀναῤῥώσῃ τὸν Ἕκτορα. Ὃς, ἀναλαβὼν αἰγίδα, τοὺς Ἕλληνας εἰς φυγὴν τρέπει· καὶ, μέχρι τῶν νεῶν συνδιωχθέντων, Αἴας ὁ Τελαμώνιος πολλὰς ἀναιρεῖ τῶν πολεμίων, τοὺς ταῖς ναυσὶ πῦρ ἐπιφέροντας.

Παλίωξις.

Ο, Κρονίδης κεχόλωτο Ποσειδάωνι, καὶ Ἥρῃ,

ΑΥΤΑΡ ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν
Φεύγοντες, πολλοὶ δὲ δάμεν Δαναῶν ὑπὸ χερσὶν,
Οἱ μὲν δὴ παρ' ὄχεσφιν ἐρητύοντο μένοντες,
Χλωροὶ ὑπαὶ δείους, πεφοβημένοι· ἔγρετο δὲ Ζεὺς
Ἴδης ἐν κορυφῇσι παρὰ χρυσοθρόνου Ἥρης· 5
Στῆ δ' ἄρ' ἀναΐξας, ἴδε δὲ Τρῶας καὶ Ἀχαιοὺς,
Τοὺς μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας ὄπισθεν
Ἀργείους· μετὰ δέ σφι Ποσειδάωνα ἄνακτα,

1. ΔΙΑ. Τὸ ἑξῆς· διέβησαν τούς τε σκόλοπας καὶ τὴν τάφρον. Ὑπερβατὸν γὰρ, ὁ τρόπος.

3. ΕΡΗ. Κατείχοντο.

4. ΥΠΑΙ. Ὑπὸ δ' δίους· ὅ ἐστι, φόβου. Τὸ ὑπαὶ δείους δύναται καὶ, χλωροὶ ὑπαὶ δείους, καὶ, πεφοβημένοι ὑπὸ δέους. ΠΕ. Εἰς φυγὴν τετραμμένοι. ΕΓΡΕ. Ἐγρηγόρησεν, ἀνέστη.

6. ΑΝ. Ἀορμήσας, ἀναστάς.

7. ΟΡΙ. Ταραττομένους. ΚΛΟ. Ταράσσοντας.

Ἕκτορα δ' ἐν πεδίῳ ἴδε κείμενον· ἀμφὶ δ' ἑταῖροι
Εἵαθ', ὁ δ' ἀργαλέῳ ἔχετ' ἄσθματι, κῆρ ἀπινύσσων, 10
Αἷμ' ἐμέων· ἐπεὶ οὔ μιν ἀφαυρότατος βάλ' Ἀχαιῶν.
Τὸν δὲ ἰδὼν ἐλέησε πατὴρ ἀνδρῶν τε θεῶν τε,
Δεινὰ δ' ὑπόδρα ἰδὼν Ἥρην πρὸς μῦθον ἔειπεν·
'Ἦ μάλα δὴ κακότεχνος, ἀμήχανε, σὸς δόλος, Ἥρη,
'Ἕκτορα δῖον ἔπαυσε μάχης, ἐφόβησε δὲ λαούς. 15
'Οὐ μὰν οἶδ', εἰ αὖτε κακορραφίης ἀλεγεινῆς
'Πρώτη ἐπαύρηαι, καί σε πληγῆσιν ἱμάσσω.
'Ἦ οὐ μέμνῃ, ὅτε τ' ἐκρέμω ὑψόθεν, ἐκ δὲ ποδοῖιν
'Ἄκμονας ἧκα δύω, περὶ χερσὶ δὲ δεσμὸν ἔηλα
'Χρύσεον, ἄρρηκτον; σὺ δ' ἐν αἰθέρι καὶ νεφέλῃσιν 20

10. ΕΧΕΤ. Ὑπὸ ἄσθματος συνείχετο· ὅ ἐστιν, ὑπὸ πολλοῦ πνεύματος, καὶ συνεχοῦς ἀναπνοῆς. ΚΗΡ. Ἐξεγηκὼς τῇ ψυχῇ, καὶ ὁ Ἡρακείμενος συνετῶς, ἀλλ' ἀσυνέτως.

11. ΑΦΑΥ. Οὐκ ἀδεινής.

14. ΜΑ. Ὄντως δὴ ὁ ἐπὶ κακῷ σου τετεχνασμένος δόλος, ὦ Ἥρα, τὸν Ἕκτορα ἔοικε τῆ μάχης πεπαυκέναι. ΑΜΗ. Παιέργε· πρὸς ὃν, καὶ πρὸς ἣν, ἐ δύναταί τις μηχανήσασθαι καὶ ἐπινοῆσαί τι.

16. ΚΑ. Κακοσυνθεσίας, κακοβουλίας.

17. ΕΠΑΥ. Ἐπιψαύσῃ, ἀπολαύσῃς τῆς κακοβυλίας. ΙΜΑ. Μαστίξω.

18. ΜΕΜ. Τὰς τῆ Ἥρας δισμὰς νοητέον φυσικὴν τὸ ἀέρος πρὸς τὸν αἰθέρα συμπλοκήν. Διὰ τοῦτο ἐν φησὶ, χρύσιον, ἄρρηκτον· ἵν' ᾖ, δυσδιαχείριστον· ἐπεὶ καὶ τὸ πῦρ χρυσαυγὲς καὶ δυσδιάλυτον. Περὶ τούτου εἴρηται ἱκανῶς. Ἀκριβέστερον δὲ νῦν. Διὰ γὰρ τούτων ὁ Ποιητὴς τὴν κοσμικὴν αἰνίττεται φύσιν. Δία μὲν καὶ Ζῆνα τὸν ἀνωτάτω ὑποτιθέμενος διάπυρον ἀέρα, Ἥραν δὲ τὸν δεύτερον, καὶ ταύτην φησὶν ὑπὸ Ὠκεανοῦ τετράφθαι, ἐπειδὴ ἐκ τῶν ὑγρῶν ἀναθυμιάσεως γίγνεται ἀήρ. Ἄκμονας δὲ γῆν καὶ θάλασσαν λέγει. Χρυσοῦν δ' δισμὸν, τὸ αἰθέριον πῦρ, ὅτι ἐν τῷ ἀνωτάτῳ μέρει συνῆπται αὐτῷ ὁ ἀήρ. Καὶ ῥιπτόμενον τὸν Ἥφαιστον εἰς θάλασσαν, παρ' ὅσον μεταβάλλει εἰς ἄλλας τὰ στοιχεῖα· πῦρ μὲν εἰς ἀέρα, ἀὴρ δὲ εἰς ὕδωρ. Χαλκεύοντα δὲ ἐν Ὠκεανοῦ, ὅτι τὰ γεγενὰ τῆ δι' ὕδατος καὶ πυρὸς ἐργασίας τυγχάνει. Καὶ Ἡσίοδος οὐρανὸν μὲν λέγει τὴν ἐκπύρωσιν. Κρόνον δὲ τὸν ἄνω κρυπτὸν ἐπιφερόμενον ὄμβρον. Ῥέαν δὲ, τὴν ἐπιῤῥεομένην ὕδασιν. Ἑκτορὴν δὲ οὐρανοῦ, τὴν τοῦ πυρώδους ἐξ ὑγρῶν σβέσιν. Λίθον δὲ καταπιόμενον ὑπὸ Κρόνου, ἐπειδὴ τὴν μεταβολὴν τῶν ὑγρῶν εἰς γεῤῥότητα πάγυνται. Κρυπτεῖσθαι δὲ τὸν Δία, διὰ τὸ τοῦ ζῆν ἐπικρατεῖν τῷ χειμῶνι τὰς καρπὰς, ἀφανίζεσθαι πλεοναζόντων τῶν ὑγρῶν. Καὶ ἐν τῷ, Τρεῖς δὲ πάντα δέδασται —φυσικὴ γίνεται διάταξις γεγενημένη. Ὁ μὲν γὰρ τὸ ζῆν παρεχόμενος, Ζεὺς ὠνόμασται· ὁ δὲ τὴν ὑγρὰν οὐσίαν, ἀπὸ τῆς πόσεως Ποσειδῶν. Ἅιδης δὲ ὁ θάνατος, παρὰ τὸ σκοτεινὸν καὶ ἀηδὲς τῆ τῶν ἀνθρώπων ἀπωλείας. ΕΚΡΕ. Ἐκρέμασο. ΥΨΟ. Ἐκ τοῦ αἰθέρος, ἀπὸ ὕψους.

19. ΑΚ. Βάρη σιδηρᾶ καθήλκοντα. ΗΚΑ. Ἀπεκρέμασα. ΙΗ. Περιέβαλον.

20. ΑΡ. Στιγεῖν.

Ἐκρέμω, ἠλάσεον δὲ θεοὶ κατὰ μακρὸν Ὄλυμπον·
Λῦσαι δ' οὐκ ἐδύναντο παρασταδόν· ὃν δὲ λάβοιμι,
Ῥίπασκον τεταγὼν ἀπὸ βηλοῦ, ὄφρ' ἂν ἵκηται
Γῆν ὀλιγηπελέων· ἐμὲ δ' οὐδ' ὣς θυμὸς ἀνίει
Ἀζηχὴς ὀδύνη Ἡρακλῆος θείοιο, 25
Τὸν σὺ ξὺν Βορέῃ ἀνέμῳ πεπιθοῦσα θυέλλας
Πέμψας ἐπ' ἀτρύγετον πόντον, κακὰ μητιόωσα,
Καί μιν ἔπειτα Κόωνδ' εὐναιομένην ἀπένεικας.
Τὸν μὲν ἐγὼν ἔνθεν ῥυσάμην, καὶ ἀνήγαγον αὖτις
Ἄργος ἐς ἱππόβοτον, καὶ πολλά περ ἀθλήσαντα. 30
Τῶν σ' αὖτις μνήσω, ἵν' ἀπολλήξῃς ἀπατάων·
Ὄφρ' εἰδῇς, ἤν τοι χραίσμῃ φιλότης τε καὶ εὐνή,
Ἦν ἐμίγης ἐλθοῦσα θεῶν ἄπο, καί μ' ἀπάτησας.
Ὣς φάτο· ῥίγησεν δὲ βοῶπις πότνια Ἥρη,
Καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα· 35
Ἴσω νῦν τόδε Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθεν,
Καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅστε μέγιστος
Ὅρκος, δεινότατός τε τέλει μακάρεσσι θεοῖσι·
Σή θ' ἱερὴ κεφαλή, καὶ νωΐτερον λέχος αὐτῶν
Κυρίδιον, τὸ μὲν οὐκ ἂν ἐγώ ποτε μάψ ὀμόσαιμι· 40

21. ΗΛΑ. Ἐδεισκάθουν, συνήλγουν.

22. ΠΑ. Ὅν ᾗ ἂν λάβοιμί σοι παρεστῶτα· ἀντὶ τοῦ, ὃν δὲ ἔλαβον παρεστάμενόν σοι. Δῆλον δὲ, ὅτι λέγει τὸ Ἡφαιστον.

23. ΡΙΠ. Ἐρρίπτουν. Παραγωγὴ, ὁ τρόπος. ΒΗ. Βαθμοῦ. ΟΦΡ. Ἕως ἄν.

24. ΟΛΙ. Ὀλιγοδρανῶν, ὀλίγον ἰσχύων, καὶ ὀλιγοψυχῶν. ΑΝΙ. Εἶα, καταλίμπανε.

25. ΑΖΗ. Ἀδιάλειπτος· ἢ κακὸν ἦχον ἀποτελοῦσα. ΟΔ. γρ. θυμὸν ἀνίει Ἀζηχὴς ὀδύνη, ἄνευ τοῦ ι.

26. ΠΕ. Πείσασα. ΘΥ. Συμβουλεύσ

ἀνέμων.

28. ΑΠΕ. Ἀπαχθῆναι ἐποίησας.

30. ΑΘ. Κακοπαθήσαντα.

31. ΑΥ. Ἐκ δευτέρου, πάλιν. ΑΠΟΛ. Παύσῃ.

32. ΗΝ. Ἐάν σοι.

36. ΙΣ. Γιγνωσκέτω.

37. ΚΑ. Καταλειβόμενον, καθαρρέον. ΣΤΥ. Ἐπεὶ ἡ Στὺξ, κατὰ τὸν Ἡσίοδον, ἐστὶν ἱερὰ πηγὴ, θυγάτηρ Ὠκιανοῦ, ἣ, ὥς τινές φασιν, ὅτι ὁμώνυμος ταύτῃ ἐστὶν ἡ πηγὴ ἡ ἐν Ἅιδου, ὅρκον αὐτὴν φρικτὸν οἱ θεοὶ ποιοῦνται βουλήσει Διός.

39. ΝΩ. Ἡμέτερον.

40. ΜΑΥ. Ψευδῶς, ματαίως.

Μὴ δὲ ἐμὴν ἰότητα Ποσειδάων ἐνοσίχθων
Ημαίνει Τρῶάς τε καὶ Ἕκτορα, τοῖσι δ' ἀρήγει·
Ἀλλά κε αὐτὸν θυμὸς ἐποτρύνει καὶ ἀνώγει·
Τειρομένους δ' ἐπὶ νηυσὶν ἰδὼν ἐλέησεν Ἀχαιούς.
Αὐτάρ τοι καὶκείνῳ ἐγὼ παραμυθησαίμην 45
Τῇ ἴμεν, ἥ κεν δὴ σὺ, Κελαινεφὲς, ἡγεμονεύῃς.
Ὣς φάτο· μείδησεν δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε,
Καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·
Εἰ μὲν δὴ σύ γ' ἔπειτα, βοῶπις πότνια Ἥρη,
Ἴσον ἐμοὶ φρονέουσα μετ' ἀθανάτοισι καθίζοις, 50
Τῷ κε Ποσειδάων γε, καὶ εἰ μάλα βούλεται ἄλλῃ,
Αἶψα μετατρέψειε νόον, μετὰ σὸν καὶ ἐμὸν κῆρ·
Ἀλλ' εἰ δή ῥ' ἐτέον γε καὶ ἀτρεκέως ἀγορεύεις,
Ἔρχεο νῦν μετὰ φῦλα θεῶν, καὶ δεῦρο κάλεσσον
Ἰρίν τ' ἐλθέμεναι, καὶ Ἀπόλλωνα κλυτότοξον, 55
Ὄφρ' ἡ μὲν μετὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων
Ἔλθῃ, καὶ εἴπῃσι Ποσειδάωνι ἄνακτι,
Παυσάμενον πολέμοιο, τὰ ἀ πρὸς δώματ' ἰκέσθαι·
Ἕκτορα δ' ὀτρύνῃσι μάχην ἐς, Φοῖβος Ἀπόλλων,
Αὖτις δ' ἐμπνεύσῃσι μένος, λελάθῃ δ' ὀδυνάων, 60
Αἳ νῦν μιν τείρουσι κατὰ φρένας· αὐτὰρ Ἀχαιοὺς
Αὖτις ἀποστρέψῃσιν, ἀνάλκιδα φῦζαν ἐνόρσας·
Φεύγοντες δ' ἐν νηυσὶ πολυκλήϊσι πέσωσι

41. ΜΗ. Οὐ δὲ ἐμήν. ΙΟ. Βούλησιν.
42. ΠΗ. Βλάπτει, κακοῖ.
45. ΠΑ. Συμβουλεύσαιμι, εἴποιμι.
46. ΤΗ. Ταύτην ἴρχεσθαι, καὶ γνώμην ὁμοίαν σοι ἔχειν.
49. ΕΙ. Ἐὰν ὅπου δή.
50. ΙΣ. Ὅμοια καὶ τὰ αὐτὰ ἐμοὶ φρονοῦσα.
51. ΑΔ. Ἄλλως, ἢ ἀλλαχῇ.
52. ΜΕΤ. Μεταβάλοι. ΜΕ. Ἐπὶ τὸ σοὶ καὶ ἐμοὶ ἀρέσκοι.
53. ΑΔΛ. Ἀλλ' ἐὰν δὴ ἀληθῆ λέγῃς. Δὶς δὲ τὸ αὐτό φησιν, ἐπιτάσεως χάριν.
54. ΕΡ. Ἔρχου. ΔΕΥ. Εἰς τοῦτον τὸν τόπον.
58. ΤΑ. Τὰ ἑαυτοῦ ἴδια.
60. ΕΜ. Ἐμβάλῃ. ΔΕ. Εἰς λήθην ἀγάγοι, λήθην ποιήσειε.
62. ΦΥ. Δειλίαν, φυγήν.

Πηλείδεω Ἀχιλῆος· ὁ δ' ἀνεήσει ὃν ἑταῖρον
Πάτροκλον, τὸν δὲ κτενεῖ ἐγχεῖ φαίδιμος Ἕκτωρ 65
Ἰλίου προπάροιθε, πολεῖς ὀλέσαντ' ἀίζηους
Τοὺς ἄλλους, μετὰ δή, υἱὸν ἐμὸν Σαρπηδόνα δῖον·
Τοῦ δὲ χολωσάμενος κτενεῖ Ἕκτορα δῖος Ἀχιλλεύς.
Ἐκ τοῦδ' ἄν τοι ἔπεστα παλίωξιν παρὰ νηῶν
Αἰὲν ἐγὼ τεύχοιμι διαμπερὲς, εἰσόκ' Ἀχαιοὶ 70
Ἴλιον αἰπὺ ἕλοιεν, Ἀθηναίης διὰ βουλάς.
Τὸ πρὶν δ' οὔτ' ἄρ' ἐγὼ παύσω χόλον, οὔτε τιν' ἄλλων
Ἀθανάτων Δαναοῖσιν ἀμυνέμεν ἐνθάδ' ἐάσω,
Πρίν γε τὸ Πηλείδαο τελευτηθῆναι ἐέλδωρ·
Ὡς οἱ ὑπέσην πρῶτον, ἐμῷ δ' ἐπένευσα κάρητι 75
Ἤματι τῷ, ὅτ' ἐμεῖο θεὰ Θέτις ἥψατο γένυων,
Λισσομένη τιμῆσαι Ἀχιλλῆα πτολίπορθον.
Ὣς ἔφατ'· οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη·
Βῆ δὲ κατ' Ἰδαίων ὀρέων ἐς μακρὸν Ὄλυμπον.
Ὡς δ' ὅτ' ἀναΐξῃ νόος ἀνέρος, ὅς τ' ἐπὶ πολλὴν 80
Γαῖαν ἐληλουθὼς, φρεσὶ πευκαλίμῃσι νοήσῃ,
Ἔνθ' εἴην, ἢ ἔνθα, μενοινήσειέ τε πολλά·
Ὡς κραιπνῶς μεμαυῖα διέπτατο πότνια Ἥρη·
Ἵκετο δ' αἰπὺν Ὄλυμπον, ὁμηγερέεσσι δ' ἐπῆλθεν
Ἀθανάτοισι θεοῖσι Διὸς δόμῳ· οἱ δὲ ἰδόντες, 85

68. ΤΟΥ. Ὑπὲρ τούτου ἀργιθείς.

69. ΕΚ. Ἀπὸ τούτου τοῦ χρόνου. ΠΑ. Τὸν ἐξ ὑποτροφῆς τῶν φευγόντων δίωξιν· ὅταν οἱ πρότερον φεύγοντες, ὕστερον πάλιν αὐτοὶ διώκωσι θαρρήσαντες.

71. ΙΛΙ. Σημείωσαι τοῦτο, ὅτι οὐδετέρους τὸ Ἴλιον ἐνθάδε φασὶ μόνον. Διὸ καὶ ἀθετεῖται ὁ στίχος οὗτος.

80. ΩΣ. Καὶ τὰ ἑξῆς· ὥσπερ δὲ οὗς ἀνδρὸς πολλὴν ἐπεληλυθότος γῆν, καὶ πολλὰ ἱστορηκότος, ἐν ὑπομνήσει ποιεῖται τὰ ἱστορήματα, καὶ ταχέως ἄλλοτε ἐπ' ἄλλο μεταβαίνει· οὕτω καὶ ἡ Ἥρα τότε ἐκ τῆς Ἴδης εὐθέως παρεγένετο εἰς τὸ Ὄλυμπον.

81. ΠΕΥ. Συνεταῖς.

82. ΕΝ. Ἐνταῦθα, ἢ ἐκεῖ. ΕΙ. Τὸ εἴην τοῖς Ἀριστάρχείοις σημαίνει τὸ, ὑπῆρχον· ὡς αὐτὸ τοῦ ἀνδρὸς ἐπιλογιζομένου, εἴην, πορευοίμην, πορευθείην. Ὁ δὲ λόγος· εἰς ἐκείνην τὴν χώραν πορευθείην, ἢ εἰς ταύτην πορευοίμην. ΜΕ. Ἐνθυμηθῆν, διανοηθῆν.

83. ΔΙΕ. Διέπτη.

Πάντες ἀνήϊξαν, καὶ δεικανόωντο δέπασσιν.
Ἡ δ' ἄλλυς μὲν ἔασε, Θέμιςι δὲ καλλιπαρήῳ,
Δέκτο δέπας, πρώτη γὰρ ἐναντίη ἦλθε θέουσα,
Καί μιν φωνήσας' ἔπεα πτερόεντα προσηύδα·
"Ἥρη, τίπτε βέβηκας, ἀτυζομένη δὲ ἔοικας; 90
"Ἦ μάλα δή σε φόβησε Κρόνυ παῖς, ὅς τοι ἀκοίτης;"
Τὴν δ' ἠμείβετ' ἔπεσα θεὰ λευκώλενος Ἥρη·
"Μή με, θεὰ Θέμι, ταῦτα διείρεο· οἶδθα καὶ αὐτὴ,
"Οἷος ἐκείνυ θυμὸς ὑπερφίαλος καὶ ἀπηνής·
"Ἀλλὰ σύ γ' ἄρχε θεοῖσι δόμοις ἔνι δαιτὸς ἐίσης· 95
"Ταῦτα δὲ καὶ μετὰ πᾶσιν ἀκέσεαι ἀθανάτοισιν,
"Οἷα Ζεὺς κακὰ ἔργα πιφαύσκεται· ἠδέ τί φημι
"Πᾶσιν ὁμῶς θυμὸν κεχαρησέμεν, ἅτε βροτοῖσιν,
"Οὕτε θεοῖς, εἴπερ τις ἔτι νῦν δαίνυται εὔφρων."
Ἡ μὲν ἄρ' ὣς εἰποῦσα καθέζετο πότνια Ἥρη· 100
Ὤχθησαν δ' ἀνὰ δῶμα Διὸς θεοί· ἡ δ' ἐγέλασσε
Χείλεσιν, ἠδὲ μέτωπον ἐπ' ὀφρύσι κυανέῃσιν
Ἰάνθη· πᾶσιν δὲ νεμεσσηθεῖσα μετηύδα·
"Νήπιοι, οἳ Ζηνὶ μενεαίνομεν ἀφρονέοντες,
"Ἦ ἔτι μιν μέμαμεν καταπαυσέμεν, ἄσσον ἰόντες, 105
"Ἦ ἔπει, ἠὲ βίῃ· ὁ δ' ἀφήμενος ἠκ ἀλεγίζει,

86. ΔΕΙ. Ἐδεξιωντο.
87. ΘΕ. Ἀντὶ τοῦ, παρὰ Θέμιδος. Θέμις δέ ἐςι μία τῶν Τιτάνων.
90. ΑΤΥ. Τεταραγμένη, ἠπορημένη.
91. ΜΑ. Ἀκριβῶς δή σε ἐπλόησεν. ΑΚΟΙ. Ἀνήρ.
93. ΔΙ. Διερώτα.
94. ΥΠΕΡ. Ὑπερήφανος, ἄδικος. ΑΠΗ. Χαλεπὸς, σκληρός.
97. ΠΙ. Ἐμφανίζει, λέγει, μηχανᾶται.
98. ΚΕ. Χαρῆναι.
99. ΕΥ. Εὐφραινόμενος, ἐν εὐφροσύνῃ καὶ θυμηδίᾳ ὑπάρχων.
101. Η. Οὕτω ὁ γέλως Σαρδάνιος καλεῖται, ὅτ' ἄν τις μὴ ἐκ διαθέσεως γελᾷ.
103. ΙΑΝ. Διεχύθη, εὐφράνθη. ΝΕ. Μεμψαμένη.
104. ΜΕ. Προθυμούμεθα, ὀργιζόμεθα. ΑΦΡΟ. Μωραίνοντες.
105. ΜΕ. Προθυμούμεθα.
106. ΑΦΗ. Ἀπολίγων καὶ πόρρω καθεζόμενος.

Οὐδ' ὄθεταϊ· φησὶν γὰρ ἐν ἀθανάτοισι θεοῖσι
Κάρτεί τε σθένεί τε διακριδὸν εἶναϊ ἄριστος.
Τῷ ἔχεθ', ὅ, τι κεν ὔμμι κακὸν πέμπῃσιν ἑκάστῳ·
Ἤδη γὰρ νῦν ἔλπομ' Ἄρηί γε πῆμα τετύχθαϊ· 110
Υἱὸς γάρ οἱ ὄλωλε μάχῃ ἔνι, φίλτατος ἀνδρῶν,
Ἀσκάλαφος, τόν φησιν ὃν ἔμμεναϊ ὄβριμος Ἄρης.'
Ὣς ἔφατ'· αὐτὰρ Ἄρης θαλερῷ πεπλήγετο μηρὼ
Χερσὶ καταπρηνέσσ', ὀλοφυρόμενος δὲ προσηύδα·
Μὴ νῦν μοι νεμεσήσετ', Ὀλύμπια δώματ' ἔχοντες, 115
Τίσασθαϊ φόνον υἷος, ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν,
Εἴπερ μοι καὶ μοῖρα, Διὸς πληγέντι κεραυνῷ,
Κεῖσθαϊ ὁμῷ νεκύεσσι μεθ' αἵματι καὶ κονίῃσιν.'
Ὣς φάτο· καί ῥ' ἵππους κέλετο Δεῖμόν τε Φόβον τε
Ζευγνύμεν· αὐτὸς δ' ἔντε' ἐδύσετο παμφανόωντα· 120
Ἔνθα κέ τις μείζων τε καὶ ἀργαλεώτερος ἄλλος
Πὰρ Διὸς ἀθανάτοισι χόλος καὶ μῆνις ἐτύχθη,
Εἰ μὴ Ἀθήνη, πᾶσι περιδδείσασα θεοῖσιν,
Ὤρτο δι' ἐκ προθύρου, λίπε δὲ θρόνον, ἔνθα θάασσε.
Τῷ δ' ἀπὸ μὲν κεφαλῆς κόρυθ' εἵλετο, καὶ σάκος ὤμων, 125
Ἔγχος δ' ἔστησε στιβαρῆς ἐκ χειρὸς ἑλοῦσα
Χάλκεον· ἡ δ' ἐπέεσσι καθάπτετο θοῦρον Ἄρηα·
Μαινόμενε, φρένας ἠλὲ, διέφθορας· ἦ νύ τοι αὖτως

107. ΟΘΕ. Οὐδ' ἐπιτρίφεται.
108. ΚΑΡ. Ἰσχύει, κράτει. ΔΙΑ. Διακεκριμένως, κεχωρισμένως.
109. ΤΩ. Διὸ ἀνέχεσθε, καὶ ὑπομένετε.
110. ΠΗ. Βλάβην, πένθος. ΤΕ. Γεγονέναι.
113. ΘΑ. Θάλλοιας, ἰσχυρός. ΠΕ. Ἔκλυξε.
114. ΚΑ. Κατεγραμμέναις, κατωφερίσιν. ΟΛΟ. Νῦν, ὀδυρόμενος.
115. ΝΕ. Μεμφθήσεσθε.
119. ΔΕΙ. καὶ ΦΟ. Νῦν, ὀνόματα, δαιμόνων.
123. ΠΕ. Περὶ πάντων εὐλαβηθεῖσα θεῶν.
124. ΘΑ. Ἐκαθίζετο.
127. ΚΑ. Νῦν, ἐπίπληξις.
128. ΗΛ. Ἀνόητε καὶ μάταιε τὰς φρένας. ΔΙΕ. Διέφθαρσαι. ΑΥ. Ἡ ματαίως πάρεστί σοι τὰ ὦτα σρὸς τὰ ἀκούειν.

Οὔατ' ἀκουέμεν ἐστὶ, νόος δ' ἀπόλωλε καὶ αἰδώς;
Οὐκ ἀΐεις, ἅτε φησὶ θεὰ λευκώλενος Ἥρη; 130
Ἦ δὴ νῦν παρ Ζηνὸς Ὀλυμπίου εἰλήλουθεν·
Ἢ ἐθέλεις αὐτὸς μὲν ἀναπλήσας κακὰ πολλὰ,
Ἅψ ἴμεν Οὔλυμπόνδε, καὶ ἀχνύμενός περ, ἀνάγκῃ,
Αὐτὰρ τοῖς ἄλλοισι κακὸν μέγα πᾶσι φυτεῦσαι;
Αὐτίκα γὰρ Τρῶας μὲν ὑπερθύμους καὶ Ἀχαιοὺς 135
Λέψει, ὁ δ' ἡμέας εἶσι κυδοιμήσων ἐς Ὄλυμπον·
Μάψει δ' ἐξείης, ὅς τ' αἴτιος, ὅστε καὶ ἀκί.
Τῷ σ' αὖ νῦν κέλομαι μεθέμεν χόλον υἷος ἑῆος·
Ἤδη γάρ τις, τοῦδε βίην καὶ χεῖρας ἀμείνων,
Ἦ πέφατ', ἢ καὶ ἔπειτα πεφήσεται· ἀργαλέον δὲ 140
Πάντων ἀνθρώπων ῥυσθαι γενεήν τε τόκον τε.
Ὣς εἰποῦσ', ἵδρυσε θρόνῳ ἔνι θοῦρον Ἄρηα.
Ἥρη δ' Ἀπόλλωνα καλέσσατο δώματος ἐκτὸς,
Ἶριν θ', ἥ τε θεῇσι μετάγγελος ἀθανάτοισι,
Καί σφεας φωνήσασ' ἔπεα πτεροέντα προσηύδα· 145
Ζεὺς σφῷ εἰς Ἴδην κέλετ' ἐλθέμεν ὄφρα τάχιστα·
Αὐτὰρ ἐπὴν ἔλθητε, Διός τ' εἰς ὤπα ἴδηαθε,
Ἔρδειν ὅ, τι κε κεῖνος ἐποτρύνῃ κ' ἀνώγῃ.
Ἦ μὲν ἄρ' ὣς εἰποῦσα πάλιν κίε πότνια Ἥρη·
Ἕζετο δ' εἰνὶ θρόνῳ· τὼ δ' αἴξαντε πετέσθην, 150

129. ΝΟ. Νῦν, τὸ τῆς ψυχῆς κυριώτατον, ᾧ νοοῦμεν. ΑΙ. Νῦν, τὸ αἰδεῖσθαι.

130. ΑΙ. Οὐκ ἀκούεις. ΑΤΕ. Ἄτινα δή.

132. ΑΝΑ. Ἀναπληρώσας.

136. ΕΙ. Ἐλεύσεται. ΚΥ. Συνταραίξων.

137. ΜΑΡΨ. Συλλήψεται ἐπὶ τιμωρίᾳ.

140. ΠΕ. Φονευθήσεται.

141. ΓΕ. Τοὺς γονεῖς καὶ τὸ γένος. Διασσολογεῖ δ' ἀμφοτέρων τὴν γένεσιν. Ὁ δὲ νοῦς· οὐ δυνατόν ἐστι θεῷ, ῥύσασθαι τὴν ἐξ αὐτοῦ ἀνθρωπίνην γένεσιν. Τὸ γὰρ ἀργαλέον νῦν ἀντὶ τοῦ ἀδύνατον κεῖται, τοῦ θανάτου ῥύεσθαι.

146. ΣΦΩ. Ὑμᾶς. ΟΤ. Σφῶϊν ταχέως.

147. ΩΠΑ. Εἰς ὄψιν ἔλθητε.

150. ΠΕ. Ὑπερβολικῶς εἴρηται, ἢ συλληπτικῶς· οὐ γὰρ Ἀπόλλων πληρωτής.

Ἴδην δ' ἵκανον πολυπίδακα, μητέρα θηρῶν·
Εὗρον δ' εὐρύοπα Κρονίδην ἀνὰ Γαργάρῳ ἄκρῳ
Ἥμενον, ἀμφὶ δέ μιν θυόεν νέφος ἐστεφάνωτο·
Τὼ δὲ πάροιθ' ἐλθόντε Διὸς νεφεληγερέταο
Στήτην· ἠδὲ σφῶϊν ἰδὼν ἐχολώσατο θυμῷ,
Ὅτι οἱ ὦκ' ἐπέεσσι φίλης ἀλόχοιο πιθέσθην·
Ἶριν δὲ πρότερην ἔπεα πτερόεντα προσηύδα·
' Βάσκ' ἴθι, Ἶρι ταχεῖα, Ποσειδάωνι ἄνακτι
' Πάντα τάδ' ἀγγεῖλαι, μηδὲ ψευδάγγελος εἶναι·
' Παυσάμενόν μιν ἄνωχθι μάχης ἠδὲ πτολέμοιο
' Ἔρχεσθαι μετὰ φῦλα θεῶν, ἢ εἰς ἅλα δῖαν.
' Εἰ δέ μοι ὐκ ἐπέεσσ' ἐπιπείσεται, ἀλλ' ἀλογήσει,
' Φραζέσθω δὴ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν,
' Μή μ' ἠδὲ, κρατερός περ ἐὼν, ἐπιόντα ταλάσσῃ
' Μεῖναι· ἐπεὶ ἔο φημὶ βίῃ πολὺ φέρτερος εἶναι,
' Καὶ γενεῇ πρότερος· τῇ δ' ὐκ ὄθεται φίλον ἦτορ
' Ἴσον ἐμοὶ φάσθαι, τόν τε συγέεσι καὶ ἄλλοι.'
Ὣς ἔφατ'· ἠδ' ἀπίθησε ποδήνεμος ὠκέα Ἶρις·
Βῆ δὲ κατ' Ἰδαίων ὀρέων εἰς Ἴλιον ἱρήν.
Ὡς δ' ὅταν ἐκ νεφέων πίπτῃ νιφὰς, ἠὲ χάλαζα
Ψυχρὴ ὑπαὶ ῥιπῆς αἰθρηγενέος Βορέαο·
Ὣς κραιπνῶς μεμαυῖα διέπτατο ὠκέα Ἶρις·

151. ΠΟ. Πολύϋδρον.
152. ΓΑΡ. Γάργαρον, τὸ ἀκρωτήριον τῆς Ἴδης.
153. ΘΥΟ. Τὸ εὐῶδες καὶ τεθυμιαμένον, ἀπό τε τῶν ἀναδιδόντων ἐκ τῆς γῆς ἀθίων, καὶ ἀπὸ τοῦ μύρου τῆς Ἥρας. ΕΣΤΕ. Περιέκειτο.
155. ΣΦΩ. Αὐτοῖς.
159. ΑΓ. Ἀντὶ τοῦ, ἀνάγγειλον. ΕΙ. Ἀνὶ ἔ, ἔσσω. Ἀπαρέμφατον ἀνὶ προστακτικοῦ.
162. ΑΛΟ. Λόγον οὐ ποιήσεται, καταφρονήσει.
163. ΦΡΑ. Λογιζέσθω, σκοπείτω.
164. ΤΑ. Καρτερήσῃ, ὑπομείνῃ.
165. ΕΟ. Αὐτῷ.
167. ΦΑΣ. Εἰπεῖν.
170. ΠΤΗ. Ταχέως ἐπιχθῇ, πτῇ, κατέρχεται, κατασπᾶται, καθίσταται. ΝΙ. Ψυχὰς, ἢ, χιών.
171. ΤΠΑΙ. Ὑπὸ τῆ σφοδρᾶς φορᾶς. ΑΙ. Αἰθρηγενέτου.

Ἀγχοῦ δ' ἱσαμένη προσέφη κλυτὸν Ἐννοσίγαιον·
« Ἀγγελίην τινά τοι, Γαιήοχε κυανοχαῖτα,
« Ἦλθον δεῦρο φέρουσα παραὶ Διὸς αἰγιόχοιο. 175
« Παυσάμενόν σ' ἐκέλευσε μάχης ἠδὲ πτολέμοιο
« Ἔρχεσθαι μετὰ φῦλα θεῶν, ἢ εἰς ἅλα δῖαν.
« Εἰ δέ οἱ οὐκ ἐπέεσσ' ἐπιπείσεαι, ἀλλ' ἀλογήσεις,
« Ἠπείλει καὶ κεῖνος ἐναντίβιον πολεμίζων
« Ἐνθάδ' ἐλεύσεσθαι· σὲ δ' ὑπεξαλέασθαι ἀνώγει 180
« Χεῖρας, ἐπεὶ σέο φησὶ βίῃ πολὺ φέρτερος εἶναι,
« Καὶ γενεῇ πρότερος· σὸν δ' οὐκ ὄθεται φίλον ἦτορ
« Ἴσόν οἱ φάσθαι, τόν τε συγέουσι καὶ ἄλλοι.»
Τὴν δὲ μέγ' ὀχθήσας προσέφη κλυτὸς Ἐννοσίγαιος·
« Ὦ πόποι, ἦ ῥ', ἀγαθός περ ἐών, ὑπέροπλον ἔειπεν, 185
« Εἴ μ' ὁμότιμον ἐόντα βίῃ ἀέκοντα καθέξει.
« Τρεῖς γάρ τ' ἐκ Κρόνου εἰμὲν ἀδελφεοὶ, οὓς τέκε Ῥέη,
« Ζεὺς καὶ ἐγὼ, τρίτατος δ' Ἀΐδης ἐνέροισιν ἀνάσσων·
« Τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἔμμορε τιμῆς·
« Ἤτοι ἐγὼν ἔλαχον πολιὴν ἅλα ναιέμεν αἰεὶ, 190
« Παλλομένων, Ἀΐδης δ' ἔλαχε ζόφον ἠερόεντα·
« Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσι·
« Γαῖα δ' ἔτι ξυνὴ πάντων, καὶ μακρὸς Ὄλυμπος·
« Τῷ ῥα καὶ οὔτι Διὸς βέομαι φρεσίν· ἀλλὰ ἕκηλος,

180. ΥΠΕΞ. Ὑπεκκλῖναι, φυγεῖν.
185. ΥΠΕΡ. Ὑπερήφανον.
188. ΕΝΕ. Τοῖς ὑπὸ γῆν, τοῖς νεκρῶς.
189. ΤΡΙ. Τριμερῶς, τριχῇ.
190. ΕΛΑ. Ἔτυχον. ΠΟ. Λευκὴν διὰ τὸν ἀφρόν· ἢ ἁπλῶς, λευκήν.
191. ΠΑΛ. Κλήρῳ μεριζομένων. Πάλος γὰρ ὁ κλῆρος. ΕΛΑ. Ἔτυχε. ΖΟ. Σκότος. Λέγει δὲ τὸν κατωτάτω τόπον. ΗΕ. Τὸν ἀμιχλώδη καὶ σκοτεινόν.
193. ΞΥ. Κοινὴ ὅλων τῶν στοιχείων. Ἐν αὐτῇ γὰρ εὑρίσκεται καὶ τὰ λοιπὰ τρία στοιχεῖα. Τὸ γὰρ ὕδωρ αὐτῇ συνεσφαίρωται· καὶ πυρὸς ἀναδύσεις περὶ αὐτὴν γίγνονται· καὶ ὁ ἀὴρ ᾗ περὶ αὐτόν ἐστι. Καλῶς ᾗ καὶ τὸν Ὄλυμπον κοινόν φησιν, ἐπεὶ καὶ οὐρανὸς τὴν γένεσιν ἐκ τῶν τεσσάρων κέκτηται στοιχείων.
194. ΒΕ. Διὸ καὶ οὐδαμῶς ᾗ Διὸς ἐπιστροφὴν ποιοῦμαι· οὐκ ἂν κατὰ τὴν αὐτοῦ γνώμην βιώσομαι, ἀλλὰ κατὰ τὴν ἐμαυτοῦ. Δημήτριος δὲ, ἀποθέσομαι, ἢ ζῶ, φησίν. Οὕτως ἔχει καὶ τό· Οὐ γὰρ

Καὶ κρατερός περ ἐὼν, μενέτω τριτάτῃ ἐνὶ μοίρῃ. 195
Χερσὶ δὲ μήτι με πάγχυ, κακὸν ὡς, δειδισσέσθω·
Θυγατέρεσσιν γάρ τε καὶ υἱάσι κέρδιον εἴη
Ἐκπάγλοις ἐπέεσσιν ἐνισσέμεν, ὅς τέκεν αὐτὸς,
Οἳ ἔθεν ὀτρύνοντος ἀκούσονται καὶ ἀνάγκῃ.
Τὸν δ' ἠμείβετ' ἔπειτα ποδήνεμος ὠκέα Ἶρις·
Οὕτω γὰρ δή τοι, Γαιήοχε κυανοχαῖτα,
Τόνδε φέρω Διὶ μῦθον ἀπηνέα τε, κρατερόν τε;
Ἦ τι μεταστρέψεις; στρεπταὶ μέν τε φρένες ἐσθλῶν,
Οἶσθ', ὡς πρεσβυτέροισιν Ἐρινύες αἰὲν ἕπονται.
Τὴν δ' αὖτε προσέειπε Ποσειδάων ἐνοσίχθων·
Ἶρι θεὰ, μάλα τοῦτο ἔπος κατὰ μοῖραν ἔειπες·
Ἐσθλὸν καὶ τὸ τέτυκται, ὅτ' ἄγγελος αἴσιμα εἰδῇ·
Ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει,
Ὁππόταν ἰσόμορον καὶ ὁμῆ πεπρωμένον αἴσῃ
Νεικείειν ἐθέλῃσι χολωτοῖσιν ἐπέεσσιν. 210
Ἀλλ' ἤτοι νῦν μέν κε νεμεσσηθεὶς ὑποείξω·
Ἄλλο δέ τοι ἐρέω, καὶ ἀπειλήσω τόγε θυμῷ·
Αἴ κεν ἄνευ ἐμέθεν καὶ Ἀθηναίης ἀγελείης,
Ἥρης, Ἑρμείεω τε, καὶ Ἡφαίστοιο ἄνακτος,
Ἰλίου αἰπεινῆς πεφιδήσεται, οὐδ' ἐθελήσει 215
Ἐκπέρσαι, δῦναι δὲ μέγα κράτος Ἀργείοισιν,

μοι δηρὸν βίῃ· ὁ προβήσῃ κατὰ τὸ ζῆν πολὺν χρόνον.

196. ΧΕΡ. Ὁ νοῦς· Μηδὲ ὡς χερσὶ κακὸν ὄντα εἰς δίος ἀγίτω· ἢ, ὡς κακὸν ὄντα εἰς τὸν διὰ τῶ χειρῶν ἀγίτω πόλεμον· ἢ, ὡς χερσὶν ὑπερίχων. ΔΕΙ. Ἐκπλησσέτω, ἐκφοβείτω.

198. ΕΝ. Κακολογεῖν, ἐπιπλήσσειν.

202. ΑΠΗ. Σκληρὸν, χαλεπόν.

203. ΜΕ. Μεταθήσεις, μεταβαλεῖς. ΣΤ. Εὐμεθάστρεπτοι, εὔπειστοι εἰς τὸ ἀγαθόν.

204. ΠΡΕΣ. Τοῖς προγενεστέροις. ΕΡΙΝ. Αἱ ἀπὸ τῶ Ἐρινύων ἐκδικίαι.

207. ΑΙ. Καθήκοντα, συμφέροντα.

209. ΙΣΟ. Τῆς ἴσης μερίδος μεθέξοντα, ἰσόμοιρον. ΟΜΗ. Ὁμοίᾳ καὶ τῇ αὐτῇ.

210. ΝΕΙ. Ὀνειδίζειν, ἐπιπλήσσειν. ΧΟ. Ὀργίλοις.

211. ΝΕ. Αἰδεσθείς· ὅ ἐστι, μεμπτὸν ἡγησάμενος. ΥΠΟ. Ὑπείξω, ὑποχωρήσω.

215. ΠΕ. Φείσεται, φεισθείη.

'Ἴϛω τῶθ', ὅτι νῶϊν ἀνήκεϛος χόλος ἔϛαι.'
Ὡς εἰπὼν, λίπε λαὸν Ἀχαιϊκὸν Ἐννοσίγαιος·
Δῦνε δὲ πόντον ἰὼν, πόθεσαν δ' ἥρωες Ἀχαιοί.
Καὶ τότ' Ἀπόλλωνα προσέφη νεφεληγερέτα Ζεύς·
'Ἔρχεο νῦν, φίλε Φοῖβε, μεθ' Ἕκτορα χαλκοκορυϛήν·
'Ἤδη μὲν γάρ τοι γαιήοχος Ἐννοσίγαιος
'Οἴχεται εἰς ἅλα δῖαν, ἀλευάμενος χόλον αἰπὺν
'Ἡμέτερον· μάλα γάρ κε μάχης ἐπύθοντο καὶ ἄλλοι,
'Οἵπερ νέρτεροί εἰσι θεοὶ, Κρόνον ἀμφὶς ἐόντες.
'Ἀλλὰ τόδ' ἡμὲν ἐμοὶ πολὺ κέρδιον, ἠδέ οἱ αὐτῷ
'Ἔπλετο, ὅπῃ πάροιθε νεμεσσηθεὶς ὑπόεικε
'Χείρας ἐμάς· ἐπεὶ οὔ κεν ἀνιδρωτί γ' ἐτελέθη.
'Ἀλλὰ σύ γ' ἐν χείρεσσι λάβ' Αἰγίδα θυσσανόεσσαν,
'Τὴν μάλ' ἐπισσείων, φοβέειν ἥρωας Ἀχαιούς.
'Σοὶ δ' αὐτῷ μελέτω, Ἑκατηβόλε, φαίδιμος Ἕκτωρ·
'Τόφρα γὸ ἔν οἱ ἔγειρε μένος μέγα, ὄφρ' ἂν Ἀχαιοὶ
'Φεύγοντες νῆάς τε καὶ Ἑλλήσποντον ἵκωνται·
'Κεῖθεν δ' αὐτὸς ἐγὼ φράσομαι ἔργον τε ἔπος τε,
'Ὡς κε καὶ αὖτις Ἀχαιοὶ ἀναπνεύσωσι πόνοιο.'
Ὡς ἔφατ'· ὀδ' ἄρα πατρὸς ἀνηκούσησεν Ἀπόλλων·
Βῆ δὲ κατ' Ἰδαίων ὀρέων, ἴρηκι ἐοικὼς
Ὠκείῃ, φασσοφόνῳ, ὅς' ὤκιϛος πετεηνῶν·
Εὗρ' υἱὸν Πριάμοιο δαΐφρονος, Ἕκτορα δῖον,

217. ΝΩ. Ἡμῖν. ΑΝΗ. Ἀνίατος.
219. ΠΟ. Ἐν πόθῳ ἐγίγνοντο, ἐπόθησαν.
221. ΧΑΛ. Χαλκῷ καθωπλισμένον· τυτέϛι, πολεμικόν.
223. ΑΙ. Χαλεπὸν, νῦν.
224. ΜΑ. Πάνυ γὰρ ἀπόπειραν τῆς ἡμετέρας δυνάμεως ἔλαβον καὶ οἱ περὶ Κρόνον. Τιτᾶνες ἐν τῷ Ταρτάρῳ ὄντες.
225. ΝΕ. Ἔνιοι, Ἐνέρτεροι. Οἱ κατώτεροι.
226. ΑΛ. Παρὰ τοῦτο μὲν καὶ μοί.
228. ΑΝΙ. Χωρὶς παποπαθείας.
230. ΕΠΙ. Ἐπαίω κινῶν.
232. ΕΓΕΙ. Παρόρμα. ΟΦΡ. Ἵ ἄν.
236. ΑΝΗ. Παρήκουσεν.
237. ΙΡΗ. Ἴρακι.
238. ΦΑΣ. Τῷ φάσσαι φονεύοντ

Ἤμενον, ὐδὲ ἔτι κεῖτο· νέον δ' ἐσαγείρατο θυμὸν, 240
Ἀμφὶ ἑ γινώσκων ἑτάρους· ἀτὰρ ἄθμα καὶ ἱδρὼς
Παύετ', ἐπεί μιν ἔγειρε Διὸς νόος αἰγιόχοιο.
Ἀγχοῦ δ' ἱσάμενος προσέφη ἑκάεργος Ἀπόλλων·
"Ἕκτορ, υἱὲ Πριάμοιο, τίη δὲ σὺ νόσφιν ἀπ' ἄλλων
Ἧσ' ὀλιγηπελέων; ἦ πού τί σε κῆδος ἱκάνει; 245
Τὸν δ' ὀλιγοδρανέων προσέφη κορυθαίολος Ἕκτωρ·
Τίς δὲ σύ ἐσσι, φέριστε θεῶν, ὅς μ' εἴρεαι ἄντην;
Οὐκ ἀΐεις, ὅ με νηυσὶν ἐπι προύμνησιν Ἀχαιῶν,
Οὓς ἑτάρους ὀλέκοντα, βοὴν ἀγαθὸς βάλεν Αἴας
Χερμαδίῳ πρὸς στῆθος, ἔπαυσε δὲ θέριδος ἀλκῆς; 250
Καὶ δὴ ἔγωγ' ἐφάμην νέκυας καὶ δῶμ' Ἀΐδαο
Ἤματι τῷδ' ὄψεσθαι, ἐπεὶ φίλον ἄϊον ἦτορ.
Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἑκάεργος Ἀπόλλων·
Θάρσει νῦν, τοῖόν τοι ἀοσσητῆρα Κρονίων
Ἐξ Ἴδης προέηκε παρεσταμένην καὶ ἀμύνειν, 255
Φοῖβον Ἀπόλλωνα χρυσάορον· ὅς σε πάρος περ
Ῥύομ', ὁμῶς αὐτόν τε καὶ αἰπεινὸν πολίεθρον.
Ἀλλ' ἄγε νῦν, ἱππεῦσιν ἐπότρυνον πολέεσσι,
Νηυσὶν ἐπι γλαφυρῆσιν ἐλαυνέμεν ὠκέας ἵππους·

240. ΝΕ. Νεωρί. ΕΣΑ. Νῦν, ἠθροίζετο.

241. ΑΜ. Τοὺς περὶ αὐτὸν γιγνώσκων· ὅ ἐστιν, ἐπιστάμενος τῇ ἀρετῇ.

245. ΘΑΙ. Ὀλιγοθυμῶν. ΚΗ. Κακὸν, λύπη.

246. ΘΑΙ. Ὀλίγον ἰσχύων, ἐξηλεγμένος.

247. ΦΕ. Θάρσει, ἀνδρειότατε. ΟΣ. Ὅστις ἐμί.

248. ΑΙ. Οὐκ ἀκούεις.

252. ΑΙΟΝ. Ἀπέκτεινα τὴν ψυχήν· ἢ, ἐπεὶ ἠθόμην ἀλγύνασα ἐν ψύχῃ. Αἴον γὰρ νῦν τὸ ἠθόμην.

254. ΑΟΣ. Βοηθόν.

256. ΦΟΙ. Ἑρμῆς, ὁ Διὸς καὶ Μαίας τῆς Ἀτλαντος, εὗρε λύραν. Καὶ τοὺς Ἀπόλλωνος βόας κλέψας, εὑρέθη ὑπὸ τοῦ θεοῦ διὰ τῆς μαντικῆς. Ἀπειλημένου δὲ τοῦ Ἀπόλλωνος, ἔκλεψεν αὐτοῦ καὶ τὰ ἐπὶ τῷ ἅμων τόξα· μειδιάσας δὲ ὁ θεὸς, ἔδωκεν αὐτῷ τὴν μαντικὴν ῥάβδον· ἀφ' οὗ καὶ χρυσόῤῥαπις ὁ Ἑρμῆς προσηγορεύθη. Ἔλαβέ τε παρ' αὐτοῦ τὴν λύραν. Ὅθεν καὶ χρυσάωρ ὠνομάσθη, ἀπὸ τοῦ τῆς κιθάρας ἀορτῆρος. ΧΡΥ. Ἤτοι, χρυσοφάσγανον, ἢ, χρυσοῦν τὸν ἀορτῆρα τῆς φαρέτρας, ἢ τῆς κιθάρας, ἰσχυτα. Οὐκ ἔτι δὲ ξίφος· ἀγγὸς γὰρ ὁ θεός.

‘ Αὐτὰρ ἐγὼ προπάροιθε κιὼν, ἵπποισι κέλευθον 260
‘ Πᾶσαν λειανέω, τρέψω δ᾽ ἥρωας Ἀχαιούς.’
Ὣς εἰπὼν, ἔμπνευσε μένος μέγα ποιμένι λαῶν.
Ὡς δ᾽ ὅτε τις σατὸς ἵππος, ἀκοστήσας ἐπὶ φάτνῃ,
Δεσμὸν ἀπορρήξας θείει πεδίοιο κροαίνων,
Εἰωθὼς λούεσθαι ἐυῤῥεῖος ποταμοῖο, 265
Κυδιόων, ὑψοῦ δὲ κάρη ἔχει, ἀμφὶ δὲ χαῖται
Ὤμοις αἰσσονται· ὁ δ᾽ ἀγλαΐῃφι πεποιθὼς,
Ῥίμφα ἑ γοῦνα φέρει μετά τ᾽ ἤθεα καὶ νομὸν ἵππων·
Ὣς Ἕκτωρ λαιψηρὰ πόδας καὶ γούνατ᾽ ἐνώμα,
Ὀτρύνων ἱππῆας, ἐπεὶ θεοῦ ἔκλυεν αὐδήν. 270
Οἱ δ᾽ ὥς τ᾽ ἢ ἔλαφον κεραὸν, ἢ ἄγριον αἶγα
Ἐσσεύοντο κύνες τε καὶ ἀνέρες ἀγροιῶται·
Τὸν μέν τ᾽ ἠλίβατος πέτρη καὶ δάσκιος ὕλη
Εἰρύσατ᾽, οὐδ᾽ ἄρα τέ σφι κιχήμεναι αἴσιμον ἦεν·
Τῶν δέ θ᾽ ὑπαὶ ἰαχῆς ἐφάνη λὶς ἠὐγένειος 275
Εἰς ὁδὸν, αἶψα δὲ πάντας ἀπέτραπε καὶ μεμαώτας·
Ὣς Δαναοὶ εἴως μὲν ὁμιλαδὸν αἰὲν ἕποντο,
Νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν·
Αὐτὰρ ἐπεὶ ἴδον Ἕκτορ᾽ ἐποιχόμενον στίχας ἀνδρῶν,
Τάρβησαν, πᾶσιν δὲ παραὶ ποσὶ κάππεσε θυμός. 280
Τοῖσι δ᾽ ἔπειτ᾽ ἀγόρευε Θόας, Ἀνδραίμονος υἱὸς,
Αἰτωλῶν ὄχ᾽ ἄριστος, ἐπιστάμενος μὲν ἄκοντι,

261. ΑΕΙ. Λείαν καὶ ὁμαλὴν ποιήσω. ΤΡΕ. Εἰς φυγὴν ἀγάγω.
263. ΣΤΑ. Ἀναπιπαυμένοι, ἱστάμενος.
264. ΚΡ. Κρύων.
269. ΕΝΩ. Ἐστρέφει, κινεῖ.
272. ΕΣ. Ἐδίωκον.
273. ΗΛΙ. Ὑψηλὴ, ἀπρόσβατος· ἧς ἄν τις ἁμάρτοι τῆς ἐπιβάσεως, διὰ τὸ πολὺ ὕψος. Ἀλιτεῖν γὰρ τὸ διαμαρτεῖν· ἢ, ἧς ὁ ἥλιος μόνος ἐπιβαίνει. ΔΑΣ. Πολύσκιος, λίαν συκνή.
274. ΕΙ. Νῦν, ἐῤῥύσατο, ὤσωσι. ΚΙ. Καταλαβεῖν. ΑΙ. Εἱμαρμένον.
275. ΗΥΓ. Δασὺ γένειον ἔχων.
277. ΟΜΙ. Ἀθρόως.
280. ΠΟ. Τὰς ψυχὰς ἐκπεπληγμένοι, ἅπαντες λιποψυχήσαντες τὴν κυνηγίαν παρὰ τοῖς ποσὶν εἶχον.

Ἐθλὸς δ' ἐν ϛαδίῃ· ἀγορῇ δέ ἑ παῦροι Ἀχαιῶν
Νίκων, ὁππότε κῦρος ἐρίσσειαν περὶ μύθων·
Ὅς σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν· 285
Ὦ πόποι, ἦ μέγα θαῦμα τόδ', ὀφθαλμοῖσιν ὁρῶμαι·
Οἷονδ' αὖτ' ἐξαῦτις ἀνέϛη, κῆρας ἀλύξας,
Ἕκτωρ· ἦ θήν μιν μάλα ἔλπετο θυμὸς ἑκάϛῳ
Χερσὶν ὑπ' Αἴαντος θανέειν Τελαμωνιάδαο·
Ἀλλά τις αὖτε θεῶν ἐῤῥύσατο, ὃς τ' ἐσάωσεν 290
Ἕκτορ', ὃ δὴ πολλῶν Δαναῶν ὑπὸ γύνατ' ἔλυσεν·
Ὡς καὶ νῦν ἔσσεται ὀίομαι· οὐ γὰρ ἄτερ γε
Ζηνὸς ἐριγδούπου πρόμος ἵϛαται, ὧδε μενοινῶν.
Ἀλλ' ἄγετ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες·
Πληθὺν μὲν νῦν νῆας ἀνώγομεν ἀπονέεσθαι· 295
Αὐτοὶ δ', ὅσσοι ἄριϛοι ἐνὶ ϛρατῷ εὐχόμεθ' εἶναι,
Στείομεν, εἴ κε πρῶτον ἐρύξομεν ἀντιάσαντες,
Δύρατ' ἀναχόμενοι· τὸν δ', οἴω καὶ μεμαῶτα
Θυμῷ δείσεσθαι Δαναῶν καταδῦναι ὅμιλον.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο. 300
Οἱ μὲν ἄρ' ἀμφ' Αἴαντα καὶ Ἰδομενῆα ἄνακτα,
Τεῦκρον, Μηριόνην τε, Μέγην τ' ἀτάλαντον Ἄρηϊ,
Ὑϛμίνην ἤρτυνον, ἀριϛῆας καλέσαντες,
Ἕκτορι καὶ Τρώεσσιν ἐναντίον· αὐτὰρ ὀπίσσω
Ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντο. 305
Τρῶες δὲ πρῆτυψαν ἀολλέες· ἦρχε δ' ἄρ' Ἕκτωρ
Μακρὰ βιβάς· πρόσθεν δὲ κί' αὐτῷ Φοῖβος Ἀπόλλων,

283. ΑΓΟ. Νῦν, λόγῳ, ὁμιλίᾳ.
284. ΝΙ. Ἐνίκων.
287. ΑΛΥ. Ἐκφυγών.
291. Ο. Ἀντὶ τοῦ, ὃς δὴ πολλῶν.
293. ΜΕ. Προθυμούμενος.
295. ΑΝΩ. Κελεύσωμεν.
297. ΣΤΕΙ. Στῶμεν. ΕΡΥ. Ἐπίσχωμεν, κωλύσωμεν.
303. ΗΡ. Κατεσκευάζον.
305. ΠΛ. Οἱ πολλοί.

Εἰμένος ὤμοιϊν νεφέλην, ἔχε δ' Αἰγίδα θύριν,
Δεινὴν, ἀμφιδάσειαν, ἀριπρεπέ, ἣν ἄρα χαλκεὺς
Ἥφαιστος Διΐ δῶκε φορήμεναι ἐς φόβον ἀνδρῶν· 310
Τὴν ἄρ' ὅγ' ἐν χείρεσσιν ἔχων, ἡγήσατο λαῶν.
Ἀργεῖοι δ' ὑπέμειναν ἀολλέες· ὦρτο δ' ἀϋτὴ
Ὀξεῖ ἀμφοτέρωθεν· ἀπὸ νευρῇφι δ' ὀϊστοὶ
Θρῴσκον· πολλὰ δὲ δοῦρα θρασειάων ἀπὸ χειρῶν,
Ἄλλα μὲν ἐν χροΐ πήγνυτ' ἀρηϊθόων αἰζηῶν, 315
Πολλὰ δὲ καὶ μεσσηγὺ, πάρος χρόα καλὸν ἐπαυρεῖν,
Ἐν γαίῃ ἵσαντο, λιλαιόμενα χροὸς ἆσαι.
Ὄφρα μὲν Αἰγίδα χερσὶν ἔχ' ἀτρέμα φοῖβος Ἀπόλλων,
Τόφρα μάλ' ἀμφοτέρων βέλε' ἤπιπτε, πίπτε δὲ λαός·
Αὐτὰρ ἐπεὶ κατενώπα ἰδὼν Δαναῶν ταχυπώλων 320
Σεῖσ', ἐπὶ δ' αὐτὸς ἄυσε μάλα μέγα, τοῖσι δὲ θυμὸν
Ἐν στήθεσσιν ἔθελξε, λάθοντο δὲ θούριδος ἀλκῆς.
Οἱ δ' ὥς τ' ἠὲ βοῶν ἀγέλην, ἢ πώϋ μέγ' οἰῶν
Θῆρε δύω κλονέουσι, μελαίνης νυκτὸς ἀμολγῷ,

308. ΕΙ. Ἠμφισμένος, περικείμενος.

309. ΑΜ. Πανταχόθεν δασεῖαν. Καὶ οἱ μὲν, ἀμφίμαλλον, οἱ δὲ, κύκλῳ δασεῖαν, διὰ τὴν θυσάνης. Ὑφ' ἓν δὲ τὸ ὄνομα.

313. ΟΞ, Νῦν, θριμεῖα, χαλεπή.

316. ΕΠΑΥ. Ἐπιτυχεῖν.

317. ΛΙ. Ἐφιέμενα, ἐπιθυμοῦντα, ἐν τῇ διὰ μέσου γῇ ἐπήγνυντο, τὴν χρωτὸς ἐπιθυμοῦντα τῶν ἐφ' ὃς ἐβάλλετο. Ἔστι λῶ λαίω, ὡς κερῶ κεραίω. Ζωρότερον κέραιε. ΧΡΟ. Τὴν σώματος κορεσθῆναι.

318. ΑΙΓ. Κρόνος χρησμὸν λαβὼν, ὅτι ὁ ἴδιος αὐτὸν τῆς βασιλείας μεταστήσει υἱὸς, τὰ γεννώμενα κατέπινε. Ῥία δὲ τεκοῦσα Δία, Κρόνῳ μὲν, λίθον ἀντ' αὐτῆς σπαργανώσασα, ἔδωκε καταπιεῖν· τὸ δὲ παιδίον εἰς Κρήτην ἀποκομίσασα, ἔδωκε Θέμιδι καὶ Ἀμαλθείᾳ, ἣ ἦν αἴξ. Ταύτην οἱ Τιτᾶνες, ὁπόταν θεάσαιντο, ἐφοβοῦντο. Αὕτη δὲ τοὺς ἑαυτῆς μαζοὺς ἐπέχουσα, ἔτρεφε τὸ παιδίον. Αὐξηθὲς δὲ ὁ Ζεὺς, μετέστησε τῆς βασιλείας τὸν πατέρα. Πολεμούντων δὲ αὐτῷ τῶν Τιτάνων, Θέμις συνεβούλευσε τῷ Ἀμαλθείας δέρματι σκεπαστηρίῳ χρήσασθαι· εἶναι γὰρ αὐτὸ ἀεὶ φόβητρον. Πειθεὶς δὲ ὁ Ζεὺς, ἐποίησε, καὶ τοὺς Τιτᾶνας ἐνίκησεν. Ἐντεῦθεν αὐτὸν φασιν αἰγίοχον προσαγορευθῆναι.

320. ΚΑ. Κατὰ πρόσωπον.

322. ΕΘΕ. Ἐγείρουσιν, ἐπείγουσιν.

323. ΟΙ. Προβάτων.

324. ΘΗ. Λέοντες, κατ' ἐξοχήν.

Ἐλθόντ' ἐξαπίνης, σημάντορος οὐ παρεόντος· 325
Ὡς ἐφόβηθεν Ἀχαιοὶ ἀνάλκιδες· ἐν γὰρ Ἀπόλλων
Ἧκε φόβον, Τρωσὶν δὲ καὶ Ἕκτορι κῦδος ὄπαζεν.
Ἔνθα δ' ἀνὴρ ἔλεν ἄνδρα, κεδαασθείσης ὑσμίνης·
Ἕκτωρ μὲν Στιχίον τε καὶ Ἀρχεσίλαον ἔπεφνε,
Τὸν μὲν, Βοιωτῶν ἡγήτορα χαλκοχιτώνων, 330
Τὸν δὲ, Μενεσθῆος μεγαθύμου πιστὸν ἑταῖρον.
Αἰνείας δὲ Μέδοντα καὶ Ἴασον ἐξενάριζεν·
Ἤτοι ὁ μὲν νόθος υἱὸς Ὀϊλῆος θείοιο
Ἔσκε Μέδων, Αἴαντος ἀδελφεός· αὐτὰρ ἔναιεν
Ἐν Φυλάκῃ, γαίης ἄπο πατρίδος, ἄνδρα κατακτὰς 335
Γνωτὸν μητρυιῆς Ἐριώπιδος, ἣν ἔχ' Ὀϊλεύς·
Ἴασος αὖτ' ἀρχὸς μὲν Ἀθηναίων ἐτέτυκτο,
Υἱὸς δὲ Σφήλοιο καλέσκετο Βυκολίδαο.
Μηκιστὴ δ' ἕλε Πυλυδάμας, Ἐχίον δὲ Πολίτης
Πρώτῃ ἐν ὑσμίνῃ, Κλονίον δ' ἕλε δῖος Ἀγήνωρ. 340
Δηΐοχον δὲ Πάρις βάλε νείατον ὦμον ὄπισθε,
Φεύγοντ' ἐν προμάχοισι, διὰ πρὸ δὲ χαλκὸν ἔλασσεν.
Ὄφρ' οἱ τὼ ἐνάριζον ἀπ' ἔντεα, τόφρα δ' Ἀχαιοὶ
Τάφρῳ, καὶ σκολόπεσσιν, ἐνιπλήξαντες ὀρυκτῇ,

325. ΣΗ. Ἄρχοντος. Νῦν δὲ, φύλακος, νομέως.

326. ΩΣ. Οὕτω καὶ οἱ Ἕλληνες εἰς φυγὴν ἐτράπησαν ὑπὸ τῷ φόβῳ ὡς ἀάθενεῖς.

327. ΟΠΑ. Περιεποίει, ἐδίδυ.

328. ΚΕ. Διαλυθείσης, σκορπισθείσης, ἀλλαχῇ ἄλλυ τραπέντος.

333. ΝΟ. Ὁ μὴ ἐκ νομίμης γυναικός.

334. ΕΣ. Ἦν, ἐγεγόνει.

335. ΦΥ. Πόλις Θεσσαλίας. Βαρυτόνως δὲ ἀναγνωστέον, ὡς Ἰθάκη, πρὸς ἀντιδιαστολὴν τῷ δισμωτηρίῳ. ΚΛ. Ἀνελών.

336. ΓΝ. Νῦν, ἀδελφόν.

339. ΜΗ. Ἀντὶ τοῦ, Μηκιστία.

340. ΠΡΩ. Ἐν τῇ πρώτῃ τάξει, ἐν τοῖς πρωταγωνισταῖς.

341. ΠΑ. Εἴρηται καὶ ἔμπροσθεν, ὅτι Ἑκάβη, τεκοῦσα Ἀλέξανδρον, διὰ τὸ ὄνειρον ἐξέθηκεν εἰς Ἴδην. Ὁ δὲ ποιμὴν εὑρὼν αὐτὸν, διὰ τὸ μὴ γνωρισθῆναι, ἐν πήρᾳ ἔτρεφεν. Ἀφ' οὗ ὠνομάσθη Πάρις.

343. ΕΝΑ. Ἕως οὗ αὐτοὶ τούτους ἰσκύλευον, ἀφαιρούμενοι τὰ ὑμαγμάτα ὅπλα.

344. ΕΝΙ. Ἐμπεσόντες.

Ἔνθα καὶ ἔνθα φέβοντο, δύοντο δὲ τεῖχος ἀνάγκῃ. 345
Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο, μακρὸν ἀΰσας,
Νηυσὶν ἐπισσεύεσθαι, ἐᾷν δ' ἔναρα βροτόεντα·
"Ὃν δ' ἂν ἐγὼν ἀπάνευθε νεῶν ἑτέρωθι νοήσω,
Αὐτῷ οἱ θάνατον μητίσσομαι, οὐδέ νυ τόν γε
Γνωτοί τε γνωταί τε πυρὸς λελάχωσι θανόντα, 350
Ἀλλὰ κύνες ἐρύουσι πρὸ ἄστεος ἡμετέροιο."
Ὡς εἰπὼν, μάστιγι κατωμαδὸν ἤλασεν ἵππους,
Κεκλόμενος Τρώεσσι κατὰ στίχας· οἱ δὲ σὺν αὐτῷ
Πάντες ὁμοκλήσαντες, ἔχον ἐρυσάρματας ἵππους,
Ἠχῇ θεσπεσίῃ· προπάροιθε δὲ Φοῖβος Ἀπόλλων 355
Ῥεῖ' ὄχθας καπέτοιο βαθείης πᾶσσιν ἐρείπων
Ἐς μέσσον κατέβαλλε· γεφύρωσεν δὲ κέλευθον
Μακρὴν, ἠδ' εὐρεῖαν, ὅσον τ' ἐπὶ δουρὸς ἐρωὴ
Γίγνεται, ὁππότ' ἀνὴρ θένεος πειρώμενος ἥσι.
Τῇ ῥ' οἵγε προχέοντο φαλαγγηδὸν, πρὸ δ' Ἀπόλλων, 360
Αἰγίδ' ἔχων ἐρίτιμον· ἔρειπε δὲ τεῖχος Ἀχαιῶν
Ῥεῖα μάλ', ὡς ὅτε τις ψάμαθον παῖς ἄγχι θαλάσσης,
Ὅς' ἐπεὶ ὖν ποιήσῃ ἀθύρματα νηπιέησιν,
Ἂψ αὖτις συνέχευε ποσὶν καὶ χερσὶν, ἀθύρων·
Ὡς ῥα σὺ, ἤϊε Φοῖβε, πολὺν κάματον καὶ ὀϊζὺν 365

345. ΔΥ. Ἐσήισαν.
347. ΕΠΙ. Ἐφορμῆσαι.
349. ΜΗ. Μηχανήσομαι, ἐργάσομαι.
350. ΠΥ. Τῆς διὰ πυρὸς ταφῆς λαχεῖν ποιήσουσι.
352. ΚΑ. Καὶ τὰ ὤμων τὰ ἵππων.
354. ΕΡΥ. Τοὺς ἐλαύνοντας τὰ ἅρματα, τὰς ὑποζυγίους.
356. ΟΧ. Κυρίως μὲν τὰ τὰ ποταμῶν χείλη· νῦν δὲ, τὰ τάφρου. ΚΑ. τῆς τάφρου. ΕΡΕΙ. Καταβάλλων.
357. ΓΕ. Διαβατὴν ἐποίησεν.
359. ΗΣ. Ἀφῇ, βάθη ἀκοντίσῃ.
360. ΦΑ. Κατὰ φάλαγγας· ὁ ἐστι, τάξεις.
363. ΑΘΥΡ. Παίγνια. ΝΗ. Ταῖς ἀφροσύναις.
364. ΑΘΥ. Παίζων.
365. ΗΙΕ. Τοξικά· Παρὰ τὴν ἄφεσιν τῶν βελῶν. Ἔστι δὲ ἐπίθετον Ἀπόλλωνος. Εἴρηται δὲ κατὰ ἀφαίρεσιν τῆς πρώτης συλλαβῆς· ἵν' ᾖ, ἰήϊε. Ἰὸς γὰρ λέγεται τὸ βέλος, παρὰ τὸ ἴέναι. Ἔνιοι δὲ, ψιλῶς ἀναγιγνώσκοντες, ἀπέδοσαν, ἰατρέ· σὺν ὀρθῶς. Ἐπεὶ δὲ ὧν ἰατρὸς

Σύγχεας Ἀργείων, αὐτοῖσι δὲ φῦζαν ἐνῶρσας.
Ὣς οἱ μὲν παρὰ νηυσὶν ἐρητύοντο μένοντες·
Ἀλλήλοισί τε κεκλόμενοι, καὶ πᾶσι θεοῖσι
Χεῖρας ἀνίσχοντες, μεγάλ' εὐχετόωντο ἕκαστος·
Νέστωρ αὖτε μάλιστα Γερήνιος, ὄρρος Ἀχαιῶν, 370
Εὔχετο, χεῖρ' ὀρέγων εἰς οὐρανὸν ἀστερόεντα·
Ζεῦ πάτερ, εἴποτέ τίς τοι ἐν Ἀργεῖ περ πολυπύρῳ
Ἢ βοὸς, ἢ ὄϊος κατὰ πίονα μηρία καίων,
Εὔχετο νοστῆσαι, σὺ δ' ὑπέσχεο καὶ κατένευσας,
Τῶν μνῆσαι, καὶ ἄμυνον, Ὀλύμπιε, νηλεὲς ἦμαρ· 375
Μηδ' ἔτω Τρώεσσιν ἔα δάμναθαι Ἀχαιούς.
Ὣς ἔφατ' εὐχόμενος· μέγα δ' ἔκτυπε μητιέτα Ζεὺς,
Ἀράων αἰτῶν Νηληϊάδαο γέροντος.
Τρῶες δ', ὡς ἐπύθοντο Διὸς νόον αἰγιόχοιο,
Μᾶλλον ἐπ' Ἀργείοισι θόρον, μνήσαντο δὲ χάρμης. 380
Οἱ δ' ὥστε μέγα κῦμα θαλάσσης εὐρυπόροιο
Νηὸς ὑπὲρ τοίχων καταβήσεται, ὁππότ' ἐπέγῃ
Ἶς ἀνέμου· ἡ γάρ τε μάλιστά γε κύματ' ὀφέλλει·
Ὣς Τρῶες μεγάλῃ ἰαχῇ κατὰ τεῖχος ἔβαινον.
Ἵπποις δ' εἰσελάσαντες ἐπὶ πρύμνῃσι μάχοντο, 385
Ἔγχεσιν ἀμφιγύοις αὐτοχεδὸν, οἱ μὲν ἀφ' ἵππων,
Οἱ δ' ἀπὸ νηῶν ὕψι μελαινάων ἐπιβάντες,
Μακροῖσι ξυστοῖσι, τά ῥά σφ' ἐπὶ νηυσὶν ἔκειτο
Ναύμαχα, κολλήεντα, κατὰ στόμα εἰμένα χαλκῷ.

Παιήονα Ὅμηρος παραδίδωσι. ΚΑ. Πολλοὺς καματους καὶ ταλαιπωρίας αὐτῶν.

366. ΣΥΓ. Συνετάραξας, συνέχεας. ΦΥ. Φόβον, φυγήν.

372. ΠΟ. Σιτοφόρον.

378. ΑΡΑ. Νῦν, τῷ εὐχῶν ἀκύων.

381. ΕΥ. Εὐρυχώρου, πλατείας ἐν τῷ πειράσαι.

382. ΝΗ. Ὑπὲρ τοὺς τοίχους τῆς νεώς.

389. ΝΑΥ. Μακρὰ δόραία, τὰ πρὸς ναυμαχίαν ἐπιτήδεια. ΚΟΛ. Ἐκ πολλῶν συγκεκολλημένα, ἵνα γένηται μακρά· οἷον σύνθετα, καὶ οὐ μονόξυλα. ΚΑ. Νῦν, κατὰ τὴν ἀρχὴν· μεταφορικῶς.

Πάτροκλος δ', εἴως μὲν Ἀχαιοί τε Τρῶές τε 390
Τείχεος ἀμφεμάχοντο θοάων ἔκτοθι νηῶν,
Τόφρ' ὄγ' ἐνὶ κλισίῃ ἀγαπήνορος Εὐρυπύλοιο
Ἥσθε, κατὰ τὸν ἔτερπε λόγοις, ἐπὶ δ' ἕλκεϊ λυγρῷ
Φάρμακ', ἀκήματ' ἔπασσε μελαινάων ὀδυνάων·
Αὐτὰρ ἐπειδὴ τεῖχος ἐπεσσυμένους ἐνόησε 395
Τρῶας, ἀτὰρ Δαναῶν γένετο ἰαχή τε φόβος τε,
Ὤμωξέν τ' ἄρ' ἔπειτα, κατὰ ὃ πεπλήγετο μηρὼ
Χερσὶ καταπρηνέσσ', ὀλοφυρόμενος δ' ἔπος ηὔδα·
'Εὐρύπυλ', ἠκέτι τοι δύναμαι, κατέοντί περ ἔμπης,
'Ἐνθάδε παρμενέμεν· δὴ γὰρ μέγα νεῖκος ὄρωρεν· 400
'Ἀλλά σε μὲν θεράπων ποτιτερπέτω· αὐτὰρ ἔγωγε
'Σπεύσομαι εἰς Ἀχιλῆα, ἵν' ἐτρύνω πολεμίζειν.
'Τίς δ' οἶδ', εἴ κέν οἱ, σὺν δαίμονι, θυμὸν ὀρίνω
'Παρειπών; ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρῳ.'
Τὸν μὲν ἄρ' ὣς εἰπόντα πόδες φερον· αὐτὰρ Ἀχαιοὶ 405
Τρῶας ἐπερχομένους μένον ἔμπεδον, οὐδ' ἐδύναντο,
Παυροτέρους περ ἐόντας, ἀπώσασθαι παρὰ νηῶν,
Οὔτε ποτὲ Τρῶες Δαναῶν ἐδύναντο φάλαγγας
Ῥηξάμενοι, κλισίῃσι μιγήμεναι, οὐδὲ νέεσσιν.
Ἀλλ' ὥστε σάθμη δόρυ νηΐον ἐξιθύνει 410
Τέκτονος ἐν παλάμῃσι δαήμονος, ὅς ῥά τε πάσης
Εὖ εἰδῇ σοφίης, ὑποθημοσύνῃσιν Ἀθήνης·

ΕΙ. Ἀντὶ τοῦ, κατὰ τὸ ἄκρον σεσιδηρωμένα.

392. ΑΓΑ. Ἤτοι, ἀγαπῶντος τοὺς ἄνδρας· ἢ ἀνδρείου.

394. ΑΚΗ. Ἰάματα.

399. ΧΑ. Χρήζοντι, δεομένῳ.

400. ΔΗ. Μάλα γὰρ μεγάλη μάχη.

401. ΠΟ. Παρηγορείτω.

402. ΕΙΣ. Ἀντὶ τοῦ, πρὸς Ἀχιλλέα.

404. ΠΑ. Παραμυθία, παραίνεσις.

410. ΣΤΑΘ. Ἐργαλεῖον τεκτονικόν· ἢ ἡ κατευθυντηρία λεγομένη. Τούτῳ δὲ κανονίζεται τὸ ξύλον. Ἔστι δὲ καὶ χωνίον λεπτόν, ἐρυθρῷ ἢ μέλανι χρώματι κεχρισμένον. ΝΗ. Τὸ εἰς ναυπηγίαν ξύλον. ΕΞΙ. Ἴσον ποιεῖ, ὀρθοῖ.

411. ΔΑ. Ἐμπείρου.

412. ΕΤ. Ἔμπειρος τεκτονικῆς. Τὸ γὰρ παλαιὸν, πᾶς τεχνίτης, σοφὸς ὀνο-

τῶν ἐστὶ ἴσα μάχη τέτατο πόλεμός τε.
ἀμφ' ἄλλησι μάχην ἐμάχοντο πέσσειν·
δ' ἄντ' Αἴαντος ἐείσατο κυδαλίμοιο. 415
λιῆς περὶ νηὸς ἔχον πόνον, ἐδ' ἐδύναντο
τὸν ἐξελάσαι, κ᾽ ἐνιπρῆσαι πυρὶ νῆας,
τὸν ἁψ ὤσασθαι, ἐπεί ῥ' ἐπέλασσέ γε δαίμων.
ία Κλυτίοιο Καλήτορα Φαίδιμος Αἴας,
νῆα φέροντα, κατὰ στῆθος βάλε δουρί· 420
ν δὲ πεσὼν, δαλὸς δέ οἱ ἔκπεσε χειρός.
δ' ὡς ἐνόησεν ἀνεψιὸν ὀφθαλμοῖσιν
ῆσι πεσόντα, νεὼς προπάροιθε μελαίνης,
τε, καὶ Λυκίοισιν ἐκέκλετο, μακρὸν ἀύσας·
ῶες, καὶ Λύκιοι, καὶ Δάρδανοι ἀγχιμαχηταὶ, 425
ή πω χάζεσθε μάχης ἐν φόβοι τῷδε·
υἷα Κλυτίοιο σαώσατε, μή μιν Ἀχαιοὶ
α συλήσωσι, νεῶν ἐν ἀγῶνι πεσόντα.
εἰπὼν, Αἴαντος ἀκόντισε δουρὶ φαεινῷ·
ἄμαρθ'· ὁ δ' ἕπεσε Λυκόφρονα, Μάστορος υἱὸν, 430
θεράποντα, Κυθήριον, ὅς ῥα παρ' αὐτῷ
πεὶ ἄνδρα κατέκτα Κυθήροισι ζαθέοισι·

γκεχυμένῳ ὀνόματι· ὕστερον δὲ ς, τοῦτο μεμψάμενος, σοφὸν εἶπε τὸ θεῖον ὀνομάζεσθαι· μόνην τὴν ἔχουσαν τὸ τέλειον ιον τῆς ἐπιστήμης· ἥτις ἐστὶ ίων τε καὶ ἀνθρωπίνων πρα-

ΥΠΟ. Ὑποδολαῖς, δολοπα-

ΤΕ. Ἐπετέτατο.

ΑΛ. Ἄλλοι δὲ κατ' ἄλλο μέρος μάχοντο.

ΑΝΤ. Ἀντικρὺ τοῦ Αἴαντος. ήμησεν, ἐπῆλθεν.

ΑΥ. Εἰς τόπον ἀπώσασθαι.

ΚΛΥ. Κλύτιος, ἀδελφὸς Πρι-

άμου. ΚΑΛ. Καλλάτωρ, ἀνεψιὸς Ἕκτορος. Ἔστι δὲ καὶ ἕτερος Κλύτιος ὁμώνυμος.

426. ΧΑ. Ἀναχωρεῖτε. ΣΤΕΙ. Στενοχωρίαν ἔχοντα τόπῳ· ἢ, τῇ μάχῃ τῇ στενοχωρούσῃ, καὶ πανταχόθεν πεπυκνωμένῃ.

427. ΣΑΩ. Ἀνακομίσαιε, τὴν μάχης σώσατε.

428. ΝΕ. Ἐν τῷ αὐθρόισματι τῶν νεῶν, τῷ ναυσάθμῳ.

431. ΚΥ. Ἀπὸ Κυθήρων. Κύθηρα δὲ νησίδιον τῆς Λακωνικῆς, Ἀφροδίτης ἱερόν· ὅθεν καὶ Κυθέρειαν ἐπιθετικῶς ὀνομάζουσιν τὴν θεάν.

Τόν ῥ' ἔβαλεν κεφαλὴν ὑπὲρ ὄατος ὀξέϊ χαλκῷ,
Ἑξαὸς ἄγχ' Αἴαντος· ὁ δ' ὕπλιος ἐν κονίῃσι
Νηὸς ἄπο πρύμνης χαμάδις πέσε· λῦντο δὲ γυῖα.
Αἴας δ' ἐρρίγησε, κασίγνητον δὲ προσηύδα·
Τεῦκρε πέπον, δὴ νῶϊν ἀπέκτατο πιστὸς ἑταῖρος
Μαστορίδης, ὃν νῶϊ, Κυθηρόθεν ἔνδον ἐόντα,
Ἶσα φίλοισι τοκεῦσιν ἐτίομεν ἐν μεγάροισι·
Τὸν δ' Ἕκτωρ μεγάθυμος ἀπέκτανε· πᾶ νύ τοι ἰὲ
Ὠκύμοροι καὶ τόξον, ὅ τοι πόρε Φοῖβος Ἀπόλλων;
Ὡς φάθ'· ὁ δὲ ξυνέηκε· θεῶν δέ οἱ ἄγχι παρέστη,
Τόξον ἔχων ἐν χειρὶ παλίντονον, ἠδὲ φαρέτρην
Ἰοδόκον· μάλα δ' ὦκα βέλεα Τρώεσσιν ἐφίει·
Καί ῥ' ἔβαλε Κλεῖτον, Πεισήνορος ἀγλαὸν υἱὸν,
Πυλυδάμαντος ἑταῖρον, ἀγαυᾶ Πανθοΐδαο,
Ἡνία χερσὶν ἔχοντα, ὁ μὲν πεπόνητο καθ' ἵππους·
Τῇ γὰρ ἔχ', ἦ ῥα πολὺ πλεῖστα κλονέοντο φάλαγγες,
Ἕκτορι καὶ Τρώεσσι χαριζόμενος· τάχα δ' αὐτῷ
Ἦλθε κακὸν, τό οἱ ὄτις ἐρύκακεν ἱεμένῳ περ·
Αὐχένι γάρ οἱ ὄπισθε πολύστονος ἔμπεσεν ἰός·
Ἤριπε δ' ἐξ ὀχέων, ὑπερώησαν δέ οἱ ἵπποι,
Κείν' ὄχεα κροτέοντες· ἄναξ δ' ἐνόησε τάχιστα
Πυλυδάμας, καὶ πρῶτος ἐναντίον ἦλυθεν ἵππων.

437. ΝΩ. Ἡμῶν δή.
438. ΚΥ. Ἀντὶ τοῦ, ἀπὸ Κυθήρων ἐνδεδημηκότα.
441. ΩΚΥ. Ταχύμοιροι, θάνατοι ἐπιφέροντες, ταχυθάνατοι.
444. ΙΟ. Ἰοὺς διχομένην· ὅ ἐστι, βέλη.
447. ΠΕ. Ἐπεπόνητο, ἐνήργει.
448. ΤΗ. Ἐκεῖ γὰρ ἤλαυνεν. Ἡ. Ὅπου δή. ΚΛΟ. Ἐταράσσοντο.
450. ΕΡΥ. Εἶργεν, ἐκώλυσεν. ΙΕ. Προθυμουμένῳ, σπεύδοντι.
451. ΠΟ. Ἤτοι, ὁ ἐδυπορὸς, ἢ πολλῶν γεναγμῶν αἴτιος. Ἀποστρεφόντων δὲ τὰ ἅρματα τῶν Τρώων, πρὸς τὸ ἐξίσου πολεμεῖν ἐπιβιβηκόσιν τῶν ναῶν τοῖς Ἕλλησιν, ὅτως ὁ ἡνίοχος τετραμμένος, πρὸς τοὺς ἵππους βέβληται κατὰ τοῦ αὐχένος.
452. ΥΠΕ. Ὑπεχώρησαν.
453. ΚΕΙΝ. Κειὰ τὰ ἅρματα κρουοῦντες.

Τὸς μὲν ὅγ' Ἀςυνόῳ, Προτιάονος υἱέϊ, δῶκε· 455
Πολλὰ δ' ἐπώτρυνε χεδὸν ἴχειν εἰσορόωντα
Ἵππυς· αὐτὸς δ' αὖτις ἰὼν προμάχοισιν ἐμίχθη.
Τεῦκρος δ' ἄλλον ὀϊςὸν ἐφ' Ἕκτορι χαλκοκορυςῇ
Αἴνυτο, καί κεν ἔπαυσε μάχην ἐπὶ νηυσὶν Ἀχαιῶν,
Εἴ μιν ἀριςεύοντα βαλὼν ἐξείλετο θυμόν· 460
Ἀλλ' οὐ λῆθε Διὸς πυκινὸν νόον, ὅς ῥ' ἐφύλασσεν
Ἕκτορ', ἀτὰρ Τεῦκρον Τελαμώνιον εὖχος ἀπηύρα,
Ὃς οἱ ἐϋςρεφέα νευρὴν ἐν ἀμύμονι τόξῳ
Ῥῆξ' ἐπὶ τῷ ἐρύοντι· παρεπλάγχθη δέ οἱ ἄλκη
Ἰὸς χαλκοβαρὴς, τόξον δέ οἱ ἔκπεσε χειρός. 465
Τεῦκρος δ' ἐρρίγησε, κασίγνητον δὲ προσηύδα·
Ὦ πόποι, ἦ δὴ πάγχυ μάχης ἐπὶ μήδεα κείρει
Δαίμων ἡμετέρης, ὅ, τε μοι βιὸν ἔκβαλε χειρός·
Νευρὴν δ' ἐξέρρηξε νεόςροφον, ἥν οἱ ἔδησα
Πρώϊον, ὄφρ' ἀνέχοιτο θαμὰ θρώσκοντας ὀϊςούς. 470
Τὸν δ' ἠμείβετ' ἔπειτα μέγας Τελαμώνιος Αἴας·
Ὦ πέπον, ἀλλὰ βιὸν μὲν ἔα καὶ ταρφέας ἰὸς
Κεῖσθαι, ἐπεὶ συνέχευε θεὸς, Δαναοῖσι μεγήρας·
Αὐτὰρ χερσὶν ἑλὼν δολιχὸν δόρυ, καὶ σάκος ὤμῳ,
Μάρναό τε Τρώεσσι, καὶ ἄλλυς ὄρνυθι λαούς· 475
Μὴ μὰν ἀσπουδεί γε, δαμασσάμενοί περ, ἕλοιεν

456. ΙΣ. Κατίχειν.
459. ΑΙ. Ἐλάμβανε, ἀφηρεῖτο.
461. ΠΥ. Νῦν, συνετόν.
462. ΑΠ. Ἀφείλετο.
463. ΕΥ. Καλῶς περιγραφομένην. ΑΜΥ. Ἤτοι, κατὰ μετωσίαν τῦ φορῦντος· ἢ, πανταχόθεν ἀμίμητον καὶ ὑγιεῖ.
464. ΠΑ. Παρηνίχθη, παρέπισεν. ΑΛ. Ἀπαχόσι, καὶ ἐκ ἐπὶ τ' Ἕκτορα.
465. ΧΑΛ. Χαλκῷ βαρύμενος.
467. ΠΑ. Πᾶσαν τὴν εἰς τὸν πόλεμον ἡμῶν προθυμίαν θεός τις κωλύει, καὶ παρασπᾷ. ΕΠΙ. Ἐπικείρει, ἐμποδίζει τὰ βελεύματα.
469. ΝΕΟ. Καινὴν, νεωςὶ ἐγραμμένην.
470. ΠΡΩ. Ἑωθεν, ὄρθριον, ἢ πρόσφατον. ΑΝΕ. Ὑπομένοι, ἀντέχοιτο. ΘΑ. Πυκνῶς.
473. ΜΕ. Φθονήσας.
476. ΑΣ. Χωρὶς σπουδῆς, καὶ κακοπαθείας.

‘ Νῆας ἐϋσσέλμους, ἀλλὰ μνησώμεθα χάρμης.’
Ὣς φάθ’· ὁ δὲ τόξον μὲν ἐνὶ κλισίῃσιν ἔθηκεν·
Αὐτὰρ ὅγ’ ἀμφ’ ὤμοισι σάκος θέτο τετραθέλυμνον·
Κρατὶ δ’ ἐπ’ ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν, 480
Ἵππουριν, δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν·
Εἵλετο δ’ ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέϊ χαλκῷ·
Βῆ δ’ ἰέναι, μάλα δ’ ὦκα θεὸν Αἴαντι παρέστη.
Ἕκτωρ δ’, ὡς εἶδεν Τεύκρου βλαφθέντα βέλεμνα,
Τρωσί τε, καὶ Λυκίοισιν ἐκέκλετο, μακρὸν ἀύσας· 485
‘ Τρῶες, καὶ Λύκιοι, καὶ Δάρδανοι ἀγχιμαχηταί,
‘ Ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς,
‘ Νῆας ἀνὰ γλαφυράς· δὴ γὰρ ἴδον ὀφθαλμοῖσιν
‘ Ἀνδρὸς ἀριστῆος Διόθεν βλαφθέντα βέλεμνα.
‘ Ῥεῖα δ’ ἀρίγνωτος Διὸς ἀνδράσι γίνεται ἀλκή, 490
‘ Ἡμὲν ὀτέοισιν κῦδος ὑπέρτερον ἐγγυαλίζῃ,
‘ Ἠδ’ ὅτινας μινύθῃ τε, καὶ ἐκ ἐθέλῃσιν ἀμύνειν·
‘ Ὡς νῦν Ἀργείων μινύθει μένος, ἄμμι δ’ ἀρήγει.
‘ Ἀλλὰ μάχεσθ’ ἐπὶ νηυσὶν ἀολλέες· ὃς δέ κεν ὑμέων
‘ Βλήμενος, ἠὲ τυπείς, θάνατον καὶ πότμον ἐπίσπῃ, 495
‘ Τεθνάτω· οὔ οἱ ἄεικὲς ἀμυνομένῳ περὶ πάτρης
‘ Τεθνάμεν· ἀλλ’ ἄλοχός τε σόη καὶ παῖδες ὀπίσσω,
‘ Καὶ οἶκος, καὶ κλῆρος ἀκήρατος, εἴ κεν Ἀχαιοὶ

479. ΤΕ. Τετράπτυχον, τέσσαρας θέσεις ἔχον ἐπαλλήλους.
484. ΒΕ. Βέλη, ὑποκοριστικῶς.
488. ΔΗ. Ἴδον γὰρ δή.
489. ΔΙΟ. Ἀναγκαίως τὸ Διόθεν, ἵνα τοὺς μὲν ἐπιρρώσῃ, τοὺς δὲ περιδείσας καταστήσῃ. Τῇ τῶν θεῶν οὖν ἐλπίδι ἀντεγείρει τὸν στρατόν.
490. ΑΛ. Νῦν, βοήθεια.
491. ΟΤΕ. Οἴστισιν. ΥΠΕΡ. Ὑπερέχον, μέγα.
492. ΜΙ. Ἐλαττοῦ, μειοῦ.
495. ΒΛΗ. Ἐκ βολῆς τρωθείς. ΤΥ. Ἐκ χειρὸς τρωθείς, ἢ ξ σύστεγνος. ΠΟΤ. Μόρον, θάνατον.
496. ΑΕΙ. Κακόν.
497. ΣΟΗ. Σεσωσμένη, ὑγιής.
498. ΚΛΗ. Χωρικὴ περίκτησις καὶ οὐσία, ἐπεὶ οἱ πρῶτοι, καταλαβόντες χώραν, κλῆρον αὐτὴν διενέμοντο. ΑΚΗΡ. Ἀκέραιος, ἄφθαρτος.

"Οἴχωνται σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν."
Ὣς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου. 500
Αἴας δ' αὖθ' ἑτέρωθεν ἐκέκλετο οἷς ἑτάροισιν·
"Αἰδὼς, Ἀργεῖοι· νῦν ἄρκιον, ἢ ἀπολέσθαι,
Ἠὲ σαωθῆναι, καὶ ἀπώσασθαι κακὰ νηῶν.
Ἦ ἔλπεαθ', ἢν νῆας ἕλῃ κορυθαίολος Ἕκτωρ,
Ἐμβαδὸν ἴξεσθαι ἣν πατρίδα γαῖαν ἕκαστος; 505
Ἦ οὐκ ὀτρύνοντος ἀκούετε λαὸν ἅπαντα
Ἕκτορος, ὃς δὴ νῆας ἐνιπρήσαι μενεαίνει;
Οὐ μὰν ἔς γε χορὸν κέλετ' ἐλθέμεν, ἀλλὰ μάχεσθαι.
Ἡμῖν δ' ὅτις τῆδε νόος καὶ μῆτις ἀμείνων,
Ἢ αὐτοχεδίῃ μίξαι χεῖράς τε μένος τε. 510
Βέλτερον, ἢ ἀπολέσθαι ἕνα χρόνον, ἠὲ βιῶναι,
Ἢ δηθὰ τρεύγεσθαι ἐν αἰνῇ δηϊοτῆτι,
Ὧδ' αὔτως παρὰ νηυσὶν, ὑπ' ἀνδράσι χειροτέροισιν."
Ὣς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.
Ἐνθ' Ἕκτωρ μὲν ἕλε Σχεδίον, Περιμήδεος υἱὸν, 515
Ἀρχὸν Φωκήων· Αἴας δ' ἕλε Δαιοδάμαντα,
Ἡγεμόνα πρυλέων, Ἀντήνορος ἀγλαὸν υἱόν·
Πιελυδάμας δ' Ὤτον Κυλλήνιον ἐξενάριζε,
Φυλείδεω ἕταρον, μεγαθύμων ἀρχὸν Ἐπειῶν.
Τῷ δὲ Μέγης ἐπόρουσεν ἰδὼν· ὁ δ' ὕπαιθα λιάσθη 520

499. Οἱ. Πορευθῶσιν.
502. ΑΡ. Αὔταρκες, ἱκανόν.
505. ΕΜ. Πεζῇ βαίνοντες. ΙΣ. Ἀφικέσθαι, ἰλθεῖν.
507. ΕΝΙ. Ἐμπρῆσαι, καῦσαι.
508. ΧΟ. Εἰς χορείαν.
509. ΜΗ. Βούλη.
510. ΑΥ. Τῇ ἑαυτοῦ σύστασις μάχῃ.
511. ΒΕΛ. Βέλτιον πρὸς βραχὺ κινδυνεῦσαι, ἢ ζῶντας καὶ κατ' ὀλίγον ἀποθνῄσκοντας ταλαιπωρεῖν. ΕΝ. Ἐν μιᾷ ῥοπῇ. ΒΙΩ. Ζῆσαι.
512. ΣΤΡΕΥ. Ταλαιπωρεῖν, κακοπαθεῖν.
513. ΑΥ. Ἀπράκτως, ματαίως.
517. ΠΡΥ. Πεζῶν, ὁπλιτῶν.
518. ΚΥΛ. Ἀρκάδα. Κυλλήνη δὲ ὄρος Ἀρκαδίας ἱερὸν Ἑρμοῦ, καὶ ὑπ' αὐτὸ πόλις ὁμώνυμος.
520. ΥΠΑΙ. Εἰς φλάγγιον ἐξέλιπεν, εἰς τὴν πρόσθιον.

Πελυδάμας· ἡ τοῦ μὲν ἀπήμβροτεν· ἡ δὲ Ἀπόλλων
Εἴα Πάντα νίον ἐνι προμάχοισι δαμῆναι·
Αἶψα δ' ὅγε Κρόισμα σῆς μέσον ἔστασε δουρί·
Δύπησεν δὲ πεσών, ὁ δ' ἀπ' ὤμων τεύχε' ἐσύλα.
Τόφρα δε τῷ ἐπόρουσε Δόλοψ, αἰχμῆς εὖ εἰδὼς,
Λαμπετίδης, ὃν Λάμπος ἐγείνατο, φέρτατος ἀνδρῶν,
Λαομεδοντιάδης, εὖ εἰδότα θούριδος ἀλκῆς·
Ὃς τότε Φυλείδαο μέσον σάκος ἔτασε δουρὶ,
Ἐγγύθεν ὁρμηθείς· τυκινὸς δέ οἱ ἤρκεσε θώρηξ,
Τόν ῥ' ἐφόρει γυάλοισιν ἀρηρότα· τόν ποτε Φυλεὺς
Ἤγαγεν ἐξ Ἐφύρης, ποταμοῦ ἄπο Σελλήεντος.
Ξεῖνος γάρ οἱ ἔδωκεν ἄναξ ἀνδρῶν Εὐφήτης,
Ἐς πόλεμον φορέειν, δηΐων ἀνδρῶν ἀλεωρήν·
Ὃς οἱ ἡ τότε παιδὸς ἀπὸ χροὸς ἤρκεσ' ὄλεθρον.
Τοῦ δε Μέγης κόρυθος χαλκήρεος ἱπποδασείης
Κύμβαχον ἀκρότατον νύξ' ἔγχεϊ ὀξυόεντι,
Ῥῆξε δ' ἀφ' ἵππειον λόφον αὐτοῦ· πᾶς δὲ χαμᾶζε
Κάππεσεν ἐν κονίῃσι, νέον φοίνικι φαεινός.
Ἕως ὁ τῷ πολέμιζε μένων, ἔτι δ' ἤλπετο νίκην,
Τόφρα δέ οἱ Μενέλαος ἀρήϊος ἦλθεν ἀμύντωρ·
Στῆ δ' εὐρὰξ σὺν δουρὶ λαθὼν, βάλε δ' ὦμον ὄπισθεν·
Αἰχμὴ δὲ στέρνοιο διέσσυτο μαιμώωσα,

521. ΑΠ. Ἀφήμαρτεν, ἀπέτυχε.
525. ΔΟ. Νῦν, ὄνομα κύριον. ΑΙΧ. Πολεμικὸς, ἐμπειροπόλεμος.
529. ΠΥ. Πυκνὸς, ἡ ἀσφαλής. ΗΡ. Ἐβόηθησεν, ἀπέτρεψε.
530. ΓΥ. Ἐν ταῖς συναφαῖς τῶν ποιλωμάτων ἐπιμελῶς ἡρμοσμένον.
531. ΕΦ. Τῆς ἐν Ἤλιδι· ἣ νῦν καλεῖται Οἰνόη.
533. ΑΛΕ. Φυλακὴν, ἀσφάλειαν, ἄδειαν.
536. ΚΥΜ. Τὸ κάτακρον τῆς κορυφαλαίας, ἐν ᾧ ἐμβάλλεται ὁ λόφος.
537. ΛΟ. Λόφος ἐστὶ ὁ αὐτὸ τὸ ἀνάστημα.
538. ΝΕ. Νεωστὶ φοινικῷ χρώματι βεβαμμένος· ὅ ἐστιν, ἐρυθρῷ τῷ αἵματι.
540. ΑΜΥΝ. Βοηθός.
541. ΕΥ. Ἐκ πλαγίου.
542. ΔΙ. Διεξῆλθε. ΜΑΙ. Ἐνδεσιωδῶς ὁρμῶσα.

ἱεμένη· ὁ δ' ἄρα πρηνὴς ἐλιάσθη.
ἐεισάσθην χαλκήρεα τεύχε' ἀπ' ὤμων
ν· Ἕκτωρ δὲ κασιγνήτοισι κέλευε
ἄλα, πρῶτον δ' Ἰκεταονίδην ἐνένιπεν
ν Μελάνιππον· ὁ δ' ὄφρα μὲν εἰλίποδας βοῦς
Περκώτῃ, δηΐων ἀπονόσφιν ἐόντων·
πεὶ Δαναῶν νέες ἦλυθον ἀμφιέλισσαι,
Ἴλιον ἦλθε, μετέπρεπε δὲ Τρώεσσιν·
πὰρ Πριάμῳ· ὁ δέ μιν τίεν ἶσα τέκεσσι·
Ἕκτωρ ἐνένιπεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
τω δή, Μελάνιππε, μεθήσομεν; ἠδέ νύ σοί περ
πεται φίλον ἦτορ, ἀνεψιοῦ κταμένοιο;
ὁράας, οἷον Δόλοπος περὶ τεύχε' ἔπυσιν;
ἔπευ· οὐ γὰρ ἔτ' ἐστὶν ἀποστάδὸν Ἀργείοισι
κθαι, πρίν γ' ἢ κατακτάμεν, ἢ κατ' ἄκρης
αἰπεινὴν ἑλέειν, κτάσθαι τε πολίτας.'
εἰπὼν, ὁ μὲν ἦρχ', ὁ δ' ἅμ' ἕσπετο ἰσόθεος φώς.
ς δ' ὤτρυνε μέγας Τελαμώνιος Αἴας·
φίλοι, ἀνέρες ἔστε, καὶ αἰδῶ θέσθ' ἐνὶ θυμῷ,
λυς τ' αἰδεῖσθε κατὰ κρατερὰς ὑσμίνας·
ένων δ' ἀνδρῶν πλέονες σόοι, ἢ τε πέφανται·

ΕΕΙ. Νῦν, ἐπῆλθον, καὶ ὥρμη-

ΚΑ. Νῦν, πᾶσι τοῖς συγγενέσι.
γὰρ ὅτι καὶ τὸν ἀνεψιὸν κασι-
νήτων. Ὁ γὰρ Μελάνιππος ἀνε-
κτορος. Ἀνεψιοὶ δέ εἰσιν οἱ τῶν
παῖδες· ὥσπερ Αἴας καὶ Ἀχιλ-
Τελαμῶνος, ὁ δὲ Πηλέως.
ΕΝΕ. Ἐκακολόγησεν, ἐπέπλη-

ΟΦΡΑ. Ἕως ὅ, τίνος.
ΠΕΡ. Πόλις Ἑλλησπόντου· οἱ
κε.
ΜΕ. Ἐκπρεπὴς ἦν.

553. ΜΕ. Ἀμελήσομεν, ἐάσομεν.
554. ΕΝ. Ἐπιτρίψεται, οἷον ἐντρο-
πὴν ἐπὶ τὸ βέλτιον λαμβάνει.
555. ΟΙ. Ὁποῖον. ΠΕ. Περὶ τὰ
ὅπλα ἀχολῶν. ΕΠ. Ἐνεργοῦσιν, ἀχο-
λοῦνται.
556. ΑΠΟ. Ἀφεστῶτες πόρρω ἐκ δια-
στήματος.
557. ΑΚ. Κατὰ κεφαλῆς, ἀπὸ τῆς
ἀκροπόλεως.
558. ΑΙ. Ὑψηλήν. ΚΤΑ. Ἀναιρε-
θῆναι.
561. ΑΙ. Αἰδεῖσθε.
563. ΠΕ. Φοιτύουσαι.

‘ Φευγόντων δ᾽ ἔτ᾽ ἄρ κλέος ὄρνυται, ἔτε τις ἀλκή.’
Ὣς ἔφαθ᾽· οἱ δὲ καὶ αὐτοὶ ἀλέξασθαι μενέαινον· 565
Ἐν θυμῷ δὲ βάλοντο ἔπος· φράξαντο δὲ νῆας
Ἔρκεϊ χαλκείῳ· ἐπὶ δὲ Ζεὺς Τρῶας ἔγειρεν.
Ἀντίλοχον δ᾽ ἄτρυνε βοὴν ἀγαθὸς Μενέλαος·
‘ Ἀντίλοχ᾽, ἔτις σεῖο νεώτερος ἄλλος Ἀχαιῶν,
‘ Οὔτε ποσὶν θάσσων, ἔτ᾽ ἄλκιμος, ὡς σύ, μάχεσθαι· 570
‘ Εἴ τινά που Τρώων ἐξάλμενος ἄνδρα βάλῃθα.’
Ὣς εἰπὼν, ὁ μὲν αὖτις ἀπέσσυτο, τὸν δ᾽ ὀρόθυνεν·
Ἐκ δ᾽ ἔθορε προμάχων, καὶ ἀκόντισε δεξὶ φαεινῷ,
Ἀμφὶ ἑ παπτήνας· ὑπὸ δὲ Τρῶες κεκάδοντο,
Ἀνδρὸς ἀκοντίσσαντος· ὁ δ᾽, ἐκ ἄλιον βέλος ἧκεν, 575
Ἀλλ᾽ Ἰκετάονος υἱὸν ὑπέρθυμον Μελάνιππον,
Νισσόμενον πόλεμόνδε, βάλε στῆθος παρὰ μαζόν·
Δούπησεν δὲ πεσὼν, ἀράβησε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.
Ἀντίλοχος δ᾽ ἐπόρουσε, κύων ὡς, ὅστ᾽ ἐπὶ νεβρῷ
Βλημένῳ ἀΐξῃ, τόν τ᾽ ἐξ εὐνῆφι θορόντα 580
Θηρητὴρ ἐτύχησε βαλὼν, ὑπέλυσε δὲ γυῖα·
Ὣς ἐπὶ σοὶ, Μελάνιππε, θόρ᾽ Ἀντίλοχος μενεχάρμης,
Τεύχεα συλήσων· ἀλλ᾽ οὐ λάθεν Ἕκτορα δῖον,
Ὅς ῥά οἱ ἀντίος ἦλθε, θέων ἀνὰ δηϊοτῆτα.
Ἀντίλοχος δ᾽ οὐ μεῖνε, θοός περ ἐὼν πολεμιστὴς, 585
Ἀλλ᾽ ὅγ᾽ ἄρ᾽ ἔτρεσε, θηρὶ κακὸν ῥέξαντι ἐοικὼς,
Ὅς τε κύνα κτείνας, ἢ βεκόλον ἀμφὶ βόεσσι,
Φεύγει, πρίν περ ὅμιλον ἀολλισθήμεναι ἀνδρῶν·

564. ΟΡ. Ὥρμηται.
566. ΦΡΑΞ. Ἔφραξαν.
567. ΕΡ. Τῷ κύκλῳ τῶν ἀσπίδων, ταῖς ἀσπίσιν. ΕΓ. Παρώρμησε.
570. ΘΑΣ. Ταχύτερος.
571. ΕΙ. Εἴ τινα τῶν Τρώων.
574. ΚΕ.. Νῦν, ὑπεχώρησαν, διέστησαν.
579. ΝΕ. Νεογνῷ ἐλάφῳ.
580. ΕΥ. Ἐκ τῆς κοίτης. ΘΟ. Ὁρμῶντα.
581. ΕΤΥ. Κατεστοχάσατο.
586. ΕΤΡΕ. Μετὰ δείους ἔφυγε.
588. ΑΟΛ. Συναθροισθῆναι.

Ὡς τρέσε Νεςορίδης· ἐπὶ δὲ Τρῶές τε καὶ Ἕκτωρ
Ἠχῇ θεσπεσίῃ βέλεα ςονόεντα χέοντο· 590
Ἑτῆ δὲ μετασρεφθεὶς, ἐπεὶ ἵκετο ἔθνος ἑταίρων.
Γρῶες δὲ, λείξσιν ἐοικότες ὠμοφάγοισι,
Νηυσὶν ἐπεσσεύοντο, Διὸς δ᾽ ἐτέλειον ἐφετμάς·
Ὃς σφισιν αἰὲν ἔγειρε μένος μέγα, θέλγε δὲ θυμὸν
Αργείων, κ᾽ κῦδος ἀπαίνυτο· τοὺς δ᾽ ὀρόθυνεν. 595
Εκτορι γὰρ οἱ θυμὸς ἐβούλετο κῦδος ὀρέξαι
Πριαμίδῃ, ἵνα νηυσὶ κορωνίσι θεσπιδαὲς πῦρ
Εμβάλῃ ἀκάματον· Θέτιδος δ᾽ ἐξαίσιον ἀρὴν
Πᾶσαν ἐπικρήηνειε· τὸ γὰρ μένε μητιέτα Ζεὺς,
Νηὸς καιομένης σέλας ὀφθαλμοῖσιν ἰδέσθαι· 600
Εκ γὰ δὴ τῷ ἔμελλε παλίωξιν παρὰ νηῶν
Θησέμεναι Τρώων, Δαναοῖσι δὲ κῦδος ὀρέξαι.
Τὰ φρονέων, νήεσσιν ἔπι γλαφυρῇσιν ἔγειρεν
Ἕκτορα Πριαμίδην, μάλα περ μεμαῶτα καὶ αὐτόν.
Μαίνετο δ᾽, ὡς ὅτ᾽ Ἄρης ἐγχέσπαλος, ἢ ἐλοὸν πῦρ 605
Οὔρεσι μαίνηται, βαθέης ἐνὶ τάρφεσιν ὕλης·
Ἀφλοισμὸς δὲ περὶ ςόμα γίνετο, τὼ δέ οἱ ὄσσε
Λαμπέσθην βλοσυρῇσιν ὑπ᾽ ὀφρύσιν· ἀμφὶ δὲ πήληξ

590. ΧΕ. Ἔχειον, ἑτοίμως ἔρριπτον.
592. ΑΕΙ. Λύσσιν.
593. ΕΠΕ. Ἐφώρμησαν.
594. ΘΕΛ. Ἐγείρουσιν· ἠπάτα καὶ ἐπιρρητεῖτο τὴν τοῦ ἀμύνασθαι δύναμιν.
595. ΑΠΑΙ. Ἀφῃρεῖτο.
596. ΟΡΕΞ. Δῶναι, παραχρῆν.
597. ΘΕΣ. Τὸ ὑπὸ θεῶν ἀκαπόνμενον, θεῖον.
598. ΕΞ. Παρὰ τὸ καθῆκον γενομένην· μεγάλην· ἢ, ὅτι ἀγαθήν. ΑΡ. Ἱκεσίαν, εὐχήν. Ὁτὶ δὴ, βλάβην.
599. ΕΠΙ. Ἐπιτελίσειε.
600. ΣΕ. Λαμπηδόνα.
605. ΜΑΙ. Νῦν, σφοδρότερον ἐκινεῖτο, κ᾽ ἐνήργει ἐνθουσιαςικῶς. ΕΓ. Πολεμικὸς, τὸ ἔγχος πάλλων. ΟΛΟ. Ὀλόθριον.
606. ΤΑΡ. Τοῖς συκνώμασι. Οὐκ ἔςιν ἐπιθετικῶς, ὡς ὀξέσιν, ἀλλ᾽ ὡς βάλασιν· ἂν δ᾽ ἐπιθετικὸν ᾖ, ταρφέσιν, ὡς ὀξέσι· ταρφέσιν ὀϊςοῖς.
607. ΑΦ. Ὁ ἀφρισμός· καὶ Αἰτωλός. Λαμβάνεται δὲ καὶ πεποιημένως ἐπὶ ἰδιώματος ὕδατος ἤχου.
608. ΒΛΟ. Καταπληκτικαῖς. ΠΗ. Περικεφαλαία.

Σμερδαλέον κροτάφοισι τινάσσετο μαρναμένοιο
Ἕκτορος· αὐτὸς γάρ οἱ ἀπ' αἰθέρος ἦεν ἀμύντωρ 610
Ζεὺς, ὅς μιν πολέονεσσι μετ' ἀνδράσι μᾶνον ἐόντα
Τίμα καὶ κύδαινε· μινυνθάδιος γὰρ ἔμελλεν
Ἔσσεθ'· ἤδη γάρ οἱ ἐπώρνυε μόρσιμον ἦμαρ
Παλλὰς Ἀθηναίη ὑπὸ Πηλείδαο βίηφι·
Καί ῥ' ἔθελε ῥῆξαι κίχας ἀνδρῶν, πειρητίζων 615
Ἦ δὴ πλεῖστον ὅμιλον ὅρα καὶ τεύχε' ἄριστα·
Ἀλλ' ἠδ' ὡς δύνατο ῥῆξαι, μάλα περ μενεαίνων·
Ἴσχον γὰρ πυργηδὸν ἀρηρότες, ἠΰτε πέτρη
Ἠλίβατος, μεγάλη, πολιῆς ἁλὸς ἐγγὺς ἐοῦσα,
Ἥτε μένει λιγέων ἀνέμων λαιψηρὰ κέλευθα, 620
Κύματά τε τροφόεντα, τά τε προσερεύγεται αὐτήν·
Ὡς Δαναοὶ Τρῶας μένον ἔμπεδον, οὐδὲ φέβοντο.
Αὐτὰρ ὁ λαμπόμενος πυρὶ πάντοθεν ἔνθορ' ὁμίλῳ·
Ἐν δ' ἔπεσ', ὡς ὅτε πῦμα θοῇ ἐν νηῒ πέσῃσι
Λάβρον ὑπαὶ νεφέων ἀνεμοτρεφὲς, ἡ δέ τε πᾶσα 625
Ἄχνη ὑπεκρύφθη, ἀνέμοιο δὲ δεινὸς ἀήσης
Ἰσίῳ ἐμβρέμεται· τρομέουσι δέ τε φρένα ναῦται

609. ΤΙ. Ἐτινάσσετο, ἐσείετο.
613. ΕΠ. Ἐφώρμα, ἔπειμπε. ΜΟΡ. Εἱμαρμένον.
616. Η. Ὅπυ δή.
618. ΙΣ. Ἐπεῖχον, ἐκώλυον. ΠΥΡ. Πυκνῶς, ἀσφαλῶς, ἐν τάξει καὶ δίκην πύργου.
621. ΤΡΟ. Εὐτρεφῆ, μεγάλα, καὶ ηὐξημένα. ΠΡΟ. Μετὰ ἦχου φέρεται, πορόεισι. Κυρίως ᾗ ἐπὶ ὕδατος τίθεται ἡ λέξις.
623. ΛΑΜ. Ὑπὸ τῶν ὅπλων λαμπόμενος.
624. ΠΕ. Ἐμπέσῃ.
625. ΛΑ. Ἀθρόον, συνεχὲς, πολύ. ΥΠΑΙ. Ἀντὶ τοῦ, ἐκ νεφέων. ΑΝΕ. Ὑπὸ ἀνέμου ηὐξημένου, ὑψηλόν. Ὅταν δὲ τὸ Ἀγαμέμνονος ἔγχος ἀνεμοτρεφὲς φησὶ, ὥσπερ ἐν τῇ Δ. κεῖται ἀντὶ ἰσχυρόν. Τὰ γὰρ ὑπεύδια καὶ κατασκιαζόμενα τῷ ὕδατι, εὐγενῆ μὲ καὶ λεῖον τὴν ὄψιν ποιεῖ, ἀθεῖῃ δὲ καὶ μαλακὸν καὶ ἀγύμναστον ἀποδίδωσιν. Οἷς δὲ προσπίπτει τραχὺς ἀὴρ καὶ ἀνεμώδης, ταῦτα, ταῖς τῶν ἀνέμων τριβόμενα ποιαῖς, εὔτονον καὶ δύσθραυστον ἔχει τὴν στιβρότητα· ὡς φησὶ Πλούταρχος ἐν Μελέταις Ὁμηρικαῖς. Η. Ἡ ναῦς ἀλλοιοῦται ὑπὸ τοῦ ἄχνης ἐσκεπάσθη. Ἄχνη δὲ, τὸ ἀφρῶδες καὶ χορτῶδες τῆς θαλάσσης ἀπόβλημα.
626. ΔΕΙ. Χαλεπὸν ἀνέμου πνεῦμα.
627. ΕΜ. Ἐπηχεῖ, πνεῖ.

Δειδιότες· τυτθὸν γὰρ ὑπ' ἐκ θανάτοιο φέρονται·
Ὡς ἐδαΐζετο θυμὸς ἐνὶ ςήθεσσιν Ἀχαιῶν.
Αὐτὰρ ὅγ', ὥςε λέων ὀλοόφρων βυσὶν ἐπελθὼν, 630
Αἴ ῥά τ' ἐν εἰαμενῇ ἕλεος μεγάλοιο νέμονται
Μυρίαι, ἐν δέ τε τῇσι νομεὺς ἔπω σάφα εἰδὼς
Θηρὶ μαχέσσαθαι, ἕλικος βοὸς ἀμφὶ φονῇσιν·
Ἤτοι ὁ μὲν πρώτῃσι καὶ ὑςατίῃσι βόεσσιν
Αἰὲν ὁμοςιχάει, ὁ δέ τ' ἐν μέσσῃσιν ὀρέσας 635
Βῦν ἔδει, αἱ δέ τε πᾶσαι ὑπέτρεσαν· ὡς τότ' Ἀχαιοὶ
Θεσπεσίως ἐφόβηθεν ὑφ' Ἕκτορι καὶ Διὶ πατρὶ
Πάντες· ὁ δ' οἷον ἔπεφνε Μυκηναῖον Περιφήτην,
Κοπρῆος φίλον υἱὸν, ὃς Εὐρυθῆος ἄνακτος
Ἀγγελίης οἴχνεσκε βίῃ Ἡρακληείῃ· 640
Τοῦ γένετ' ἐκ πατρὸς πολὺ χείρονος υἱὸς ἀμείνων
Παντοίας ἀρετὰς, ἠμὲν πόδας, ἠδὲ μάχεσθαι,
Καὶ νόον ἐν πρώτοισι Μυκηναίων ἐτέτυκτο·
Ὅς ῥα τόθ' Ἕκτορι κῦδος ὑπέρτερον ἐγγυάλιξε.
Στρεφθεὶς γὰρ μετόπισθεν ἐν ἀσπίδος ἄντυγ' ἐπᾶλτο, 645

628. ΤΥΤ. Βραχὺ γάρ ἐςι τὸ διεῖργον αὐτοὺς τοῦ θανάτου διάςημα· ὅ ἐςι, παρ' ὀλίγον θνήσκουσιν, ἐγγὺς ὄντες τοῦ θανάτου.

629. ΕΔΑ. Διεμερίζετο, ἐκόπτετο.

630. ΟΛΟ. Ὀλέθρια καὶ δεινὰ φρονῶν.

631. ΕΙΑ. Ἐν καθύγρῳ καὶ πολύδενδρι χωρίῳ. ΕΛΕ. Ἕλος· ὅ ἐςι, συμφύτου καὶ ὑγρᾶ τόπου.

633. ΕΔΙ. Περὶ ἀπηρημένης βοός· ἤ, ὑπὲρ ἣ μὴ ἀναιρεθῆναι. Ἕλικος δὲ, ἤτοι μελαίνης, ἢ ἑλικοειδῆ κέρατα ἰσχούσης, ἢ τῆς ἐν ἕλει τεθραμμένης.

634. ΠΡΩ. Ἐν πρώταις καὶ ὑςάταις. Ὁ δὲ, καὶ, σύνδεσμος, ἀντὶ τοῦ, ἢ, ἀποζευκτικοῦ, κεῖται. Ὅπερ ἄμεινον· ἤ, ταῖς πρώταις ἢ ὑςάταις.

635. ΟΜΟ. Ἅμα πορεύεται, συμπαρακολουθεῖ.

636. ΕΔΕΙ. Βοθίει. ΥΠΕ. Ὑπὸ δέος ἔφυγον.

637. ΘΕΣ. Θείως.

639. ΚΟ. Κοπρέως. Οὗτος ᾖ ὁ Κοπρεὺς ἦν κήρυξ Εὐρυθέως, ᾧ ἡ Ἀργείων βασιλέως, ὃς τὰς παρ' ἐκείνου ἐντολὰς ἔλεγε τῷ Ἡρακλεῖ, τῶν ἄθλων ἕνεκα ἔξωθεν τῆς πόλεως μένοντι. Δεδοικὼς γὰρ αὐτὸν ὁ Εὐρυθεὺς, μὴ εἴα ἔνδον εἰσελθεῖν.

640. ΑΓ. Ἀγγελίας, ἀγγελία. ΟΙ. Παρεγένετο, ἐπορεύετο.

642. ΠΑΝ. Παντοδαπάς.

645. ΕΠ. Ἐπήλλατο καὶ ἐνεπλάκη τοῦ ἔξωθεν τῆς ἀσπίδος κύκλου.

Τὴν αὐτὸς φορέεσκε, ποδηνεκὲς ἕρκος ἀκόντων·
Τῇ ὄγ' ἐνιβλαφθεὶς, πέσεν ὕπτιος· ἀμφὶ δὲ πήληξ
Σμερδαλέον κονάβησε περὶ κροτάφοισι πεσόντος.
Ἕκτωρ δ' ὀξὺ νόησε, θέων δέ οἱ ἄγχι παρέστη,
Στήθεϊ δ' ἐν δόρυ πῆξε, φίλων δέ μιν ἐγγὺς ἑταίρων 650
Κτεῖν'· οἱ δ' οὐκ ἐδύναντο, καὶ ἀχνύμενοί περ ἑταίρῳ,
Χραισμεῖν· αὐτοὶ γὰρ μάλ' ἐδείδισαν Ἕκτορα δῖον.
Εἰσωποὶ δ' ἐγένοντο νεῶν, πεῖρ δ' ἔχεθον ἄκραι
Νῆες, ὅσαι πρῶται εἰρύατο· τοὶ δ' ἐπέχυντο.
Ἀργεῖοι δὲ νεῶν μὲν ἐχώρησαν καὶ ἀνάγκῃ 655
Τῶν προτέρων, αὐτῇ δὲ παρὰ κλισίῃσιν ἔμειναν
Ἀθρόοι, ἠδ' ἐκέδασθεν ἀνὰ στρατόν· ἴσχε γὰρ αἰδὼς,
Καὶ δέος· ἀζηχὲς γὰρ ὁμόκλεον ἀλλήλοισι.
Νέστωρ αὖτε μάλιστα Γερήνιος, ἦρος Ἀχαιῶν,
Λίσσεθ' ὑπὲρ τοκέων γενέμενος ἄνδρα ἕκαστον· 660
Ὦ φίλοι, ἀνέρες ἔστε, καὶ αἰδῶ θέσθ' ἐνὶ θυμῷ
Ἄλλων ἀνθρώπων· ἐπὶ δὲ μνήσασθε ἕκαστος
Παίδων, ἠδ' ἀλόχων, ἠ κτήσιος, ἠδὲ τοκήων,
Ἡμὲν ὅτεῳ ζώουσι, κ ᾧ κατατεθνήκασι.
Τῶν ὕπερ ἐνθάδ' ἐγὼ γονάζομαι οὐ παρεόντων, 665
Ἑστάμεναι κρατερῶς· μηδὲ τρωπᾶσθε φόβονδε.
Ὡς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου·

646. ΠΟ. Μέχρι τῶν ποδῶν διϊκνουμένη, μεγάλην.
653. ΕΙ. Ἐν ὄψει τὰς ναῦς ἐβλιπον· ἡ ἐστι, εἰσῆλθον εἰς αὐτάς· τυτέστιν, ὑπὸ τὴν στέγην αὐτῶν ἐγένοντο. ΠΕ. Περιέχον, περικάλυπτον. ΑΚ. Αἱ πρῶραι.
654. ΕΠΕ. Ἐπηνέχθησαν.
655. ΕΧΩ. Ὑπεχώρησαν.
656. ΠΡΟ. Τῶν πρώτων κ ἄκρων.
657. ΕΚΕ. Ἐχωρίσθησαν, ἐσκοπίσθησαν. ΑΙ. Αἰχύτη.
658. ΑΖΗ. Ἀδιάλειπτον. ΟΜΟ. Ἠπείλων, παρικιλεύοντο.
659. ΟΥ. Νῦν, φύλαξ.
660. ΓΟΥ. Ἱκετεύων.
663. ΚΤΗ. Κτήσεως.
664. ΟΤ. Ὅτινι.
665. ΠΑ. Οὐ παρόντων.
666. ΤΡΩ. Τρέπεσθε. γρ. Τρεπᾶσθαι.

Τοῖσι δ' ἀπ' ὀφθαλμῶν νέφος ἀχλύος ὦσεν Ἀθήνη
Θεσπέσιον· μάλα δέ σφι φόως γένετ' ἀμφοτέρωθεν,
Ἡμὲν πρὸς νηῶν, καὶ ὁμοιΐου πολέμοιο. 670
Ἕκτορα δ' ἐφράσσαντο βοὴν ἀγαθὸν, καὶ ἑταίρους,
Ἡμὲν ὅσοι μετόπισθεν ἀφέσσασαν, ἠδὲ ἐμάχοντο,
Ἠδὲ ὅσσοι παρὰ νηυσὶ μάχην ἐμάχοντο θοῇσιν·
Οὐδὲ ἄρ' ἔτ' Αἴαντι μεγαλήτορι ἤνδανε θυμῷ
Ἐσάμεν, ἔνθα περ ἄλλοι ἀφέσσασαν υἷες Ἀχαιῶν· 675
Ἀλλ' ὅγε νηῶν ἴκρι' ἐπώχετο, μακρὰ βιβάσθων,
Νώμα δὲ ξυσὸν μέγα ναύμαχον ἐν παλάμῃσι,
Κολλητὸν βλήτροισι, δυωκαιεικοσίπηχυ.
Ὡς δ' ὅτ' ἀνὴρ ἵππουσι κελητίζειν εὖ εἰδὼς,
Ὅς τ' ἐπεὶ ἐκ πολέων πίσυρας συναγείρεται ἵππους, 680
Σεύας ἐκ πεδίοιο μέγα προτὶ ἄστυ διώκει,
Λαοφόρον κατ' ὁδὸν, πολέες τέ ἑ θηήσαντο
Ἀνέρες, ἠδὲ γυναῖκες· ὁ δ' ἔμπεδον ἀσφαλὲς αἰεὶ
Θρώσκων ἄλλοτ' ἐπ' ἄλλον ἀμείβεται· οἱ δὲ πέτονται·
Ὡς Αἴας ἐπὶ πολλὰ θοάων ἴκρια νηῶν 685
Φοίτα, μακρὰ βιβὰς, φωνὴ δέ οἱ αἰθέρ' ἵκανεν.
Αἰεὶ δὲ σμερδνὸν βοόων Δαναοῖσι κέλευε,
Νηυσί τε καὶ κλισίῃσιν ἀμυνέμεν. Οὐδὲ μὲν Ἕκτωρ

668. ΑΧ. Σκοτίας.
670. ΟΜΟΙ. Τῷ ὁμοίως πᾶσιν ἐπιόντος, χαλεπῷ.
671. ΕΦΡ. Ἐθιάσαντο.
676. ΙΚΡΙ. Τὰ καταστρώματα τῶν νηῶν. Τὰ σανιδώματα. ΒΙ. Βαίνων.
677. ΝΩ. Νῦν, διίφιλον, ἐκίνει. ΞΥ. Ἐξυσμένον.
678. ΚΟΛ. Κεκολλημένον. ΒΛΗ. Τοῖς κατὰ τὰς ἁρμονίας κόμβοις, τοῖς ἐπιόροις.
679. ΚΕ. Ἵππον κίλητα ἐλαύνων. Κίλης, ὁ μονάμπυξ· παρὰ τὸ κίλλειν, τὸ βαδίζειν. Ὅθεν καὶ κίλευθος. Ἐπεὶ τὸ παλαιὸν, ὡς ἐπίπαν τοῖς ἅρμασιν ἐχρῶντο.
680. ΠΙ. Τέσσαρας. ΣΥΝ. Συλλέγεται.
681. ΣΕΥ. Ὁρμήσας.
682. ΛΑ. Λεωφόρον· δι' ἧς ὁ λεὼς ἔρχεται· ἤ ἐστιν, ὁ ὄχλος. ΘΗ. Μετὰ θαύματος εἶδον.
684. ΑΛ. Ἐν μέρει ἐπέρχεται· ὅ ἐστιν, ἄλλοτ' ἐπ' ἄλλον μεταβαίνει.
687. ΣΜΕΡ. Φοβερόν.

Πυλυδάμας· ἠ τοῦ μὲν ἀπήμβροτεν· ὁ γὰρ Ἀπόλλων
Εἴα Πάνθυ υἱὸν ἐνὶ προμάχοισι δαμῆναι·
Αὐτὰρ ὅγε Κροίσμυ σῆθος μέσον ὕτασε δυρί·
Δύπησεν δὲ πεσὼν, ὁ δ' ἀπ' ὤμων τεύχε' ἐσύλα.
Τόφρα δὲ τῷ ἐπόρυσε Δόλοψ, αἰχμῆς εὖ εἰδὼς, 525
Λαμπετίδης, ὃν Λάμπος ἐγείνατο, φέρτατος ἀνδρῶν,
Λαομεδοντιάδης, εὖ εἰδότα θύριδος ἀλκῆς·
Ὃς τότε Φυλείδαο μέσον σάκος ὕτασε δυρὶ,
Ἐγγύθεν ὁρμηθείς· πυκινὸς δέ οἱ ἤρκεσε θώρηξ,
Τόν ῥ' ἐφόρει γυάλοισιν ἀρηρότα· τόν ποτε Φυλεὺς 530
Ἤγαγεν ἐξ Ἐφύρης, ποταμοῦ ἄπο Σελλήεντος.
Ξεῖνος γάρ οἱ ἔδωκεν ἄναξ ἀνδρῶν Εὐφήτης,
Ἐς πόλεμον φορέεειν, δηΐων ἀνδρῶν ἀλεωρήν·
Ὃς οἱ ἠ τότε παιδὸς ἀπὸ χροὸς ἤρκεσ' ὄλεθρον.
Τοῦ δὲ Μέγης κόρυθος χαλκήρεος ἱπποδασείης 535
Κύμβαχον ἀκρότατον νύξ' ἔγχεϊ ὀξυόεντι,
Ῥῆξε δ' ἀφ' ἵππειον λόφον αὐτοῦ· πᾶς δὲ χαμᾶζε
Κάππεσεν ἐν κονίῃσι, νέον φοίνικι φαεινός.
Ἕως ὁ τῷ πολέμιζε μένων, ἔτι δ' ἤλπετο νίκην,
Τόφρα δέ οἱ Μενέλαος ἀρήϊος ἦλθεν ἀμύντωρ· 540
Στῆ δ' εὐρὰξ σὺν δυρὶ λαθὼν, βάλε δ' ὦμον ὄπισθεν·
Αἰχμὴ δὲ στέρνοιο διέσσυτο μαιμώωσα,

521. ΑΠ. Ἀφήμαρτεν, ἀπέτυχε.
525. ΔΟ. Νῦν, ὄνομα κύριον. ΑΙΧ. Πολεμικὸς, ἐμπειροπόλεμος.
529. ΠΥ. Πυκνὸς, ἠ ἀσφαλής. ΗΡ. Ἐβοήθησεν, ἀπέστρεψε.
530. ΓΥ. Ἐν ταῖς συναφαῖς τῶν κοιλωμάτων ἐπιμελῶς ἡρμοσμένον.
531. ΕΦ. Τῆς ἐν Ἤλιδι· ἣ νῦν καλεῖται Οἰνόη.
533. ΑΛΕ. Φυλακὴν, ἀσφάλειαν, ἄδειαν.
536. ΚΥΜ. Τὸ κάτακρον τῆς περικεφαλαίας, ἐν ᾧ ἐμβάλλει ὁ λόφος.
537. ΛΟ. Λόφος ἐστὶ ᾗ αὐτὸ τὸ ἐπανάστημα.
538. ΝΕ. Νεωστὶ φοινικῷ χρώματι βεβαμμένος· ὅ ἐστιν, ἐρυθρῷ τῷ αἵματι.
540. ΑΜΥΝ. Βοηθός.
541. ΕΥ. Ἐκ πλαγίου.
542. ΔΙ. Διεξῆλθε. ΜΑΙ. Ἐνθουσιωδῶς ὁρμῶσα.

Πρόσσω ἱεμένη· ὁ δ' ἄρα πρηνὴς ἐλιάσθη.
Τὼ μὲν ἐεισάσθην χαλκήρεα τεύχε' ἀπ' ὤμων
Συλήσειν· Ἕκτωρ δὲ κασιγνήτοισι κέλευε 545
Πᾶσι μάλα, πρῶτον δ' Ἰκεταονίδην ἐνένιπεν
Ἴφθιμον Μελάνιππον· ὁ δ' ὄφρα μὲν εἰλίποδας βοῦς
Βόσκ' ἐν Περκώτῃ, δηΐων ἀπονόσφιν ἐόντων·
Αὐτὰρ ἐπεὶ Δαναῶν νέες ἤλυθον ἀμφιέλισσαι,
Ἂψ εἰς Ἴλιον ἦλθε, μετέπρεπε δὲ Τρώεσσιν· 550
Ναῖε δὲ παρ Πριάμῳ· ὁ δέ μιν τίεν ἶσα τέκεσσι·
Τόν ῥ' Ἕκτωρ ἐνένιπεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
« Οὕτω δή, Μελάνιππε, μεθήσομεν; ἠδέ νύ σοί περ
« Ἐντρέπεται φίλον ἦτορ, ἀνεψιοῦ κταμένοιο;
« Οὐχ' ὁράας, οἷον Δόλοπος περὶ τεύχε' ἔπασιν; 555
« Ἀλλ' ἕπευ· οὐ γὰρ ἔτ' ἐστὶν ἀποσταδὸν Ἀργείοισι
« Μάρναθαι, πρίν γ' ἠὲ κατακτάμεν, ἠὲ κατ' ἄκρης
« Ἴλιον αἰπεινὴν ἑλέειν, κτάσθαι τε πολίτας.»
Ὡς εἰπὼν, ὁ μὲν ἦρχ', ὁ δ' ἅμ' ἕσπετο ἰσόθεος φώς.
Ἀργείους δ' ὤτρυνε μέγας Τελαμώνιος Αἴας· 560
« Ὦ φίλοι, ἀνέρες ἔστε, καὶ αἰδῶ θέσθ' ἐνὶ θυμῷ,
« Ἀλλήλους τ' αἰδεῖσθε κατὰ κρατερὰς ὑσμίνας·
« Αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι, ἠὲ πέφανται·

544. ΕΕΙ. Νῦν, ἐπῆλθοι, καὶ ὥρμησαν.

545. ΚΑ. Νῦν, πᾶσι τοῖς συγγενέσι. Σημείωσαι δὲ ὅτι καὶ τοὺς ἀνεψιοὺς κασιγνήτους ἐκάλει. Ὁ γὰρ Μελάνιππος ἀνεψιὸς ἦν Ἕκτορος. Ἀνεψιοὶ δέ εἰσιν οἱ τῶν ἀδελφῶν παῖδες· ὥσπερ Αἴας καὶ Ἀχιλλεὺς, ὁ μὲν Τελαμῶνος, ὁ δὲ Πηλέως.

546. ΕΝΕ. Ἐκακολόγησεν, ἐπέπληξεν.

547. ΟΦΡΑ. Ἕως ὅ, τέως.

548. ΠΕΡ. Πόλις Ἑλλησπόντου· οἱ δὲ, Θράκης.

550. ΜΕ. Ἐκπρεπὴς ἦν.

553. ΜΕ. Ἀμελήσομεν, ἰάσομεν.

554. ΕΝ. Ἐπιστρέφεται, οἷον ἐντροπὴν ἐπὶ τὸ βέλτιον λαμβάνει.

555. ΟΙ. Ὁποῖον. ΠΕ. Περὶ τὰ ὅπλα ἀχολῶν]. ΕΠ. Ἐνεργοῦσιν, ἀχολοῦνται.

556. ΑΠΟ. Ἀφεστῶτες πόρρω ἐκ διαστήματος.

557. ΑΚ. Κατὰ κεφαλῆς, ἀπὸ τῆς ἀκροπόλεως.

558. ΑΙ. Ὑψηλήν. ΚΤΑ. Ἀναιρεθῆναι.

561. ΑΙ. Αἰδεῖσθε.

563. ΠΕ. Φονεύονται.

‘ Φευγόντων δ᾽ ὅτ᾽ ἄρ κλέος ὄρνυται, ὅτε τις ἀλκή.’
Ὣς ἔφαθ᾽· οἱ δὲ καὶ αὐτοὶ ἀλέξασθαι μενέαινον· 565
Ἐν θυμῷ δὲ βάλοντο ἔπος· φράξαντο δὲ νῆας
Ἕρκεϊ χαλκείῳ· ἐπὶ δὲ Ζεὺς Τρῶας ἔγειρεν.
Ἀντίλοχον δ᾽ ἄτρυνε βοὴν ἀγαθὸς Μενέλαος·
‘ Ἀντίλοχ᾽, ὅτις σεῖο νεώτερος ἄλλος Ἀχαιῶν,
‘ Οὔτε ποσὶν θάσσων, ὅτ᾽ ἄλκιμος, ὡς σὺ, μάχεσθαι· 570
‘ Εἴ τινά που Τρώων ἐξάλμενος ἄνδρα βάλῃθα.’
Ὣς εἰπὼν, ὁ μὲν αὖτις ἀπέσσυτο, τὸν δ᾽ ὀρόθυνεν·
Ἐκ δ᾽ ἔθορε προμάχων, καὶ ἀκόντισε δυρὶ φαεινῷ,
Ἀμφὶ ἑ παπήνας· ὑπὸ δὲ Τρῶες κεκάδοντο,
Ἀνδρὸς ἀκοντίσσαντος· ὁ δ᾽ οὐχ ἅλιον βέλος ἧκεν, 575
Ἀλλ᾽ Ἰκετάονος υἱὸν ὑπέρθυμον Μελάνιππον,
Νισσόμενον πόλεμόνδε, βάλε στῆθος παρὰ μαζὸν·
Δούπησεν δὲ πεσὼν, ἀράβησε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.
Ἀντίλοχος δ᾽ ἐπόρουσε, κύων ὡς, ὅστ᾽ ἐπὶ νεβρῷ
Βλημένῳ ἀΐξῃ, τόν τ᾽ ἐξ εὐνῆφι θορόντα 580
Θηρητὴρ ἐτύχησε βαλὼν, ὑπέλυσε δὲ γυῖα·
Ὣς ἐπὶ σοὶ, Μελάνιππε, θόρ᾽ Ἀντίλοχος μενεχάρμης,
Τεύχεα συλήσων· ἀλλ᾽ οὐ λάθεν Ἕκτορα δῖον,
Ὅς ῥά οἱ ἀντίος ἦλθε, θέων ἀνὰ δηϊοτῆτα.
Ἀντίλοχος δ᾽ οὐ μεῖνε, θοός περ ἐὼν πολεμιστὴς, 585
Ἀλλ᾽ ὅγ᾽ ἄρ᾽ ἔτρεσε, θηρὶ κακὸν ῥέξαντι ἐοικὼς,
Ὅς τε κύνα κτείνας, ἢ βεκόλον ἀμφὶ βόεσσι,
Φεύγει, πρίν περ ὅμιλον ἀολλισθήμεναι ἀνδρῶν·

564. ΟΡ. Ὥρμηται.
566. ΦΡΑΞ. Ἔφραξαν.
567. ΕΡ. Τῷ κύκλῳ τῶν ἀσπίδων, πυκναῖς ἀσπίσιν. ΕΓ. Παρώρμησε.
570. ΘΑΣ. Ταχύτερος.
571. ΕΙ. Εἴ ποτε τῶν Τρώων.
574. ΚΕ. Νῶν, ὑπεχώρησαν, διέστησαν.
579. ΝΕ. Νεογνῷ ἐλάφῳ.
580. ΕΥ. Ἐκ τῆς κοίτης. ΘΟ. Ὁρμῶντα.
581. ΕΤΥ. Κατεσχάσατο.
586. ΕΤΡΕ. Μετὰ δίας ἔφυγε.
588. ΑΟΛ. Συναθροισθῆναι.

κέσε Νεςορίδης· ἐπὶ δὲ Τρῶές τε καὶ Ἕκτωρ
θεσπεσίῃ βέλεα ςονόεντα χέοντο· 590
ὶ μετασρεφθεὶς, ἐπεὶ ἵκετο ἔθνος ἑταίρων.
δὲ, λείβσιν ἐοικότες ὠμοφάγοισι,
ι ἐπεσσεύοντο, Διὸς δ᾽ ἐτέλειον ἐφετμάς·
ρισιν αἰὲν ἔγειρε μένος μέγα, θέλγε δὲ θυμὸν
ων, καὶ κῦδος ἀπαίνυτο· τὰς δ᾽ ὀρόθυνεν. 595
ι γὰρ οἱ θυμὸς ἐβούλετο κῦδος ὀρέξαι
ώδη, ἵνα πυσὶ κορωνίσι θεσπιδαὲς πῦρ
ίλῃ ἀκάματον· Θέτιδος δ᾽ ἐξαίσιον ἀρὴν
ν ἐπικρήνειε· τὸ γὰρ μένε μητιέτα Ζεὺς,
καιομένης σέλας ὀφθαλμοῖσιν ἰδέσθαι· 600
ὁ δὴ τὸ ἔμελλε παλίωξιν παρὰ νηῶν
ιεναι Τρώων, Δαναοῖσι δὲ κῦδος ὀρέξαι.
ρονέων, νήεσσιν ἔπι γλαφυρῇσιν ἔγειρεν
ρα Πριαμίδην, μάλα περ μεμαῶτα καὶ αὐτόν.
το δ᾽, ὡς ὅτ᾽ Ἄρης ἐγχέσπαλος, ἢ ὀλοὸν πῦρ 605
ι μαίνηται, βαθέης ἐνὶ τάρφεσιν ὕλης·
ισμὸς δὲ περὶ ςόμα γίνετο, τὼ δέ οἱ ὄσσε
έθην βλοσυρῇσιν ὑπ᾽ ὀφρύσιν· ἀμφὶ δὲ πήληξ

. ΧΕ. Ἕχιον, ἑτοίμως ἔρριπτον.
. ΛΕΙ. Λείψιν.
. ΕΠΕ. Ἐφώρμησαν.
. ΘΕΛ. Ἐγείτευσιν· ἠπάτα καὶ
ῖτο τὴν τοῦ ἀμύνασθαι δύνα-

. ΑΠΑΙ. Ἀφηρεῖτο.
. ΟΡΕΞ. Δῦναι, παραχεῖν.
. ΘΕΣ. Τὸ ὑπὸ θεῶν ἀναπλό-
ῖῶν.
. ΕΞ. Παρὰ τὸ καθῆκον γενο-
μεγάλην· ἢ, οὐκ ἀγαθήν. ΑΡ.
εὐχήν. Ὀτὶ δὴ, βλάβην.
. ΕΠΙ. Ἐπιτελίσειε.

600. ΣΕ. Λαμπηδόνα.
605. ΜΑΙ. Νῦν, σφοδρότερον κινεῖ-
το, καὶ ἐνήργει ἐνθουσιαςικῶς. ΕΓ. Πολε-
μικὸς, τὸ ἔγχος πάλλων. ΟΛΟ. Ὀλέ-
θριον.
606. ΤΑΡ. Τοῖς πυκνώμασι. Οὐκ
ἔςιν ἐπιθετικῶς, ὡς ὀξέσιν, ἀλλ᾽ ὡς βέλε-
σιν· ἂν δ᾽ ἐπιθετικὸν ᾖ, ταρφέσιν, ὡς
ὀξέσι· ταρφέσιν ὀϊςοῖς.
607. ΑΦ. Ὁ ἀφρισμὸς· καὶὰ Αἰτω-
λούς. Λαμβάνεται δὲ καὶ πεποιημένως
ἐπὶ ἰδιώματος ὕδατος ἤχου.
608. ΒΛΟ. Κατεπληκτικαῖς. ΠΗ.
Περικεφαλαία.

Σμερδαλέον κροτάφοισι τινάσσετο μαρναμένοιο
Ἕκτορος· αὐτὸς γάρ οἱ ἀπ' αἰθέρος ἦεν ἀμύντωρ · 610
Ζεὺς, ὅς μιν πολέονεσσι μετ' ἀνδράσι μῦνον ἐόντα
Τίμα καὶ κύδαινε· μινυνθάδιος γὰρ ἔμελλεν
Ἔσσεσθ'· ἤδη γάρ οἱ ἐπώρνυε μόρσιμον ἦμαρ
Παλλὰς Ἀθηναίη ὑπὸ Πηλείδαο βίηφι·
Καί ῥ' ἔθελε ῥῆξαι σίχας ἀνδρῶν, περιπτίζων 615
Ἦ δὴ πλεῖστον ὅμιλον ὅρα καὶ τεύχε' ἄριστα·
Ἀλλ' ἠδὴ, ὡς δύνατο ῥῆξαι, μάλα περ μενεαίνων·
Ἴχον γὰρ πυργηδὸν ἀρηρότες, ἠΰτε πέτρη
Ἠλίβατος, μεγάλη, πολιῆς ἁλὸς ἐγγὺς ἐοῦσα,
Ἥτε μένει λιγέων ἀνέμων λαιψηρὰ κέλευθα, 620
Κύματά τε τροφόεντα, τά τε προσερεύγεται αὐτήν·
Ὣς Δαναοὶ Τρῶας μένον ἔμπεδον, οὐδὲ φέβοντο.
Αὐτὰρ ὁ λαμπόμενος πυρὶ πάντοθεν ἔνθορ' ὁμίλῳ·
Ἐν δ' ἔπεσ', ὡς ὅτε πῦμα θοῇ ἐν νηῒ πέσῃσι
Λάβρον ὑπαὶ νεφέων ἀνεμοτρεφὲς, ἡ δέ τε πᾶσα 625
Ἄχνη ὑπεκρύφθη, ἀνέμοιο δὲ δεινὸς ἀήτης
Ἰσίῳ ἐμβρέμεται· τρομέουσι δέ τε φρένα ναῦται

609. ΤΙ. Ἐτινάσσετο, ἐσείετο.
613. ΕΠ. Ἐφώρμα, ἔπεμπε. ΜΟΡ. Εἱμαρμένον.
616. Ἦ. Ὅπου δή.
618. ΙΣ. Ἐπεῖχον, ἐκώλυον. ΠΥΡ. Πυκνῶς, ἀσφαλῶς, ἐν τάξει καὶ δίκην πύργου.
621. ΤΡΟ. Εὐτρεφῆ, μεγάλα, καὶ ηὐξημένα. ΠΡΟ. Μετὰ ἦχου φέρεται, πρόσεισι. Κυρίως ᾗ ἐπὶ ὕδατος τίθεται ἡ λέξις.
623. ΛΑΜ. Ὑπὸ τῶ ὅπλων λαμπόμενος.
624. ΠΕ. Ἐμπέσῃ.
625. ΛΑ. Ἀθρόον, συνεχὲς, πολύ. ΥΠΑΙ. Ἀντὶ τοῦ, ἐκ νεφέων. ΑΝΕ. Ὑπὸ ἀνέμου ηὐξημένου, ὑψηλόν. Ὅταν δὲ τὸ Ἀγαμέμνονος ἔγχος ἀνεμοτρεφὲς φησιν, ὥσπερ ἐν τῇ Λ. κεῖται ἀντὶ ἰσχυρόν. Τὰ γὰρ ὑπεύδια καὶ κατασκιαζόμενα τῷ δένδρων, εὐγενῆ μὲ καὶ λεῖον τὴν ἅρπηκα ποιεῖ, ἀδεινῆ ᾗ καὶ μαλακὸν καὶ ἀγύμναστον ἀναδίδωσιν. Οἷς δὲ προσπίπτει τραχὺς αὖρα καὶ ἀνεμώδης, ταῦτα, ταῖς τῶν ἀνέμων τριβόμενα πνοαῖς, εὔτονον καὶ δύσθραυστον ἔχει τὴν στερρότητα· ὡς φησι Πλούταρχος ἐν Μελέταις Ὁμηρικαῖς. Η. Ἡ ναῦς δηλονότι ὑπὸ τῆς ἄχνης ἐσκεπάθη. Ἄχνη ᾗ, τὸ ἀφρῶδες καὶ χορτῶδες τῆς θαλάσσης ἀπόβλημα.
626. ΔΕΙ. Χαλεπὸν ἀνέμου πνεῦμα.
627. ΕΜ. Συνεχεῖ, πυκνῇ.

Δειδιότες· τυτθὸν γὰρ ὑπ' ἐκ θανάτοιο φέρονται·
Ὣς ἐδαΐζετο θυμὸς ἐνὶ στήθεσσιν Ἀχαιῶν.
Αὐτὰρ ὅγ', ὥστε λέων ὀλοόφρων βωσὶν ἐπελθὼν, 630
Αἴ ῥά τ' ἐν εἰαμενῇ ἕλεος μεγάλοιο νέμονται
Μυρίαι, ἐν δέ τε τῇσι νομεὺς ἄπω σάφα εἰδὼς
Θηρὶ μαχέσσασθαι, ἕλικος βοὸς ἀμφὶ φονῇσιν·
Ἤτοι ὁ μὲν πρώτῃσι καὶ ὑστατίῃσι βόεσσιν
Αἰὲν ὁμοστιχάων, ὁ δέ τ' ἐν μέσσῃσιν ὀρώρας 635
Βῆν ἔδεα, αἱ δέ τε πᾶσαι ὑπέτρεσαν· ὣς τότ' Ἀχαιοὶ
Θεσπεσίως ἐφόβηθεν ὑφ' Ἕκτορι καὶ Διὶ πατρὶ
Πάντες· ὁ δ' οἷον ἔπεφνε Μυκηναῖον Περιφήτην,
Κοπρέος φίλον υἱὸν, ὃς Εὐρυσθῆος ἄνακτος
Ἀγγελίης οἴχνεσκε βίῃ Ἡρακληείῃ· 640
Τοῦ γένετ' ἐκ πατρὸς πολὺ χείρονος υἱὸς ἀμείνων
Παντοίας ἀρετὰς, ἠμὲν πόδας, ἠδὲ μάχεσθαι,
Καὶ νόον ἐν πρώτοισι Μυκηναίων ἐτέτυκτο·
Ὅς ῥα τόθ' Ἕκτορι κῦδος ὑπέρτερον ἐγγυάλιξε.
Στρεφθεὶς γὰρ μετόπισθεν ἐν ἀσπίδος ἄντυγ' ἐπᾶλτο, 645

628. ΤΥΤ. Βραχὺ γάρ ἐστι τὸ διεῖργον αὐτοὺς τοῦ θανάτου διάστημα· ὅ ἐστι, παρ' ὀλίγον θνήσκουσιν, ἐγγὺς ὄντες τοῦ θανάτου.

629. ΕΔΑ. Διεμερίζετο, ἐκόπτετο.

630. ΟΛΟ. Ὀλέθρια καὶ δεινὰ φρονῶν.

631. ΕΙΑ. Ἐν καθύγρῳ καὶ πολύδενδρῳ χωρίῳ. ΕΛΕ. Ἕλος· ὅ ἐστι, συμφύτου καὶ ὑγροῦ τόπου.

633. ΕΛΙ. Περὶ ἀνῃρημένης βοός· ἤ, ὑπὲρ ἣ μὴ ἀναιρεθῆναι. Ἕλικος δὴ, ἤτοι μελαίνης, ἢ ἑλικοειδῆ κέρατα ἰσχούσης, ἢ τῆς ἐν ἕλει τιθραμμένης.

634. ΠΡΩ. Ἐν πρώταις καὶ ὑστάταις. Ὁ δὲ, καὶ, σύνδεσμος, ἀντὶ τοῦ, ἢ, ἀλλοζευκτικῶς, κεῖται. Ὅπερ ἄμεινον· ἐν' ἤ, ταῖς πρώταις ἢ ὑστάταις.

635. ΟΜΟ. Ἅμα πορεύεται, συμπαρακολουθεῖ.

636. ΕΔΕΙ. Ἔδεα. ΥΠΕ. Ὑπὸ δέος ἔφυγον.

637. ΘΕΣ. Θείως.

639. ΚΟ. Κοπρέως. Οὗτος ὁ Κοπρεὺς ἦν κήρυξ Εὐρυσθέως, ὃς τὰς παρ' ἐκείνου ἐντολὰς ἔλεγε τῷ Ἡρακλεῖ, τῶν ἄθλων ἕνεκα ἔξωθεν τῆς πόλεως μένοντι. Δεδοικὼς γὰρ αὐτὸν ὁ Εὐρυσθεὺς, οὐκ εἴα ἔνδον εἰσιέναι.

640. ΑΓ. Ἀγγελίας, ἄγγελος. ΟΙ. Παριγένετο, ἐπορεύετο.

642. ΠΑΝ. Παντοδαπάς.

645. ΕΠ. Ἐπήλλετο καὶ ἐπεπλάκει τῷ ἔξωθεν τῆς ἀσπίδος κύκλῳ.

Τὴν αὐτὸς φορέεσκε, ποδηνεκὲς ἕρκος ἀκόντων·
Τῇ ὅγ' ἐνιβλαφθεὶς, πέσεν ὕπνιος· ἀμφὶ δὲ πήληξ
Σμερδαλέον κονάβησε περὶ κροτάφοισι πεσόντος.
Ἕκτωρ δ' ὀξὺ νόησε, θεῶν δέ οἱ ἄγχι παρέστη,
Στήθεϊ δ' ἐν δόρυ πῆξε, φίλων δέ μιν ἐγγὺς ἑταίρων 650
Κτεῖν'· οἱ δ' οὐκ ἐδύναντο, καὶ ἀχνύμενοί περ ἑταίρῳ,
Χραισμεῖν· αὐτοὶ γὰρ μάλ' ἐδείδισαν Ἕκτορα δῖον.
Εἰσωποὶ δ' ἐγένοντο νεῶν, περὶ δ' ἔχεθον ἄκραι
Νῆες, ὅσαι πρῶται εἰρύατο· τοὶ δ' ἐπέχυντο.
Ἀργεῖοι δὲ νεῶν μὲν ἐχώρησαν καὶ ἀνάγκη 655
Τῶν προτέρων, αὐτῷ δὲ παρὰ κλισίῃσιν ἔμειναν
Ἀθρόοι, ὐδ' ἐκέδασθεν ἀνὰ κρατόν· ἶχε γὰρ αἰδὼς,
Καὶ δέος· ἀζηχὲς γὰρ ὁμόκλεον ἀλλήλοισι.
Νέστωρ αὖτε μάλιστα Γερήνιος, ἦρος Ἀχαιῶν,
Λίσσετ' ὑπὲρ τοκέων γενέμενος ἄνδρα ἕκαστον· 660
"Ὦ φίλοι, ἀνέρες ἔστε, καὶ αἰδῶ θέσθ' ἐνὶ θυμῷ
"Ἄλλων ἀνθρώπων· ἐπὶ δὲ μνήσασθε ἕκαστος
"Παίδων, ἠδ' ἀλόχων, ἠ κτήσιος, ἠδὲ τοκήων,
"Ἡμὲν ὅτεῳ ζώουσι, κ' ᾧ κατατεθνήκασι.
"Τῶν ὕπερ ἐνθάδ' ἐγὼ γονάζομαι οὐ παρεόντων, 665
"Ἑστάμεναι κρατερῶς· μηδὲ τρωπᾶσθε φόβονδε."
Ὣς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου·

646. ΠΟ. Μέχρι τῶν ποδῶν διϊκνυμένην, μεγάλην.
653. ΕΙ. Ἐν ὄψει τὰς ναῦς ἔβλεπον· ὃ ἐστιν, εἰσῆλθεν εἰς αὐτάς· τυτέστιν, ὑπὸ τὴν στέγην αὐτῶν ἐγένοντο. ΠΕ. Περιέχον, περικαλύπτον. ΑΚ. Αἱ πρῶραι.
654. ΕΠΕ. Ἐπηνέχθησαν.
655. ΕΧΩ. Ὑπεχώρησαν.
656. ΠΡΟ. Τῶν πρώτων κ' ἄκρων.
657. ΕΚΕ. Ἐχωρίσθησαν, ἐσκορπίσθησαν. ΑΙ. Αἰχύνη.
658. ΑΖΗ. Ἀδιάλειπτον. ΟΜΩ. Ἠπείλων, παρεκελεύοντο.
659. ΟΥ. Νῦν, φύλαξ.
660. ΓΟΥ. Ἱκετεύων.
663. ΚΤΗ. Κτήσεως.
664. ΟΤ. Ὅτινι.
665. ΠΑ. Οὐ παρόντων.
666. ΤΡΩ. Τρέπεσθε. γρ. Τροπᾶσθαι.

Τοῖσι δ' ἀπ' ὀφθαλμῶν νέφος ἀχλύος ὦσεν Ἀθήνη
Θεσπέσιον· μάλα δέ σφι φόως γένετ' ἀμφοτέρωθεν,
Ἠμὲν πρὸς νηῶν, ἠδ' ὁμοιΐῃ πολέμοιο. 670
Ἕκτορα δ' ἐφράσσαντο βοὴν ἀγαθὸν, ἠδ' ἑταίρους,
Ἠμὲν ὅσοι μετόπισθεν ἀφέσασαν, ἠδ' ἐμάχοντο,
Ἠδ' ὅσσοι παρὰ νηυσὶ μάχην ἐμάχοντο θοῇσιν·
Οὐδ' ἄρ' ἔτ' Αἴαντι μεγαλήτορι ἤνδανε θυμῷ
Ἑστάμεν, ἔνθα περ ἄλλοι ἀφέσασαν υἷες Ἀχαιῶν· 675
Ἀλλ' ὅγε νηῶν ἴκρι' ἐπῴχετο, μακρὰ βιβάων,
Νώμα δὲ ξυστὸν μέγα ναύμαχον ἐν παλάμῃσι,
Κολλητὸν βλήτροισι, δυωκαιεικοσίπηχυ.
Ὡς δ' ὅτ' ἀνὴρ ἵπποισι κελητίζειν εὖ εἰδὼς,
Ὅς τ' ἐπεὶ ἐκ πολέων πίσυρας συναγείρεται ἵππους, 680
Σεύας ἐκ πεδίοιο μέγα προτὶ ἄστυ διώκει,
Λαοφόρον καθ' ὁδὸν, πολέες τέ ἑ θηήσαντο
Ἀνέρες, ἠδὲ γυναῖκες· ὁ δ' ἔμπεδον ἀσφαλὲς αἰεὶ
Θρώσκων ἄλλοτ' ἐπ' ἄλλον ἀμείβεται· οἱ δὲ πέτονται·
Ὡς Αἴας ἐπὶ πολλὰ θεάων ἴκρια νηῶν 685
Φοίτα, μακρὰ βιβὰς, φωνὴ δέ οἱ αἰθέρ' ἵκανεν.
Αἰεὶ δὲ σμερδνὸν βοόων Δαναοῖσι κέλευε,
Νηυσί τε καὶ κλισίῃσιν ἀμυνέμεν. Οὐδὲ μὲν Ἕκτωρ

668. ΑΧ. Σκοτίας.
670. ΟΜΟΙ. Τῷ ὁμοίως πᾶσιν ἐφιστάντος, χαλεπῷ.
671. ΕΦΡ. Ἐθεάσαντο.
676. ΙΚΡΙ. Τὰ κατεαγώματα τῶν πρῴων. Τὰ σανιδώματα. ΒΙ. Βαίνων.
677. ΝΩ. Νῦν, διόφιρεν, ἐκίνει. ΚΥ. Ἐξυσμένον.
678. ΚΟΛ. Κεκολλημένον. ΒΛΗ. Τοῖς κατὰ τὰς ἁρμονίας γόμφοις, τοῖς ἐπιτόνοις.
679. ΚΕ. Ἵππον κέλητα ἐλαύνων. Κέλης, ὁ μονάμπυξ· παρὰ τὸ κέλλειν, τὸ βαδίζειν. Ὅθεν καὶ κέλευθος. Ἐπεὶ τὸ παλαιὸν, ὡς ἐπίπαν τοῖς ἅρμασιν ἐχρῶντο.
680. ΠΙ. Τέσσαρας. ΣΥΝ. Συλλέγεται.
681. ΣΕΥ. Ὁρμήσας.
682. ΛΑ. Λεωφόρον· δι' ἧς ὁ λεὼς ἔρχεται· ἤ ἐστιν, ὁ ὄχλος. ΘΗ. Μετὰ θαύματος εἶδον.
684. ΑΛ. Ἐν μέρει ἐπέρχεται· ὅ ἐστιν, ἄλλοτ' ἐπ' ἄλλον μεθιζάνει.
687. ΣΜΕΡ. Φοβερόν.

Μίμνεν ἐνὶ Τρώων ὁμάδῳ πύκα θωρηκτάων·
Ἀλλ' ὥς τ' ὀρνίθων πετεηνῶν αἰετὸς αἴθων 690
Ἔθνος ἐφορμᾶται, ποταμὸν πάρα βοσκομενάων,
Χηνῶν, ἢ γεράνων, ἢ κύκνων δολιχοδείρων·
Ὣς Ἕκτωρ ἴθυσε νεὸς κυανοπρώροιο
Ἀντίος ἀΐξας· τὸν δὲ Ζεὺς ὦσεν ὄπιαθε
Χειρὶ μάλα μεγάλῃ, ὤτρυνε δὲ λαὸν ἅμ' αὐτῷ. 695
Αὖτις δὲ δριμεῖα μάχη παρὰ νηυσὶν ἐτύχθη·
Φαίης κ' ἀκμῆτας καὶ ἀτειρέας ἀλλήλοισιν
Ἄντεσθ' ἐν πολέμῳ· ὣς ἐσσυμένως ἐμάχοντο.
Τοῖσι δὲ μαρναμένοισιν ὅδ' ἦν νόος· ἤτοι Ἀχαιοὶ
Οὐκ ἔφασαν φεύξεσθαι ὑπ' ἐκ κακῆς, ἀλλ' ὀλέεσθαι· 700
Τρωσὶν δ' ἥλπετο θυμὸς ἐνὶ στήθεσσιν ἑκάστῃ
Νῆας ἐνιπρήσειν, κτενέειν θ' ἥρωας Ἀχαιούς.
Οἱ μὲν τὰ φρονέοντες ἐφέστασαν ἀλλήλοισιν.
Ἕκτωρ δὲ πρύμνης νεὸς ἥψατο ποντοπόροιο,
Καλῆς, ὠκυάλου, ἣ Πρωτεσίλαον ἔνεικεν 705
Ἐς Τροίην, ὀδ' αὖτις ἀπήγαγε πατρίδα γαῖαν·
Τοῦ περ δὴ περὶ νηὸς Ἀχαιοί τε Τρῶές τε
Δῄουν ἀλλήλους αὐτοσχεδόν· ὀδ' ἄρα τοίγε
Τόξων ἀϊκὰς ἀμφὶς μένον, ὀδέ τ' ἀκόντων,
Ἀλλ' οἵγ' ἐγγύθεν ἱσάμενοι, ἕνα θυμὸν ἔχοντες, 710
Ὀξέσι δὴ πελέκεσσι καὶ ἀξίνῃσι μάχοντο,

689. ΟΜΑ. Θορύβῳ, πλήθει.
690. ΑΙ. Διάπυρος, ὀξύς· ἢ, σφοδρὸς κατὰ τὴν πῖσιν· ἢ κ, μέλας.
691. ΕΘ. Πλῆθος.
693. ΚΥ. Κυανῷ τὴν πρῴραν κεχρισμένης.
695. ΧΕΙ. Δυνάμει.
696. ΔΡΙ. Ὀξεῖα, θερμή.
697. ΑΚ. Μὴ κεκοπωμένους, ἀπόνους.
698. ΑΝ. Συμβαλεῖν, ἀπαντῆσαι.
705. ΩΚΥ. Τῆς ταχέως πλεούσης. Ἐζήτηται δὲ, διὰ ποίαν αἰτίαν μόνην τὴν Πρωτεσιλάου παρίδωκε ναῦν καινομίσην. Ῥητέον, ὅτι ἠδέσθη τινὸς τῶν ζώντων ἐμπρῆσαι, μήπως ἀνανδρίαν αὐτοῦ τις δόξῃ καταγιγνώσκειν.
709. ΑΙ. Διώξεις, ὁρμάς. ΑΜ. Ἀντὶ τοῦ, περιέμενον.

Καὶ ξίφεσιν μεγάλοισι, καὶ ἔγχεσιν ἀμφιγύοισι.
Πολλὰ δὲ φάσγανα καλὰ, μελάνδετα, κωπήεντα,
Ἀλλὰ μὲν ἐκ χειρῶν χαμάδις πέσον, ἄλλα δ' ἀπ' ὤμων
Ἀνδρῶν μαρναμένων· ῥέε δ' αἵματι γαῖα μέλαινα. 715
Ἕκτωρ δὲ πρύμνηθεν ἐπεὶ λάβεν, οὐχὶ μεθίει,
Ἄφλαστον μετὰ χερσὶν ἔχων, Τρωσὶν δ' ἐκέλευεν·
'Οῖσετε πῦρ, ἅμα δ' αὐτοὶ ἀολλέες ὄρνυτ' ἀϋτήν·
Νῦν ἡμῖν πάντων Ζεὺς ἄξιον ἦμαρ ἔδωκε,
Νῆας ἑλεῖν, αἳ δεῦρο, θεῶν ἀέκητι, μολοῦσαι, 720
Ἡμῖν πήματα πολλὰ θέσαν, κακότητι γεροντες·
Οἵ μ', ἐθέλοντα μάχεσθαι ἐπὶ πρύμνῃσι νέεσσιν,
Αὐτόν τ' ἰσχανάασκον, ἐρητύοντό τε λαόν.
Ἀλλ' εἰ δή ῥα τότ' ἔβλαπτε φρένας εὐρυόπα Ζεὺς
Ἡμετέρας, νῦν αὐτὸς ἐποτρύνει καὶ ἀνώγει. 725
Ὣς ἔφαθ'· οἱ δ' ἄρα μᾶλλον ἐπ' Ἀργείοισιν ὄρουσαν·
Αἴας δ' οὐκέτ' ἔμιμνε, βιάζετο γὰρ βελέεσσιν·
Ἀλλ' ἀνεχάζετο τυτθὸν, ὀϊόμενος θανέεσθαι,
Θρῆνυν ἐφ' ἐπιαπόδην, λίπε δ' ἴκρια νηὸς εἴσης·
Ἔνθ' ἄρ' ὅγ' εἱστήκει δεδοκημένος· ἔγχεϊ δ' αἰεὶ 730
Τρῶας ἄμυνε νεῶν, ὅστις φέροι ἀκάματον πῦρ·
Αἰεὶ δὲ σμερδνὸν βοόων Δαναοῖσι κέλευεν·

713. ΜΕ. Σιδηρόδετα· ἢ μελαίνας λαβὰς ἔχοντα. Ἔστι γὰρ ἡ λαβὴ δισμός τις τῶν ξίφων.

717. ΑΦΛΑ. Τὸ λεγόμενον ἀκροστόλιον τῆς νεὼς πρύμνης. Καὶ εἴρηται κατὰ ἀντίφρασιν· εὔθλαστον γάρ ἐστι.

719. ΝΥΝ. Νῦν, ἀντὶ τοῦ, πάντων τῶν τολμηθέντων εἰς ἡμᾶς ἀξίαν ἀμοιβὴν παρέχει ἡμῖν ὁ Ζεὺς πρὸς τὸ ἑλεῖν τὰς ναῦς.

723. ΙΣ. Καθεῖχον, ἐκώλυον. ΕΡΗ. Κατείχοντο.

727. ΒΙΑ. Κατεπονεῖτο.

728. ΟΙ. Ὑπολαμβάνων.

729. ΘΡΗ. Ὑποπόδιον. Βέλτιον δὲ, θρῆνυν καλεῖσθαι ὑπὸ Ὁμήρου τὰς καθέδρας τῶν ἐρετῶν· ἀναχωρῶν γὰρ ἀπὸ τῆς νεὼς τῶν καταστρωμάτων, ἐπὶ ταύτας ἀφικνεῖται. Τινὲς δὲ, τόπον τῆς νεὼς, βάσιν ἔχοντα, ἐφ' ᾗ τὴν κυβερνήτην τὰς πόδας τιθέναι, ὃ καὶ ἐδώλιόν φασιν· ἄλλοι δὲ τὴν ὑποδεχομένην τὸν ἱστὸν τράπεζαν εἶπον· οἱ δ, διαβάθραν ἀπὸ νηὸς ἐπὶ νῆα. ΕΠ. Ἐπὶ ποδῶν τὸ μέγεθος ἔχοντα.

730. ΔΕ. Ἐπιτηρῶν.

731. ΑΜΥ. Ἤμυνεν.

‘Ὦ φίλοι, ἥρωες Δαναοὶ, θεράποντες Ἄρηος,
‘Ἀνέρες ἔστε, φίλοι, μνήσαθε δὲ θήριδος ἀλκῆς.
‘Ἠέ τινάς φαμεν εἶναι ἀοσσητῆρας ὀπίσσω; 735
‘Ἠέ τι τεῖχος ἄρειον, ὅ κ' ἀνδράσι λοιγὸν ἀμύναι;
‘Οὐ μέν τις ἀχεδόν ἐστι πόλις πύργοις ἀραρυῖα,
‘Ἣ κ' ἀπαμυναίμεθ', ἑτεραλκέα δῆμον ἔχοντες·
‘Ἀλλ' ἐν γὰ Τρώων πεδίῳ πύκα θωρηκτάων,
‘Πόντῳ κεκλιμένοι, ἑκὰς ἤμεθα πατρίδος αἴης· 740
‘Τῷ ἐν χερσὶ φόως, οὐ μειλιχίῃ πολέμοιο.’
Ἦ, καὶ μαιμώων ἔφεπ' ἔγχεϊ ὀξυόεντι·
Ὅστις δὲ Τρώων κοίλῃς ἐπὶ νηυσὶ φέροιτο
Σὺν πυρὶ κηλείῳ, χάριν Ἕκτορος ὀτρύναντος,
Τόνδ' Αἴας ἔτασκε, δεδεγμένος ὀξέϊ δουρί· 745
Δώδεκα δὲ προπάροιθε νεῶν αὐτοχεδὸν ἔτα.

735. ΑΟΣ. Βοηθός.

738. Ἠ. Δι' ἧς ἀμυνοίμεθα τὺς πολεμίους. ΕΤΕ. Δυνάμενον ὄχλον ἐν μέρει πρὸς τὰ κατεπειγόντα βοηθεῖν τοῖς κατεπιεσημένοις.

740. ΠΟΝ. Παρακεκλιμένοι τῇ θαλάσσῃ, περιεχόμενοι.

741. ΤΩ. Διὸ ἐν ταῖς χερσὶν ἡμῶν, καὶ τῷ μάχεσθαι, ἡ σωτηρία· οὐ γὰρ ἐν τῷ, μειλιχίους ἡμᾶς καὶ πραέις εἶναι τοῖς πολεμίοις· ὅ ἐστιν, ἔτις περὶ τὸν πόλεμον φιλανθρωπία. Τὸ δὲ ἑξῆς· οὐχ ἡ προσήνεια πολέμου οἰκεία, ἀλλ' εἰρήνης. Ἦ, ἐπὶ δοτικῆς πτώσεως· οὐκ ἐν τῷ πολεμεῖν προσηνῶς, ἡ ἐπιφάνεια τῆς σωτηρίας, ἀλλ' ἐν ταῖς χερσὶν ἡμῶν. ΜΕΙ. Ἀρίσταρχος, καὶ δοτικήν· ἵν' ᾖ ὁ λόγος· φῶς ἡμῖν ἐν ταῖς χερσίν ἐστιν, οὐκ ἐν τῇ μειλιχίᾳ τοῦ πολέμου. Ὁ δὲ Θρᾷξ φησίν· οὐκ ἔστιν ἡ προσήνεια πολέμου, ἀλλ' εἰρήνης.

742. ΜΑΙ. Μαιωδῶς, ἀκμαιοτέρως. ΕΦΕ. Ἐπεδίωκεν· ἢ, ἐπήρχετο.

744. ΚΗ. Καυστικῇ. ΧΑ. Εἰς χάριν τοῦ Ἕκτορος παρορμῶντος.

745. ΟΥ. Ἐκ χειρὸς ἐτίτρωσκε. ΔΕ. Ἐκδεχόμενος.

746. ΑΥ. Ἐκ τοῦ σύνεγγυς ἐτίτρωσκεν.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΙΛΙΑΔΟΣ Π.

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

ΠΑΤΡΟΚΛΩ διηθίντι Ἀχιλλεὺς ἐπιτρέπει τὴν ἑαυτοῦ πανοπλίαν ἀναλαβεῖν, καὶ τοὺς Μυρμιδόνας ἐξάγει ἐπὶ τὸν πόλεμον. Οἱ δὲ ἐξελθόντες, ἔτρεψαν τοὺς Τρῶας. Πάτροκλος μὲν Σαρπηδόνα τὸν Διὸς ἀναιρεῖ, τὸν παρήορον ἵππον δὲ Ἀχιλλέως ἀναλόντα, Πήδασον. Ἔπειτα δὲ Πάτροκλον Ἕκτωρ ἀναιρεῖ, πληγέντα πρότερον ὑπὸ Εὐφόρβου, Ἀπόλλωνος ἀφελομένου τὴν πανοπλίαν αὐτοῦ.

Πατρόκλεια.

Πῖ, Πάτροκλον ἔπεφνεν ἀρηΐον Ἕκτορος αἰχμή.

Ὣς οἱ μὲν περὶ νηὸς ἐϋσσέλμοιο μάχοντο·
Πάτροκλος δ' Ἀχιλῆϊ παρίστατο, ποιμένι λαῶν,
Δάκρυα θερμὰ χέων, ὥστε κρήνη μελάνυδρος,
Ἥτε κατ' αἰγίλιπος πέτρης δνοφερὸν χέει ὕδωρ.
Τὸν δὲ ἰδὼν ὤκτειρε ποδάρκης δῖος Ἀχιλλεὺς, 5
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Τίπτε δεδάκρυσαι, Πατρόκλεες, ἠΰτε κούρη
Νηπίη; ἤθ' ἅμα μητρὶ θέουσ' ἀνελέσθαι ἀνώγει,

3. ΘΕΡ. Νεαρὰ, πρόσφατα. ΧΕ. Κατατάζων. ΜΕ. Βαθεῖα, σκοτεινή. Τῷ γὰρ μελαίνεσθαι αἴτιον τὸ βάθος. Τὰ δὲ ἐξ ἐπιπολῆς ὕδατα λευκὰ, καθότι πλέον ταῖς τῷ ἡλίῳ ἀκτῖσι κατανγάζεται.

4. ΑΙ. Ὑψηλῆς· ἣν καὶ αἰξ ἀπολείπει διὰ τὸ πολὺ ὕψος, μάλιστα γὰρ ἡ αἰξ ἐν τοῖς κρημνοῖς βόσκεται. ΔΝΟ. Μίλαν.

5. ΩΚ. Ἡλίῃσι.

8. ΝΗ. Μικρὰ κόρη. ΘΕΟΥ. Τρέχουσα. ΑΝΕ. Ἀναλαβεῖν, βαστάσαι. ΑΝΩ. Παρικυλίετο, ἐθέλει.

‘ Εἰανῇ ἀπλομένη, καί τ᾽ ἐσσυμένην κατερύκει,
‘ Δακρυόεσσα δέ μιν ποτιδέρκεται, ὄφρ᾽ ἀνέληται· 10
‘ Τῇ ἴκελος, Πάτροκλε, τέρεν κατὰ δάκρυον εἴβεις.
‘ Ἠέ τι Μυρμιδόνεσσι πιφαύσκεαι, ἢ ἐμοὶ αὐτῷ;
‘ Ἠέ τιν᾽ ἀγγελίην Φθίης ἐξ ἔκλυες οἶος;
‘ Ζώειν μὰν ἔτι φασὶ Μενοίτιον, Ἄκτορος υἱὸν,
‘ Ζώει δ᾽ Αἰακίδης Πηλεὺς μετὰ Μυρμιδόνεσσι, 15
‘ Τῶν κε μάλ᾽ ἀμφοτέρων ἀκαχοίμεθα τεθνειώτων.
‘ Ἠὲ σύγ᾽ Ἀργείων ὀλοφύρεαι, ὡς ὀλέκονται
‘ Νηυσὶν ἔπι γλαφυρῇσιν, ὑπερβασίης ἕνεκα σφῆς;
‘ Ἐξαύδα, μὴ κεῦθε νόῳ, ἵνα εἴδομεν ἄμφω.᾽
Τὸν δὲ βαρυστενάχων προσέφης, Πατρόκλειος ἱππεῦ· 20
‘ Ὦ Ἀχιλεῦ, Πηλέος υἱὲ, μέγα φέρτατ᾽ Ἀχαιῶν,
‘ Μὴ νεμέσα· τοῖον γὰρ ἄχος βεβίηκεν Ἀχαιούς.
‘ Οἱ μὲν γὰρ δὴ πάντες, ὅσοι πάρος ἦσαν ἄριστοι,
‘ Ἐν νηυσὶν κέαται βεβλημένοι, ἰτάμενοί τε.
‘ Βέβληται μὲν ὁ Τυδείδης κρατερὸς Διομήδης· 25

9. ΕΙ. Τῇ πίπλῳ. Πέπλος ἁς ἐπιπολὺ τὸ γυναικεῖον ἱμάτιον· τὸ δὲ ἀνδρεῖον, χιτών. ΚΑ. Κατέχει σπουδάζουσαν αὐτήν.

10. ΠΟ. Προσβλέπει.

11. ΤΕ. Νῦν, ὑγρόν. ΚΑ. Καλαστάζεις, προχέεις.

12. ΠΙ. Ἐμφανίζεις, λέγεις.

14. ΜΕ. Αἰακὸς, ὁ Διὸς καὶ Αἰγίνης, γήμας Ἐνδηΐδα τὴν Χείρωνος θυγατέρα, ἔσχε δύο παῖδας, Πηλέα καὶ Τελαμῶνα. Μιγεὶς δ᾽ καὶ Ψαμμάθῃ, τῇ Νηρέως, γεννᾷ Φῶκον. Τοῦτον Πηλεὺς ἀποκτείνας, ἔφυγεν εἰς Μαγνησίαν τὴν Θεσσαλίας πρὸς Χείρωνα. Τελαμὼν δὲ, ἐν τῷ λόχῳ τοῦ Καλυδωνίου συὸς, ἀνελὼν ἀκουσίως καὶ αὐτὸς ἕνα τῶν συγκυνηγέτων, ἔφυγεν εἰς Σαλαμῖνα· καὶ γήμας Ἐρίβοιαν τὴν Ἀλκάθου, ἐγέννησεν Αἴαντα. Μενοίτιος δὲ, ἀποικίσας εἰς Ὀποῦντα, Πάτροκλον ἐτέκνωσεν. Ὁ δὲ, ἀποκτείνας καὶ αὐτὸς ἀκουσίως Ἀμφιδάμαντος παῖδα Κλησώνυμον, καὶ ἐπὶ τούτῳ φυγὼν εἰς Φθίαν πρὸς Πηλέα, κατὰ συγγένειαν, ἐπέμφθη παρ᾽ αὐτοῦ πρὸς Χείρωνα. Ὃς αὐτὸν μετ᾽ Ἀχιλλέως ἀνέθρεψεν. Ἡ ἱστορία παρὰ Φιλοστεφάνῳ.

15. ΑΙ. Αἰακοῦ υἱὸς, Πηλεύς.

16. ΑΚΑ. Ὑπὲρ ὧν ἀμφοτέρων λυπηθείημεν ἄν.

17. ΟΛΟ. Ὀδύρῃ, οἰκτείρεις.

18. ΣΦΗΣ. Τῆς ἰδίας.

22. ΒΕ. Βεβίαται, καταπεπόνηκε.

23. ΑΡΙ. Πρόμαχοι.

24. ΚΕΑ. Κεῖνται· ὅ ἐστιν, ἀργοί εἰσιν.

25. ΒΕ. Ἀντὶ τοῦ, ἐκ βολῆς τέτρωται. Ἐζήτηται δὲ, πῶς Πάτροκλος, περὶ Μαχάονος μηδὲν εἰπὼν, καταλαγὼν ποιεῖται τὸ τετρωμένων. Καὶ ῥητέον, ὡς

Οὕτασαι δ' Ὀδυσεὺς δυριχλυτὸς, ἠδ' Ἀγαμέμνων·
Βέβληται δὲ καὶ Εὐρύπυλος κατὰ μηρὸν ὀϊστῷ·
Τὼς μέν τ' ἰητροὶ πολυφάρμακοι ἀμφιπένονται,
Ἕλκε' ἀκειόμενοι· σὺ δ' ἀμήχανος ἔπλευ, Ἀχιλλεῦ·
Μὴ ἐμὲ γὼν ὄτός γε λάβοι χόλος, ὃν σὺ φυλάσσεις, 30
Αἰναρέτη· τί σευ ἄλλος ὀνήσεται ὀψίγονός περ,
Αἴ κε μὴ Ἀργείοισιν ἀεικέα λοιγὸν ἀμύνῃς;
Νηλεές· οὐκ ἄρα σοίγε πατὴρ ἦν ἱππότα Πηλεὺς,
Οὐδὲ Θέτις μήτηρ· γλαυκὴ δέ σε τίκτε θάλασσα,
Πέτραι τ' ἠλίβατοι, ὅτι τοι νόος ἐστὶν ἀπηνής. 35
Εἰ δέ τινα φρεσὶ σῇσι θεοπροπίην ἀλεείνεις,
Καί τινά τοι παρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ,
Ἀλλ' ἐμέ περ πρόες ὦχ', ἅμα δ' ἄλλον λαὸν ὄπασσον
Μυρμιδόνων, ἤν πέ τι φόως Δαναοῖσι γένωμαι.

βεβαιοῖ τὴν Ἀχιλλέως πρόληψιν, ἵνα εἰς ἕλιον κιτήσῃ παραλιπών. Λέγει δὲ περὶ ὧν μᾶλλον ἠγωνία.

26. ΟΥ. Ἐκ χειρὸς τέτρωται. ΔΟΥ. Ἔνδοξος περὶ τὸ δόρυ, πολεμικός.

28. ΑΜ. Περὶ αὐτὸν ἐνεργῶσιν, ἀχολῶνται.

29. ΑΚ. Θεραπεύοῖες τὰ ἕλκη. ΑΜΗ. Ἀκαμπὴς, ἀπροσμηχάνητος, πρὸς ὃν ὐδὲν ἐστι μηχανήσασθαι. ΕΠΛ. Ἐγένου.

31. ΑΙ. Ἐπὶ κακῷ τὴν ἀρετὴν κεκτημένε. Αἰνὸν γὰρ, τὸ κακόν. ΟΝ. Ἐκ σοῦ ὄψιον ἕξει, ὠφεληθήσεται. ΟΨΙ. Ὁ μετὰ πολὺν χρόνον ἰσόμενος, μεταγωνίστερος.

33. ΝΗ. Ἀνηλεέστατε, ὠμότατε.

34. ΓΛΑΥ. Ἡ γλαυκοειδὴς. Τοῦτο δέ φησι διὰ τὸ τῆς θαλάσσης ἐπικίνδυνον, καὶ ἀνηλεὲς, καὶ τῶν πετρῶν τὸ σκληρόν.

35. ΗΛΙ. Μεγάλαι, ὑψηλαί. ΝΟ. Ἀντὶ ὅ, ἡ ψυχή. ΑΠΗ. Χαλεπός.

36. ΘΕΟ. Θέτις, καταναγκασθεῖσα ὑπὸ Διὸς Πηλεῖ γαμηθῆναι, τὰ γεννώμενα παιδία εἰς πῦρ ἔβαλλε, νομίζουσα τὰς θνητὰς τῷ πυρὶ σάρκας καταφλέξειν, τὸ δὲ ἀθάνατον διαφυλάξειν. Οὕτως ἓξ παῖδας διέφθειρεν· ἕβδομον δὲ γενόμενον, Ἀχιλλέα, βάλλει ὁμοίως εἰς πῦρ. Θεασάμενος δὲ Πηλεὺς, ἀφήρπασε τὸν παῖδα, καὶ ἐνεγκὼν εἰς τὸ Πήλιον ὄρος, τρέφειν παρέδωκε Χείρωνι. Ὁ δὲ, λέοντων καὶ ἄρκτων μυελοῖς τρέφων, ἐκάλεσεν Ἀχιλλέα. Διδάξας δὲ τὴν ἰατρικὴν τέχνην, καὶ λυρικὴν, καὶ μουσικὴν, ἀπέδωκε τῷ πατρί. Ἀγανακτήσασα δὲ Θέτις, καὶ καταλιποῦσα τὴν Πηλέα, ἐχωρίσθη εἰς θάλασσαν. Στρατευομένου δὲ Ἀχιλλεῦ ἐπὶ Ἴλιον προειπεῖν, ὅτι πολεμῶν μὲν Τρωσὶ, ζωὴν ὀλιγοχρόνιον κτήσεται, πλείστην δὲ τὴν δόξαν· ἀπιόντος δὲ τῆς μάχης, ἄδοξον μὲν βίον, πολυχρόνιον δὲ, διάξει· ἃ μαθὼν Ἀχιλλεὺς, δόξαν αἰώνιον ζωῆς προσκαίρου προκρίνας, ἐστράτευσεν. Ἡ ἱστορία παρὰ Λυκόφρονι.

37. ΕΠΕ. Εἶπε.

38. ΠΡΟ. Πρόπεμψον. ΟΠΑΣ. Παράχω, δός.

‘ Δὸς δέ μοι ὤμοιϊν τὰ σὰ τεύχεα θωρηχθῆναι, 40
‘ Αἴ κ᾽ ἐμέ σοι ἴσκοντες ἀπόσχωνται πολέμοιο
‘ Τρῶες, ἀναπνεύσωσι δ᾽ ἀρήϊοι υἷες Ἀχαιῶν
‘ Τειρόμενοι· ὀλίγη δέ τ᾽ ἀνάπνευσις πολέμοιο.
‘ Ῥεῖα δέ κ᾽ ἀκμῆτες κεκμηότας ἄνδρας ἀϋτῇ
‘ Ὤσαιμεν ποτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων.’ 45
Ὣς φάτο λισσόμενος, μέγα νήπιος· ἦ γὰρ ἔμελλεν
Οἷ αὐτῷ θάνατόν τε κακὸν καὶ κῆρα λιτέσθαι.
Τὸν δὲ μέγ᾽ ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
‘ Ὦ μοι, διογενὲς Πατρόκλειες, οἷον ἔειπες·
‘ Οὔτε θεοπροπίης ἐμπάζομαι, ἥντινα οἶδα, 50
‘ Οὔτε τί μοι πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ·
‘ Ἀλλὰ τόδ᾽ αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει,
‘ Ὁππότε δὴ τὸν ὁμοῖον ἀνὴρ ἐθέλῃσιν ἀμέρσαι,
‘ Καὶ γέρας ἂψ ἀφελέσθαι, ὅ, τε κράτεϊ προβεβήκει·
‘ Αἰνὸν ἄχος τό μοί ἐστιν, ἐπεὶ πάθον ἄλγεα θυμῷ. 55
‘ Κούρην, ἣν ἄρα μοι γέρας ἔξελον υἷες Ἀχαιῶν,
‘ Δουρὶ δ᾽ ἐμῷ κτεάτισσα, πόλιν εὐτείχεα πέρσας,
‘ Τὴν ἂψ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων
‘ Ἀτρείδης, ὡσεί τιν᾽ ἀτίμητον μετανάστην.
‘ Ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν· ἐσθλὸ ἄρα πως ἦν 60
‘ Ἀσπερχὲς κεχολῶσθαι ἐνὶ φρεσίν· ἤτοι ἔφην γε

42. ΑΝΑΠ. Ἀναπαύσωνται.
43. ΟΛΙ. Προσληπτέον τὸ, ἐστὶν· ἀντὶ τοῦ, ὀλίγον καιρὸν ἀνάπαυσιν τοῦ πολέμου ἴδωσιν οἱ κεκμηκότες.
44. ΑΥ. Νῦν, μάχῃ.
46. ΝΗ. Νῦν, ἄφρων, καὶ ἀνόητος.
47. ΛΙ. Ἱκετεύειν, δεῖσθαι.
50. ΕΜ. Ἐπιστρέφομαι.
53. ΑΜΕΡ. Ἀποστερῆσαι, μερίσαι.
54. ΚΡΑ. Ὅστις τῷ κρατεῖν προέχει· ὅ ἐστιν, ἀξία τινὶ μείζονι.
55. ΤΟ. Διό μοι· ἢ, τοῦτό μοι.
56. ΕΞ. Ὡς ἐξαίρετον ἔδωκαν.
57. ΚΤΕ. Ἐκτησάμην.
59. ΑΤΙ. Ἄτιμον. ΜΕ. Μέτοικον, φυγάδα. Μέτοικοι ᾗ λέγονται οἱ καταλιπόντες τὴν ἰδίαν πόλιν, καὶ ἄλλην οἰκοῦντες.
60. ΠΡΟ. Προγεγονέναι, συμβάντα. ΠΩΣ. Οὐδαμῶς δυνατὸν ἦν.
61. ΑΣ. Ἀδιαλείπτως. ΚΕ. Ὀργίζεσθαι. ΗΤΟΙ. Καί τον ἐλογισάμην.

Οὐ πρὶν μηνιθμὸν καταπαυσέμεν, ἀλλ' ὁπότεαν δὴ
Νῆας ἐμὰς ἀφίκηται ἀϋτή τε, πόλεμός τε.
Τύνη δ' ὤμοιϊν μὲν ἐμὰ κλυτὰ τεύχεα δύθι,
Ἄρχε δὲ Μυρμιδόνεσσι φιλοπτολέμοισι μάχεσθαι, 65
Εἰ δὴ κυάνεον Τρώων νέφος ἀμφιβέβηκε
Νηυσὶν ἐπικρατέως· οἱ δὲ ῥηγμῖνι θαλάσσης
Κεκλίαται, χώρης ὀλίγην ἔτι μοῖραν ἔχοντες,
Ἀργεῖοι· Τρώων δὲ πόλις ἐπὶ πᾶσα βέβηκε,
Θάρσυνος· οὐ γὰρ ἐμῆς κόρυθος λεύσσουσι μέτωπον 70
Ἐγγύθι λαμπομένης· τάχα κεν φεύγοντες, ἐναύλους
Πλήσειαν νεκύων, εἴ μοι κρείων Ἀγαμέμνων
Ἤπια εἰδείη· νῦν δὲ κρατὸν ἀμφιμάχονται.
Οὐ γὰρ Τυδείδεω Διομήδεος ἐν παλάμῃσι
Μαίνεται ἐγχείη, Δαναῶν ἄπο λοιγὸν ἀμῦναι· 75
Οὐδέ πω Ἀτρείδεω ὀπὸς ἔκλυον αὐδήσαντος
Ἐχθρῆς ἐκ κεφαλῆς· ἀλλ' Ἕκτορος ἀνδροφόνοιο,
Τρωσὶ κελεύοντος, περιάγνυται· οἱ δ' ἀλαλητῷ
Πᾶν πεδίον κατέχουσι, μάχῃ νικῶντες Ἀχαιούς.
Ἀλλὰ σύ, ὦς, Πάτροκλε, νεῶν ἄπο λοιγὸν ἀμύνων 80

62. ΜΗ. Μῆνιν, ὀργήν. Παρασχηματισμὸς, ὁ τρόπος.

64. ΤΥ. Σύ. Δωρικῶς. ΔΥ. Ἔνδυθι.

66. ΕΙ. Ἐὰν δὴ τὸ τῶν Τρώων πλῆθος, ὡς νέφος, κατίσχῃ τὸν ναύσταθμον ἰσχυρῶς. Νῦν γὰρ λίγει νέφος τὸ τῶν στρατιωτῶν πλῆθος. Γράφεται καὶ, ἢ δὴ· ἵν' ᾖ, ἐν ᾧ τόπῳ τὸ τῶν πολεμίων πλῆθος ἀμετακίνητόν ἐστιν, ἐκεῖ αὐτὸς ἄρχε Μυρμιδόσι.

67. ΡΗ. Τῷ αἰγιαλῷ.

68. ΚΕΚ. Παρακέκλινται.

69. ΠΟ. Τὸ πλῆθος τῶν Τρώων. Πόλις γὰρ ἀκῶς λέγεται· ἥ τε κατασκευὴ τῶν οἰκοδομημάτων, καὶ τὸ κατοικοῦν πλῆθος. Πόλις ἂν ἀντὶ τοῦ, οἱ πολῖται· ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον.

70. ΘΑΡ. Ἀντὶ τοῦ, τεθαρρηκυῖα· προσηγόρια ἀντὶ μετοχῆς.

71. ΕΝΑ. Τοὺς διὰ στενοῦ ῥέοντας ποταμοὺς, διώρυχας. Διὰ δὲ τούτου προκατασκευάζει ὁ Ποιητὴς τὴν παρὰ τῷ ποταμῷ μάχην τὴν ἐν ῥαψ. Φ.

72. ΠΛΗ. Πληρώσειεν. ΕΙ. Εἰ προσηκής μοι καὶ εὔνους ὑπάρχει ὁ Ἀγαμέμνων.

74. ΟΥ. Οὐκ ἔτι γὰρ ἀριστεύει κατὰ τὸν πόλεμον ὁ Διομήδης, πρὸς τὸ ἀποτρέψαι τὰ κακὰ τῶν Ἑλλήνων.

75. ΜΑΙ. Δαιμονίως ἐνεργεῖ, ἐνθουσιᾷ.

76. ΟΠ. Φωνῆς.

78. ΠΕ. Περιῤῥήγνυται· ἐξ ὧν, παρεσχεῖ.

‘Ἔμπεσ᾽ ἐπικρατέως, μὴ δὴ πυρὸς αἰθομένοιο
‘Νῆας ἐνιπρήσωσι, φίλον δ᾽ ἀπὸ νόστον ἕλωνται.
‘Πείθεο δ᾽, ὥς τοι ἐγὼ μύθου τέλος ἐν φρεσὶ θείω,
‘Ὡς ἄν μοι τιμὴν μεγάλην καὶ κῦδος ἄρηαι
‘Πρὸς πάντων Δαναῶν· ἀτὰρ οἱ περικαλλέα κούρην 85
‘Ἀψ ἀπονάσσωσιν, πρὸς δ᾽ ἀγλαὰ δῶρα πόρωσιν·
‘Ἐκ νηῶν ἐλάσας, ἰέναι πάλιν· εἰ δέ κεν αὖ τοι
‘Δώῃ κῦδος ἀρέσθαι ἐρίγδουπος πόσις Ἥρης,
‘Μὴ σύγ᾽ ἄνευθεν ἐμεῖο λιλαίεσθαι πολεμίζειν
‘Τρωσὶ φιλοπτολέμοισιν· ἀτιμότερον δέ με θήσεις. 90
‘Μηδ᾽ ἐπαγαλλόμενος πολέμῳ καὶ δηϊοτῆτι,
‘Τρῶας ἐναιρόμενος, πρὸς Ἴλιον ἡγεμονεύειν·
‘Μή τις ἀπ᾽ Οὐλύμποιο θεῶν αἰειγενετάων
‘Ἐμβήῃ· μάλα τούς γε φιλεῖ ἑκάεργος Ἀπόλλων·
‘Ἀλλὰ πάλιν τρωπᾶσθαι, ἐπὴν φάος ἐν νήεσσι 95
‘Θήῃς, τοὺς δέ τ᾽ ἐᾷν πεδίον κάτα δηριάασθαι.
‘Αἰ γὰρ, Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη, καὶ Ἄπολλον,
‘Μήτε τις ἐν Τρώων θάνατον φύγοι, ὅσσοι ἔασι,
‘Μήτε τις Ἀργείων, νῶϊν δ᾽ ἐκδῦμεν ὄλεθρον·
‘Ὄφρ᾽ οἶοι Τροίης ἱερὰ κρήδεμνα λύωμεν.’ 100

86. ΑΠΟ. Εἰς τοῦτο ἀποκαταστήσωσιν, ἀποδώσωσιν. Διατὶ Ἀχιλλεὺς ἐπὶ καθαιρέσει Διομήδους μίμηται καὶ Ἀγαμέμνονος, καὶ ὀδυνοῦς ἄλλους; λέγων· Οὐ γὰρ Τυδείδεω Διομήδεος, Οὐδέ πω Ἀτρείδεω. Ῥητέον δὲ, ὅτι Ἀγαμέμνονος μὲ εἰκότως· ἦν γὰρ ἐχθρὸς αὐτοῦ· καὶ Διομήδης δὲ, διὰ λόγους ὑβριστικοὺς, ὃς εἰς αὐτὸν ἀπέρριψε μετὰ τὴν πρεσβείαν· λέγει γάρ· Μὴ ὄφελες λίσσεσθαι ἀμύμονα.

87. ΙΕ. Ἀντὶ τοῦ, ἴθι, καὶ παραγίνου.

89. ΑΙ. Προθυμεῖσθαι.

91. ΕΠΑ. Τιρτόμενος, χαίρων.

92. ΕΝΑΙ. Ἀντὶ τοῦ, ἐναίρων· ὅ ἐστι, φονεύων.

94. ΕΜ. Κατέλθοι· ὅ ἐστιν, ἐμποδὼν ἔστω, ἐμποδίσῃ.

95. ΤΡΩ. Εἰς τοῦτο ἀναστρέφοιο. ΦΑ. Ἀντὶ ᾖ, ἐπειδὰν σώσῃς τὰς ναῦς.

96. ΔΗ. Μάχεσθαι.

99. ΕΚ. Διαφύγοιμεν. ΝΩ. Ἀπαρέμφατόν ἐστιν· ἵν᾽ ᾖ, ἡμῖν τὸν ὄλεθρον ἐκδῦναι γένοιτο. Τοῦτο γὰρ λέγει.

100. ΚΡΗ. Νῦν, τὰ τείχη· μεταφορικῶς. Ἰδίως γὰρ κρήδεμνον καλεῖται τὸ τῆς κεφαλῆς κάλυμμα.

Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Αἴας δ' ἠκέτ' ἔμιμνε, βιάζετο γὰρ βελέεσσι·
Δάμνα μιν Ζηνός τε νόος, καὶ Τρῶες ἀγαυοὶ,
Βάλλοντες· δεινὴν δὲ περὶ κροτάφοισι φαεινὴ
Πήληξ βαλλομένη καναχὴν ἔχε· βάλλετο δ' αἰεὶ
Καπφάλαρ' εὐποίηθ'· ὁ δ' ἀριστερὸν ὦμον ἔκαμνεν,
Ἔμπεδον αἰὲν ἔχων σάκος αἰόλον· οὐδὲ δύναντο
Ἀμφ' αὐτῷ πελεμίξαι, ἐρείδοντες βελέεσσιν·
Αἰεὶ δ' ἀργαλέῳ ἔχετ' ἄσθματι· καδδέ οἱ ἱδρὼς
Πάντοθεν ἐκ μελέων πολὺς ἔρρεεν, οὐδέ πῃ εἶχεν
Ἀμπνεῦσαι· πάντῃ δὲ κακὸν κακῷ ἐστήρικτο.
Ἔσπετε νῦν μοι, Μοῦσαι, Ὀλύμπια δώματ' ἔχουσαι,
Ὅππως δὴ πρῶτον πῦρ ἔμπεσε νηυσὶν Ἀχαιῶν.
Ἕκτωρ Αἴαντος δόρυ μείλινον ἄγχι παρασὰς
Πλῆξ' ἄορι μεγάλῳ, αἰχμῆς παρὰ καυλὸν ὄπισθεν·
Ἀντικρὺ δ' ἀπάραξε· τὸ μὲν Τελαμώνιος Αἴας
Πῆλ' αὔτως ἐν χειρὶ κολὸν δόρυ· τῆλε δ' ἀπ' αὐτοῦ
Αἰχμὴ χαλκείη χαμάδις βόμβησε πεσοῦσα.
Γνῶ δ' Αἴας κατὰ θυμὸν ἀμύμονα, ῥίγησέν τε,
Ἔργα θεῶν, ὅ ῥα πάγχυ μάχης ἐπὶ μήδεα κείρει
Ζεὺς ὑψιβρεμέτης, Τρώεσσι δὲ βούλετο νίκην·
Χάζετο δ' ἐκ βελέων· τοὶ δ' ἔμβαλον ἀκάματον πῦρ

103. ΔΑΜ. Ἐδάμαζε.
105. ΚΑ. Ψόφον.
106. ΚΑΠ. Καὶ τὰ φάλαρα. Φάλαρα δέ εἰσι τὰ κῦ τὸ μέσον τῆς περικεφαλαίας μικρὰ ἀσπιδίσκια, ἅτινα κόσμου χάριν ἐντίθενται.
107. ΑΙΟ. Νῦν, ποικίλον.
108. ΕΡΕΙ. Ὠθοῦντες.
109. ΑΣΘ. Τῇ πολλῇ ἀναπνοῇ.
111. ΠΑΝ. Πανταχόθεν δὲ αὐτὸν περιστοίχησε τὰ κακά.
115. ΚΑΥ. Τὸ ἄκρον τοῦ δόρατος, τὸ εἰς τὴν ἐπιδορατίδα ἐμβαλλόμενον.
116. ΑΠΑ. Ἀπίκοψε.
117. ΠΗ. Ἐκράδαινεν, ἔσεισε. ΚΟ. Κολοβὸν, ἐστερημένον αἰχμῆς.
118. ΒΟΜ. Ἤχησε, ποιὸν ἦχον ἀπετίλεσε.
120. ΜΑ. Ἀντὶ τοῦ, τὰ τῶν μαχομένων ἐνθυμήματα ἐλατλοῖ· κατὰ μεταφορὰν τῶν κειρομένων.

Στήθεσιν ἄτρομός ἐστι, περιστένεται δέ τε γαστήρ·
Τοῖοι Μυρμιδόνων ἡγήτορες, ἠδὲ μέδοντες,
Ἀμφ' ἀγαθὸν θεράποντα ποδώκεος Αἰακίδαο
Ῥώοντ'· ἐν δ' ἄρα τοῖσιν ἀρήϊος ἵστατ' Ἀχιλλεὺς,
Ὀτρύνων ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας.
Πεντήκοντ' ἦσαν νῆες θοαὶ, ἧσιν Ἀχιλλεὺς
Ἐς Τροίην ἡγεῖτο Διὶ φίλος· ἐν δὲ ἑκάστῃ
Πεντήκοντ' ἔσαν ἄνδρες ἐπὶ κλῆισιν ἑταῖροι·
Πέντε δ' ἄρ' ἡγεμόνας ποιήσατο, τοῖς ἐπεποίθει,
Σημαίνειν· αὐτὸς δὲ μέγα κρατέων ἤνασσε.
Τῆς μὲν ἰῆς στιχὸς ἦρχε Μενέσθιος αἰολοθώρηξ,
Υἱὸς Σπερχειοῖο, διϊπετέος ποταμοῖο·
Τὸν τέκε Πηλῆος θυγάτηρ, καλὴ Πολυδώρη,
Σπερχειῷ ἀκάμαντι, γυνὴ θεῷ εὐνηθεῖσα·
Αὐτὰρ ἐπίκλησιν Βώρῳ, Περιήρεος υἱῖ,
Ὅς ῥ' ἀναφανδὸν ὄπυιε, πορὼν ἀπερείσια ἕδνα.
Τῆς δ' ἑτέρης Εὔδωρος ἀρήϊος ἡγεμόνευε
Παρθένιος, τὸν ἔτικτε χορῷ καλὴ Πολυμήλη,
Φύλαντος θυγάτηρ· τῆς δὲ κρατὺς Ἀργεϊφόντης

τος ἱρευγόμενοι τὴν ποιότητα τοῦ αἵματος.

163. ΠΕ. Περιστενοχωρεῖται, περισσῶς στενοῦται.

166. ΡΩ. Σπουδαίως ὥρμων.

167. ΑΣΠΙ. Ὁπλίτας, μαχητάς.

170. ΚΑΗ. Καθίδραις.

173. ΙΗΣ. Μιᾶς τάξεως. ΑΙΟ. Ποικίλον θώρακα ἔχων.

174. ΣΠΕΡ. Σπερχειὸς, ποταμὸς Θεσσαλίας. ΔΙ. Ἤτοι, ὑπὸ Διὸς πεπλικότος· διὰ τὸ ὑπὸ τῶ ὀμβρίων ὑδάτων πληροῦσθαι τοὺς χειμάῤῥους· ἢ, λαμφανοῦς.

175. ΤΟΝ. Ἐκ τίνος Πηλεὺς Πολυδώρη ἔχει; ὡς μὲν Σταφυλος ἐν γ' Θεσσαλικῶν, ἐξ Εὐρυδίκης, τῆς Ἀκτορος θυγατρός. Φερεκύδης δὲ, ἐξ Ἀντιγόνης, τῆς Εὐρυτίωνος. Ἄλλοι δὲ, ἐκ Δασσαμείας, τῆς Ἀλκμαίωνος.

177. ΕΠΙ. Κατ' ἐπίκλασιν δὲ, καὶ φήμην, Βώρῳ.

178. ΑΝΑ. Φανερῶς. ΟΠΥΙ. Κατὰ νόμον συνῴκει, ἐγεγαμήκει. ΠΟ. Παρανῶν.

180. ΠΑΡ. Ὁ ἐκ νομιζομένης παρθένου γεννηθείς, φθαρείσης λαθραίως. ΧΟ. Ἐν τῷ χορεύειν καλλίστη.

181. ΚΡΑ. Κρατερὸς, ἰσχυρός. ΑΡ. Ὁ Ἑρμῆς· ἀγγὸς, καὶ ἀργὸς, καὶ παθαρὸς φάος· εἰρηνικὸς γὰρ ὁ θεός.

Ἠράσατ', ὀφθαλμοῖσιν ἰδὼν μετὰ μελπομένῃσιν
Ἐν χορῷ Ἀρτέμιδος χρυσηλακάτου, κελαδεινῆς·
Αὐτίκα δ' εἰς ὑπερῷ' ἀναβὰς, παρελέξατο λάθρῃ
Ἑρμείας ἀκάκητα· πόρεν δέ οἱ ἀγλαὸν υἱὸν 185
Εὔδωρον, περὶ μὲν θείειν ταχὺν, ἠδὲ μαχητήν.
Αὐτὰρ ἐπειδὴ τόνγε μογοστόκος Εἰλείθυια
Ἐξάγαγε προφόωσδε, καὶ ἠελίου ἴδεν αὐγὰς,
Τὴν μὲν Ἐχεκλῆος κρατερὸν μένος Ἀκτορίδαο
Ἠγάγετο πρὸς δώματ', ἐπεὶ πόρε μυρία ἕδνα· 190
Τὸν δ' ὁ γερὼν Φύλας εὖ ἔτρεφεν, ἠδ' ἀτίταλλεν,
Ἀμφαγαπαζόμενος ὡσεί θ' ἑὸν υἱὸν ἐόντα.
Τῆς δὲ τρίτης Πείσανδρος ἀρήϊος ἡγεμόνευε
Μαιμαλίδης, ὃς πᾶσι μετέπρεπε Μυρμιδόνεσσιν,
Ἔγχεϊ μαρναθαι, μετὰ Πηλείωνος ἑταῖρον. 195
Τῆς δὲ τετάρτης ἦρχε γέρων ἱππηλάτα Φοῖνιξ·
Πέμπτης δ' Ἀλκιμέδων, Λαέρκεος υἱὸς ἀμύμων.
Αὐτὰρ ἐπειδὴ πάντας ἅμ' ἡγεμόνεσσιν Ἀχιλλεὺς
Στῆσεν ἐϋ κρίνας, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε·
Μυρμιδόνες, μήτις μοι ἀπειλάων λελαθέσθω, 200
Ἃς ἐπὶ νηυσὶ θοῇσιν ἀπειλεῖτε Τρώεσσι,

182. ΜΕΛ. Ἀδύσαις, χορευύσαις.

183. ΧΡΥ. Καλλιτόξου, ἢ, χρυσῷ τῷ βέλει χρωμένης. Ἡλακάτην γὰρ καλοῦσι τὸ βέλος, καὶ τὸ γυναικεῖον ἐργαλεῖον, ἐξ ὃ τὸ νῆμα ἕλκουσιν. Ὡς ἐκεῖ ὁ Ποιητής·

Ἡλακάτῃ τετάνυτο, ἰοδνεφὲς εἶρος ἔχουσα.

Καὶ τὸ ὑφαντίκιον, ὅταν λέγῃ·

Κάδδ' αὐτῇ λίνα χεῖον ἐπ' ἠλάκατῃ τανύσαντες.

ΚΕ. Κυνηγετικῆς. Παρὰ τὸ γίγνεσθαι ἐν τοῖς κυνηγίοις κέλαδον, ὅ ἐστι, θόρυβον ὅς τε καὶ ἐν θήρᾳ τοῦ Καλυδωνίου συός·

Ἡ δ' ἀμφ' αὐτῷ θῆκε πολὺν κέλαδον καὶ ἀυτήν.

185. ΑΚΑ. Ὁ μὴ δυνάμενος κακωθῆναι ὑπὸ ἑτέρου, μήτε δὲ κακῶσαι ἄλλον, διὰ τὴν οἰκείαν ἀρετήν· ὅθεν καὶ δοτὴρ ἐάων· ὅ ἐστιν, ἀγαθῶν.

187. ΜΟ. Μογοῦσα καὶ πονουμένη περὶ τὸν τόκον· οἷον λοχεύτρια.

188. ΠΡΟ. Εἰς τὸ φῶς, καὶ εἰς τὸ φανερόν. Περισσεύει ἡ πρό, πρόθεσις.

189. ΕΧΕ. Ἐχεκλῆς, Ἄκτορος παῖς.

191. ΑΤΙ. Μετ' ἐπιμελείας ἔτρεφε.

192. ΑΜ. Φιλοφρονούμενος, ἀγαπῶν.

199. ΕΥ. Διατάξας.

ʼ Πάνθ' ὑπὸ μηνιθμόν· καί μ' ἠτιάασθε ἕκαστος·
ʼ Σχέτλιε Πηλέος υἱὲ, χόλῳ ἄρα σ' ἔτρεφε μήτηρ·
ʼ Νηλεὲς, ὃς παρὰ νηυσὶν ἔχεις ἀέκοντας ἑταίρους·
ʼ Οἴκαδέ περ σὺν νηυσὶ νεώμεθα ποντοπόροισιν 205
ʼ Αὖτις, ἐπεί ῥά τοι ὧδε κακὸς χόλος ἔμπεσε θυμῷ.
ʼ Ταῦτά μ' ἀγειρόμενοι θάμ' ἐβάζετε· νῦν δὲ πέφανται
ʼ Φυλόπιδος μέγα ἔργον, ἔης τὸ πρίν γ' ἐράασθε·
ʼ Ἔνθα τις ἄλκιμον ἦτορ ἔχων Τρώεσσι μαχέσθω.
Ὡς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου· 210
Μᾶλλον δὲ στίχες ἄρθεν, ἐπεὶ βασιλῆος ἄκουσαν.
Ὡς δ' ὅτε τοῖχον ἀνὴρ ἀράρῃ πυκινοῖσι λίθοισι
Δώματος ὑψηλοῖο, βίας ἀνέμων ἀλεείνων·
Ὡς ἄραρον κόρυθές τε καὶ ἀσπίδες ὀμφαλόεσσαι·
Ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ· 215
Ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
Νευόντων· ὣς πυκνοὶ ἐφέστασαν ἀλλήλοισι.
Πάντων δὲ προπάροιθε δύ' ἀνέρε θωρήσσεσθον,
Πάτροκλός τε καὶ Αὐτομέδων, ἕνα θυμὸν ἔχοντες,
Πρόσθεν Μυρμιδόνων πολεμιζέμεν. Αὐτὰρ Ἀχιλλεὺς 220
Βῆ ῥ' ἴμεν ἐς κλισίην· κηλῷ δ' ἀπὸ πῶμ' ἀνέῳγε
Καλῆς, δαιδαλέης, τήν οἱ Θέτις ἀργυρόπεζα
Θῆκ' ἐπὶ νηὸς ἄγεσθαι, ἐὺ πλήσασα χιτώνων,
Χλαινάων τ' ἀνεμοσκεπέων, ἔλων τε ταπήτων.

202. ΠΑΝ. Ὑπὸ πάντα τὸν τῆς ὀργῆς χρόνον.
203. ΧΟ. Νῦν ἀντὶ τοῦ, χολῇ.
207. ΘΑΜ. Συνεχῶς ἐλέγετε.
208. ΦΥ. Τῆς κατὰ πλήθη μάχης. ΕΗΣ. Ἧς, ἥτινος. ΕΡΑ. Ἠρᾶδε, ἐπιθυμεῖτε.
211. ΑΡ. Ἡρμόσθησαν, ἐπυκνώθησαν ἑξιόντες.
212. ΑΡΑ. Ἁρμόσῃ.
216. ΦΑΥ. Ἔψαυον, ἥπτοντο. ΙΠ. Ἱππείας θριξὶ τὸ λόφον κομῶσαι. ΦΑ. Τοῖς τῆς περικεφαλαίας ἥλοις· οἵτινες ἀσπιδισκίοις παραπλήσιοί εἰσι.
221. ΧΗ. Κιβωτοῦ. ΑΝΕ. Ἀνώξεν.
224. ΑΝΕ. Σκέπην τινὰ ποιοῦντων διὰ τὸν ἄνεμον. ΟΥ. Τῶν δασέων, καὶ ἐχόντων ἐλότητα.

Ἔνθα δέ οἱ δέπας ἔσκε τετυγμένον, οὐδέ τις ἄλλος 225
Οὔτ' ἀνδρῶν πίνεσκεν ἀπ' αὐτῆς αἴθοπα οἶνον,
Οὔτε τέῳ σπένδεσκε θεῶν, ὅτε μὴ Διὶ πατρί.
Τό ῥα τότ' ἐκ χηλοῖο λαβὼν ἐκάθηρε θείῳ
Πρῶτον, ἔπειτα δὲ νίψ' ὕδατος καλῇσι ῥοῇσι·
Νίψατο δ' αὐτὸς χεῖρας, ἀφύσσατο δ' αἴθοπα οἶνον· 230
Εὔχετ' ἔπειτα στὰς μέσῳ ἕρκεϊ, λείβε δὲ οἶνον,
Οὐρανὸν εἰσανιδών· Δία δ' οὐ λάθε τερπικέραυνον·
Ζεῦ ἄνα, Δωδωναῖε, Πελασγικὲ, τηλόθι ναίων,
Δωδώνης μεδέων δυχειμέρου· ἀμφὶ δὲ Σέλλοι
Σοὶ ναίουσ' ὑποφῆται ἀνιπόποδες, χαμαιεῦναι. 235
Ἦ μὲν δή ποτ' ἐμὸν ἔπος ἔκλυες εὐξαμένοιο,
Τίμησας μὲν ἐμὲ, μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν·

225. ΕΣ. Ἦν, ἵκειτο.
227. ΤΕΩ. Οὔτε τινὶ ἄλλῳ.
228. ΤΟ. Τοῦτο δή. ΘΕ. Θείῳ.
231. ΜΕ. Μίσῃ τῇ σκηνῇ. ΛΕΙ. Ἔσαξιν, ἴσωνδε.
233. ΔΩ. Ἐν χωρίῳ τῶν Ὑπερβορέων, τῇ Δωδώνῃ, τιμάμενε. Τίς δέ ἐστιν ὁ Δωδωναίου Διὸς λόγος, καὶ ὁ τόπος, ἐξ οὗ αὐτὸν ἐπικαλεῖται ὕτως; Δευκαλίων, μετὰ τὸν ἐπ' αὐτοῦ γενόμενον κατακλυσμὸν, παραγενόμενος εἰς τὴν Ἤπειρον ἐμαντεύετο ἐν τῇ δρυΐ. Πελειάδος δὲ χρησμὸν αὐτῷ δόσης, κατοικίζει τὸν τόπον, συναθροίσας τοὺς περιλειφθέντας ἀπὸ τοῦ κατακλυσμοῦ· καὶ ἀπὸ τοῦ Διὸς, καὶ Δωδώνης, μιᾶς τῶν Ὠκεανίδων, Δωδώνην τὴν χώραν προσηγόρευσαν. Ἱστορεῖ Θραστύβουλος. ΠΕ. Θεσσαλικέ. Πελασγία γὰρ πρότερον ἡ Θεσσαλία ἐκαλεῖτο· ἐξ οὗ καὶ Πελασγικὸς, ὡς ὑπὸ Πελασγῶν τιμώμενος, ἐπεὶ Πελασγοὶ κατῴκησαν τὴν Δωδώνην, ἐκδληθέντες ἀπὸ Βοιωτίας παρὰ Αἰολέων ἐξ Ἄρνης τῆς Θεσσαλίας· ἡ μέντοι πόλις, Πελασγία.
234. ΜΕ. Βασιλεύων. ΔΥΣ. Τῆς κακὸν χειμῶνα ἰχούσης. ΣΕΛ. Ἔθνος Ἠπειρωτικὸν τῆς Θεσπρωτίας, κληθὲν ἀπὸ τῆς παραῤῥέοντος ποταμοῦ Σελλήεντος. Πίνδαρος δὲ Ἑλλοὺς αὐτοὺς κληθῆναί φησι, χωρὶς τοῦ πρώτου σ, ἀπὸ Ἑλλοῦ, τῆς Δρυτόμου, ὥς φασι, πρώτου καταδείξαντος τὸ μαντεῖον.
235. ΥΠΟ. Ὑπομάντεις, ἱερεῖς· ὅ ἐστι, χρησμῳδοὶ, θεολόγοι, προφῆται. Ὑποφήτας γὰρ λέγουσι, τοὺς περὶ τὰ χρηστήρια ἀσχολουμένους, καὶ τὰς μαντείας τὰς γιγνομένας ὑπὸ τῶν ἱερέων ἐκφέροντας. ΑΝΙ. Ἤτοι, βάρβαροι, σκληρῶς τε καὶ νομαδικῶς ζῶντες, ταύτην ἔχοντες δίαιταν, ὡς μηδὲ ἀπονίζεσθαι τοὺς πόδας, διὰ τὸ μὴ παραδέχεσθαι τὴν ἐκ τοῦ πρώτου βίου μεταβολήν· ἢ τοῦτο ἐκ τινος ἔθους ἐπὶ τιμῇ τοῦ θεοῦ ποιοῦντες. Ἔνιοι δὲ καὶ λουτρῶν ἀπέχονται, καὶ τοιαύτης ἐπιμελείας. Τινὲς δ' αὐτοὺς διὰ τοῦτο λέγουσιν ἀνιπόποδας, ὅτι οὐκ ἐξίασιν ἔξω τοῦ ἱεροῦ· διὸ ὅτι ἀπολέσθαι ἀνάγκην ἔχουσιν. Ἄνδρων δὲ ἐν ἱστορίαις φησὶν οὕτω κληθῆναι, ἐπεὶ, φιλοπόλεμοι ὄντες, οὕτως ἑαυτοὺς ἐσκληραγώγουν. Ἀλέξανδρος δέ φησιν ὁ Πλευρώνιος, ἔθνος εἶναι τοὺς Ἑλλοὺς ἀπόγονον Τυῤῥηνῶν, καὶ, διὰ πατρῴου ἔθους, ὅτω τὸν Δία θρησκεύειν. ΧΑ. Οἱ ἐπὶ τῶν ἰδάφους κοιμώμενοι.

᾽Ηδ᾽ ἔτι καὶ νῦν μοι τόδ᾽ ἐπικρήηνον ἐέλδωρ·
Αὐτὸς μὲν γὰρ ἐγὼ μενέω νηῶν ἐν ἀγῶνι,
᾽Αλλ᾽ ἕταρον πέμπω, πολέσιν μετὰ Μυρμιδόνεσσι, 240
Μάρναθαι· τῷ κῦδος ἅμα πρόες, εὐρύοπα Ζεῦ·
Θάρσυνον δέ οἱ ἦτορ ἐνὶ φρεσὶν, ὄφρα καὶ Ἕκτωρ
Εἴσεται, ἤ ῥα καὶ οἶος ἐπίσηται πολεμίζειν
᾽Ημέτερος θεράπων, ἤ οἱ τότε χεῖρες ἄαπτοι
Μαίνονθ᾽, ὁππότ᾽ ἐγὼ περ ἴω μετὰ μῶλον Ἄρηος. 245
Αὐτὰρ ἐπεί κ᾽ ἀπὸ ναῦφι μάχην ἐνοπήν τε δίηται,
᾽Ασκηθὴς μοι ἔπειτα θοὰς ἐπὶ νῆας ἵκοιτο,
Τεύχεσί τε ζὺν πᾶσι καὶ ἀγχεμάχοις ἑτάροισιν.᾽
Ὣς ἔφατ᾽ εὐχόμενος· τοῦ δ᾽ ἔκλυε μητιέτα Ζεύς·
Τῷ δ᾽ ἕτερον μὲν ἔδωκε πατὴρ, ἕτερον δ᾽ ἀνένευσε· 250
Νηῶν μέν οἱ ἀπώσαθαι πόλεμόν τε μάχην τε
Δῶκε, σόον δ᾽ ἀνένευσε μάχης ἐξ ἀπονέεσθαι.
Ἤτοι ὁ μὲν, σπείσας τε, καὶ εὐξάμενος Διὶ πατρὶ,
Ἂψ κλισίην εἰσῆλθε, δέπας δ᾽ ἀπέθηκ᾽ ἐνὶ κηλῷ·
Στῆ δὲ πάροιθ᾽ ἐλθὼν κλισίης, ἔτι δ᾽ ἤθελε θυμῷ 255
Εἰσιδέειν Τρώων καὶ ᾽Αχαιῶν φύλοπιν αἰνήν.
Οἱ δ᾽ ἅμα Πατρόκλῳ μεγαλήτορι θωρηχθέντες
Ἔσιχον, ὄφρ᾽ ἐν Τρωσὶ μέγα φρονέοντες ὄρωσαν.
Αὐτίκα δὲ σφήκεσσιν ἐοικότες ἐξεχέοντο
Εἰνοδίοις, οὓς παῖδες ἐριδμαίνουσιν ἔθοντες, 260
Αἰεὶ κερτομέοντες, ὁδῷ ἔπι οἰκί᾽ ἔχοντας,

239. ΑΓ. Ἐν τῷ ἀθροίσματι τῶν νηῶν, ἐν τῷ ναυσάθμῳ.
243. ΕΠΙ. Ἐπίσταται.
245. ΜΩ. Τὴν μάχην· ἀπὸ ΟΥ παρεκπομένου.
246. ΝΑΥ. Ἀπὸ τῶν νηῶν.
247. ΑΣ. Ἀβλαβὴς, ὑγιής.
248. ΑΓ. Συσάδην μαχομένοις, πολεμικοῖς.
259. ΣΦΗ. Σφηξὶν ὅμοιοι· διὰ τὸ θερμὸν αὐτῶν καὶ πληκτικόν. ΕΞΕ. Ἀθρόως ἐξίεσαν.
260. ΕΙ. Τοῖς ἐν τῇ ὁδῷ οἰκοῦσιν· ὅ ἐστι, φυλεύουσι, τοῖς τὴν σφηκίαν ἔχουσι παρὰ τὴν ὁδόν. ΕΡΙ. Ἐριδίζουσιν. ΕΘΟΝ. Συνεχῶς ἐξ ἔθους παραγιγνόμενοι, καὶ βλάπτοντες.
261. ΚΕΡ. Ἐριδίζοντες.

Νηπίαχοι· ξυνὸν δὲ κακὸν πολέεσσι τιθεῖσι·
Τὼς δ' εἴπερ παρά τίς τε κιὼν ἄνθρωπος ὁδίτης
Κινήσει ἀέκων, οἱ δ' ἄλκιμον ἦτορ ἔχοντες
Πρόσσω πᾶς πέτεται, καὶ ἀμύνει οἷσι τέκεσσι. 265
Τῶν τότε Μυρμιδόνες κραδίην καὶ θυμὸν ἔχοντες,
Ἐκ νηῶν ἐχέοντο· βοὴ δ' ἄσβεστος ὀρώρει.
Πάτροκλος δ' ἑτάροισιν ἐκέκλετο, μακρὸν ἀΰσας·
« Μυρμιδόνες, ἕταροι Πηληϊάδεω Ἀχιλῆος,
« Ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς· 270
« Ὡς ἂν Πηλείδην τιμήσομεν, ὃς μέγ' ἄριστος
« Ἀργείων παρὰ νηυσὶ, καὶ ἀγχέμαχοι θεράποντες·
« Γνῶ δὲ καὶ Ἀτρείδης, εὐρυκρείων Ἀγαμέμνων,
« Ἣν ἄτην, ὅτ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισεν.»
Ὣς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου· 275
Ἐν δ' ἔπεσον Τρώεσσιν ἀολλέες· ἀμφὶ δὲ νῆες
Σμερδαλέον κονάβησαν, ἀϋσάντων ὑπ' Ἀχαιῶν.
Τρῶες δ' ὡς εἶδοντο Μενοιτίου ἄλκιμον υἱὸν,
Αὐτὸν, καὶ θεράποντα, σὺν ἔντεσι μαρμαίροντας,
Πᾶσιν ὀρίνθη θυμὸς, ἐκίνηθεν δὲ φάλαγγες, 280
Ἐλπόμενοι παρὰ ναῦφι ποδώκεα Πηλείωνα
Μηνιθμὸν μὲν ἀπορρίψαι, φιλότητα δ' ἑλέσθαι·
Πάσσηνεν δὲ ἕκαστος, ὅπη φύγοι αἰπὺν ὄλεθρον.
Πάτροκλος δὲ πρῶτος ἀκόντισε δουρὶ φαεινῷ
Ἀντικρὺ κατὰ μέσσον, ὅθι πλεῖστοι κλονέοντο, 285
Νηῒ πάρα πρύμνῃ μεγαθύμου Πρωτεσιλάου·
Καὶ βάλε Πυραίχμην, ὃς Παίονας ἱπποκορυστὰς

262. ΝΗ. Νήπιοι, ἄφρονες.
263. ΠΑ. Τὸ ἰξῆς· παριών τις.
ΟΔΙ. Ὁδοιπόρος.
264. ΟΙ. Ἀκόλουθον ἦν εἰρηκέναι, τὸ ἄλκιμον.
283. ΑΙ. Χαλεπόν.
287. ΠΥ. Πεποίηται τὸ ὄνομα τοῦ γραπτηγοῦ, παρὰ τὸ πῦρ καὶ αἰχμὴν φέρειν ἐπὶ τῇ νηΐ.

Ἤγαγεν ἐξ Ἀμυδῶνος, ἀπ' Ἀξιοῦ εὐρὺ ῥέοντος·
Τὸν βάλε δεξιὸν ὦμον· ὁ δ' ὕπτιος ἐν κονίῃσι
Κάππεσεν οἰμώξας· ἕταροι δέ μιν ἀμφεφόβηθεν
Παίονες· ἐν γὰρ Πάτροκλος φόβον ἧκεν ἅπασιν,
Ἡγεμόνα κτείνας, ὃς ἀριστεύεσκε μάχεσθαι.
Ἐκ νηῶν δ' ἔλασεν, κατὰ δ' ἔσβεσεν αἰθόμενον πῦρ.
Ἡμιδαὴς δ' ἄρα νηὺς λίπετ' αὐτόθι· τοὶ δ' ἐφόβηθεν
Τρῶες θεσπεσίῳ ὁμάδῳ· Δαναοὶ δ' ἐπέχυντο
Νῆας ἀνὰ γλαφυράς· ὅμαδος δ' ἀλίαστος ἐτύχθη.
Ὡς δ' ὅτ' ἀφ' ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο
Κινήσει πυκινὴν νεφέλην στεροπηγερέτα Ζεὺς,
Ἐκ τ' ἔφανον πᾶσαι σκοπιαὶ καὶ πρώονες ἄκροι,
Καὶ νάπαι, ἐρανόθεν δ' ἄρ' ὑπερράγη ἄσπετος αἰθήρ·
Ὡς Δαναοὶ, νηῶν μὲν ἀπωσάμενοι δήϊον πῦρ,
Τυτθὸν ἀνέπνευσαν· πολέμου δ' οὐ γίνετ' ἐρωή·
Οὐ γάρ πώ τι Τρῶες ἀρηϊφίλων ὑπ' Ἀχαιῶν
Προτροπάδην φοβέοντο μελαινάων ἀπὸ νηῶν,
Ἀλλ' ἔτ' ἄρ' ἀνθίστεντο, νεῶν δ' ὑπόεικον ἀνάγκη.
Ἔνθα δ' ἀνὴρ ἕλεν ἄνδρα, κεδαθείσης ὑσμίνης,
Ἡγεμόνων· πρῶτος δὲ Μενοιτίου ἄλκιμος υἱὸς
Αὐτίκ' ἄρα στρεφθέντος Ἀρηϊλύκου βάλε μηρὸν
Ἐγχεϊ ὀξυόεντι, διὰ πρὸ δὲ χαλκὸν ἔλασσε·

290. ΑΜ. Ἑκατέρωθεν ἔφυγον.
291. ΠΑΙ. Ἔθνος ὅμορον Θρακῶν.
294. ΗΜΙ. Ἡμίκαυστος, ἡμίφλεκτος.
298. ΣΤΕ. Ἀστραπηκός.
299. ΠΡΩ. Αἱ προπετευκυῖαι τῶν ὀρῶν ἐξοχαί.
300. ΝΑ. Οἱ ὀρεινοὶ καὶ ἀναπεπταμένοι τόποι, οἱ σύμφυτοι. ΥΠ. Αἴφης δίλαμψιν αἴθριον. Ὁ δὲ λόγος· ξηρῇ ᾖ καὶ πυρρώδους πνεύματος περὶ τὴν παχύτητα τῶν νεφῶν ῥαγέντος ὑπὸ τ' ἐρανὸν, ἐξέλαμψιν αἰθὴρ· τυτέστιν, ἀστραπὴ ἐγίνετο. Διορῶνται ὅν, φησὶ, καὶ τοῦ αἰθέρος ἀστέρες, νεφέλης ῥαγείσης. ΥΠΕΡ. Διαφανὴς ἐγένετο. ΑΣ. Μίγιστος, πολὺς, καὶ ἀσύνοπτος.
302. ΕΡΩ. Νῦν ὁρμή. Ἔστι δ' ὅτε τὴν ἡσυχίαν καὶ ἀνάπαυσιν δηλοῖ.
304. ΠΡΟ. Ἐπειγμένως καὶ ὁλοχερῶς ἐκστρέψαντες τὰ νῶτα.
305. ΥΠΟ. Ἐξίστατο, ὑπεχώρει.
308. ΣΤΡΕ. Εἰς φυγὴν κλίναντες.

Ῥῆξεν δ' ὀστέον ἔγχος· ὁ δὲ πρηνὴς ἐπὶ γαίης 310
Κάππεσ'. Ἀτὰρ Μενέλαος ἀρήϊος ἔντα Θόαντα,
Στέρνον γυμνωθέντα παρ' ἀσπίδα· λῦσε δὲ γυῖα.
Φυλείδης δ' Ἀμφικλον ἐφορμηθέντα δοκεύσας,
Ἔφθη ὀρεξάμενος πρυμνὸν σκέλος, ἔνθα πάχιστος
Μυῶν ἀνθρώπου πέλεται, περὶ δ' ἔγχεος αἰχμὴ 315
Νεῦρα διεκίθη· τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε.
Νεστορίδαι δ', ὁ μὲν ἔταρ' Ἀτύμνιον ὀξέϊ δουρὶ
Ἀντίλοχος, λαπάρης δὲ διήλασε χάλκεον ἔγχος·
Ἤριπε δὲ προπάροιθε· Μάρις δ' αὐτοκασιγνήτοιο χολωθεὶς,
Ἀντιλόχῳ ἐπόρουσε, κασιγνήτοιο χολωθεὶς, 320
Στὰς πρόσθεν νέκυος· τοῦ δ' ἀντίθεος Θρασυμήδης
Ἔφθη ὀρεξάμενος, πρὶν ἐτάσαι, ἐδ' ἀφάμαρτεν,
Ὦμον ἄφαρ· πρυμνὸν δὲ βραχίονα δουρὸς ἀκωκὴ
Δρύψ' ἀπὸ μυώνων, ἀπὸ δ' ὀστέον ἄχρις ἄραξε·
Δόπησεν δὲ πεσὼν, κατὰ δὲ σκότος ὄσσ' ἐκάλυψεν. 325
Ὡς τὼ μὲν δοιοῖσι κασιγνήτοισι δαμέντε
Βήτην εἰς ἔρεβος, Σαρπηδόνος ἐσθλοὶ ἑταῖροι,
Υἷες ἀκοντισαὶ Ἀμισωδάρου· ὅς ῥα Χίμαιραν
Θρέψεν ἀμαιμακέτην, πολέσιν κακὸν ἀνθρώποισιν.
Αἴας δὲ Κλεόβουλον Ὀϊλιάδης ἐπορούσας 330
Ζωὸν ἕλε, βλαφθέντα κατὰ κλόνον· ἀλλά οἱ αὖθι
Λῦσε μένος, πλήξας ξίφει αὐχένα κωπήεντι.

314. ΕΦ. Ἔφθασε, προίλαβεν. ΟΡΕΞ. Νῦν, ἱφικόμενος καὶ πλήξας ἐκ χειρός. ΠΡΥΜ. Τὸ ἔσχατον μέρος τοῦ σκέλους. ΠΑ. Παχύς.

315. ΜΥ. Ἡ γαστροκνημία· ἥτις συνέστηκεν ἐκ πολλῶν νεύρων καὶ συνεσταλμένων σαρκῶν.

319. ΑΥ. Ἑτοίμως, παραχρῆμα. Μᾶλλον δὲ, ἀγχόθεν.

322. ΟΡΕΞ. Ἐπὶ τὸ παταξαι ὁρμήσας.

323. ΠΡΥΜ. Τὸ ἀκρότατον τοῦ βραχίονος.

324. ΔΡΥ. Ἀπέσυρεν ἀπὸ τῶν μυῶν. ΑΡ. Ἀπέχισε δὲ τὴν σάρκα ἄχρι τοῦ ὀστοῦ.

327. ΕΡ. Σκότος.

331. ΒΛΑ. Ἐμπεδαλίντα.

Πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι· τὸν δὲ κατ' ὄσσε
Ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.
Πηνέλεως δὲ Λύκων τε συνέδραμον· ἔγχεσι μὲν γὰρ
Ἤμβροτον ἀλλήλων, μέλεον δ' ἠκόντισαν ἄμφω·
Τὼ δ' αὖτις ξιφέεσσι συνέδραμον· ἔνθα Λύκων μὲν
Ἱπποκόμου κόρυθος φάλον ἤλασεν, ἀμφὶ δὲ κωλὸν
Φάσγανον ἐρραίσθη· ὁ δ' ὑπ' ἔατος ἀυχένα θεῖνε
Πηνέλεως, πᾶν δ' εἴσω ἔδυ ξίφος, ἔρχεθε δ' οἶον
Δέρμα· παρηέρθη δὲ κάρη, ὑπέλυντο δὲ γυῖα.
Μηριόνης δ' Ἀκάμαντα, κιχεὶς ποσὶ καρπαλίμοισι,
Νύξ', ἵππων ἐπιβησόμενον, κατὰ δεξιὸν ὦμον·
Ἤριπε δ' ἐξ ὀχέων, κατὰ δ' ὀφθαλμῶν κέχυτ' ἀχλύς.
Ἰδομενεὺς δ' Ἐρύμαντα κατὰ στόμα νηλέϊ χαλκῷ
Νύξε· τὸ δ' ἀντικρὺ δόρυ χάλκεον ἐξεπέρησε
Νέρθεν ὑπ' ἐγκεφάλοιο· κέασσε δ' ἄρ' ὀστέα λευκά·
Ἐκ δὲ τίναχθεν ὀδόντες· ἐνέπλησθεν δέ οἱ ἄμφω
Αἵματος ὀφθαλμοί· τὸ δ' ἀνὰ στόμα καὶ κατὰ ῥῖνας
Πρῆσε χανών· θανάτου δὲ μέλαν νέφος ἀμφεκάλυψεν.
Οὗτοι ἄρ' ἡγεμόνες Δαναῶν ἕλον ἄνδρα ἕκαστος.
Ὡς δὲ λύκοι ἄρνεσσιν ἐπέχραον, ἢ ἐρίφοισι,
Σίνται, ὑπ' ἐκ μήλων αἱρεύμενοι, αἴτ' ἐν ὄρεσσι
Ποιμένος ἀφραδίῃσι διέτμαγεν· οἱ δὲ ἰδόντες
Αἶψα διαρπάζουσιν ἀνάλκιδα θυμὸν ἐχόντας·

333. ΥΠΕ. Ἐβαπτίσθη.
334. ΠΟ. Μέλας, σκοτεινός.
336. ΜΕ. Ματαίως.
337. ΣΥ. Ἐκ τοῦ σύνεγγυς ἐμαχέσθησαν.
339. ΕΡ. Διεφθάρη, ἐκλάσθη.
340. ΕΔΥ. Κατὰ βάθους εἰσῆλθε. ΕΣ. γρ. Ἔχεσθε δ' οἶον.
341. ΠΑΡ. Παρηνέχθη, παρεκρεμάσθη.
347. ΝΕΡ. Ὑπὸ τὸ ἐγκέφαλον. ΚΕ. Συνέτριψε, περιέχισε.
350. ΠΡΗ. Ἐξεφύσησε, μετὰ πνεύματος ἐξέδωκεν.
352. ΕΠΕ. Μετὰ βίας ἐπλήσθησαν, ἐφώρμησαν.
353. ΣΙΝ. Βλαπτικοί. ΥΠ. Ὑφαιρούμενοι τὰ λυπαρὰ τῶν βοσκημάτων.

Ὣς Δαναοὶ Τρώεσσιν ἐπέχραον· οἱ δὲ φόβοιο
Δυσκελάδου μνήσαντο, λάθοντο δὲ θούριδος ἀλκῆς.
Αἴας δ' ὁ μέγας αἰὲν ἐφ' Ἕκτορι χαλκοκορυσῇ
Ἴετ' ἀκοντίσσαι· ὁ δὲ ἰδρείῃ πολέμοιο,
Ἀσπίδι ταυρείῃ κεκαλυμμένος εὐρέας ὤμους, 360
Σκέπτετ' ὀϊστῶν τε ῥοῖζον καὶ δοῦπον ἀκόντων.
Ἦ μὲν δὴ γίγνωσκε μάχης ἑτεραλκέα νίκην·
Ἀλλὰ καὶ ὣς ἀνέμιμνε, σάω δ' ἐρίηρας ἑταίρους.
Ὡς δ' ὅτ' ἀπ' Οὐλύμπου νέφος ἔρχεται οὐρανὸν εἴσω,
Αἰθέρος ἐκ δίης, ὅτε τε Ζεὺς λαίλαπα τείνει· 365
Ὣς τῶν ἐκ νηῶν γένετο ἰαχή τε φόβος τε·
Οὐδὲ κατὰ μοῖραν πέραον πάλιν· Ἕκτορα δ' ἵπποι
Ἔκφερον ὠκύποδες σὺν τεύχεσι· λεῖπε δὲ λαὸν
Τρωϊκὸν, οὓς ἀέκοντας ὀρυκτὴ τάφρος ἔρυκε.
Πολλοὶ δ' ἐν τάφρῳ ἐρυσάρματες ὠκέες ἵπποι 370
Ἄξαντ' ἐν πρώτῳ ῥυμῷ λίπον ἄρματ' ἀνάκτων·
Πάτροκλος δ' ἕπετο, σφεδανὸν Δαναοῖσι κελεύων,
Τρωσὶ κακὰ φρονέων· οἱ δὲ ἰαχῇ τε φόβῳ τε
Πάσας πλῆσαν ὁδοὺς, ἐπεὶ ἂρ τμάγεν· ὕψι δ' ἄελλα
Σκίδναθ' ὑπὸ νεφέων· τανύοντο δὲ μώνυχες ἵπποι 375
Ἄψορρον προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων.
Πάτροκλος δ', ἦ πλείστον ὀρινόμενον ἴδε λαὸν,
Τῇ ῥ' ἔχ' ὁμοκλήσας· ὑπὸ δ' ἄξοσι φῶτες ἔπιπτον

357. ΔΥΣ. Κακὸν ἦχον ἀπολωλεκότος.
361. ΣΚΕΠ. Παρισκέπτετο, ἐφυλάσσετο. ΡΟΙ. Ῥύμην, ὁρμὴν, ἦχον.
365. ΑΙ. Ὅταν πνεύματος ἦχον καὶ νέφος παρατήσῃ· ὅτε, φησὶν, ὁ Ζεὺς μὴ τὴν αἰθρίαν καθάρασιν ἐμβολὴν ἀνέμου διεγείρῃ. ΑΙ. Πῶς αἰθέρος; τὰ γὰρ πάθη ταῦτα περὶ τὸν ἀέρα συμβέβηκε. Τάχα δὲ συγχεῖται ὁ ἀὴρ πρὸς τὸν αἰθέρα· ὡς πρὸς τῇ Λ.
Αἴματι μυδαλέας ἐξ αἰθέρος. Καὶ Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσιν.
Οὐ γὰρ αἱ νεφέλαι ἐν τῷ αἰθέρι.
369. ΑΕ. Ἐν σχήματι πέφρικεν· ἔδει γὰρ εἰπεῖν, ὃν ἀέκοντα.
374. ΕΠΕΙ. Ἐπειδὴ διεσκεδάσθησαν. ΑΕΛ. Νῦν, ἡ κόνις.
375. ΣΚΙΔ. Ἀηκοντίζετο. ΤΑ. Ἐπιτεταμένως ἔτρεχον.

Πρηνέες ἐξ ὀχέων, δίφροι δ' ἀνεκυμβαλίαζον.
Ἀντικρὺ δ' ἄρα τάφρον ὑπέρθορον ὠκέες ἵπποι, 380
Ἄμβροτοι, ὓς Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα,
Πρόσσω ἱέμενοι· ἐπὶ δ' Ἕκτορι κέκλετο θυμός·
Ἵετο γὰρ βαλέειν· τὸν δ' ἔκφερον ὠκέες ἵπποι.
Ὡς δ' ὑπὸ λαίλαπι πᾶσα κελαινὴ βέβριθε χθὼν
Ἤματ' ὀπωρινῷ, ὅτε λαβρότατον χέει ὕδωρ 385
Ζεὺς, ὅτε δή ῥ' ἄνδρεσσι κοτεσσάμενος χαλαπῇνῃ,
Οἳ βίῃ εἰν ἀγορῇ σκολιὰς κρίνωσι θέμιστας,
Ἐκ δὲ δίκην ἐλάσωσι, θεῶν ὄπιν ἐκ ἀλέγοντες·
Τῶν δέ τε πάντες μὲν ποταμοὶ πλήθυσι ῥέοντες,
Πολλὰς δὲ κλιτὺς τότ ἀποτμήγυσι χαράδραι, 390
Ἐς δ' ἅλα πορφυρέην μεγάλα σενάχυσι ῥέυσαι·
Ἐξ ὀρέων ἐπὶ κάρ· μινύθει δέ τε ἔργ' ἀνθρώπων·
Ὡς ἵπποι Τρωαὶ μεγάλα σενάχοντο θέεσαι.
Πάτροκλος δ', ἐπεὶ ἦν πρώτας ἐπέκερσε φάλαγγας,
Ἂψ ἐπὶ νῆας ἔεργε παλιμπετὲς, οὐδὲ πόληος 395
Εἴα ἱεμένους ἐπιβαινέμεν, ἀλλὰ μεσηγὺ
Νηῶν καὶ ποταμοῦ καὶ τείχεος ὑψηλοῖο
Κτεῖνε μεταΐσσων, πολέων δ' ἀπετίνυτο ποινήν.

379. ΑΝΕ. Ἀνεκρότων, ἀνετρίποντο.
384. ΒΕ. Ψόφῳ ἴγεμεν, ἐβάρει.
385. ΗΜΑ. Ἐν τῷ τῆς ὑπώρας καιρῷ.
387. ΣΚΟ. Ἀδίκως· ἀπὸ τοῦ εὐθέος καὶ ὀρθοῦ παρατεθραμμένας ἐπὶ τὸ ἄδικον· ὅ ἐστι, σρεβλάς.
388. ΔΙ. Νῦν, τὸ δίκαιον. ΟΠ. Τὴν ἐκ θεῶν ἐπισροφὴν καὶ φροντίδα.
390. ΚΛΙ. Φάραγγας, ἢ ὁρῶν ἀποκλίσεις. ΑΠΟΤ. Ἀποτέμνονται, χωρίζουσι. ΧΑ. Οἱ ὑπὸ τῶ χειμάῤῥων ἐκρησσόμενοι αὐλῶνες. Παρὰ τὸ χαράσσειν, καὶ τραχύνειν τὴν γῆν.
392. ΕΠΙ. Ἤτοι, ἄνωθεν ἐκ τοῦ πρὸς ἄντους· ἢ, ἐπικάρσιαι καὶ πλάγιαι· ἢ ἐπὶ κεφαλὴν, καὶ εἰς τὸ κάταντες. ΚΑΡ. Τοῦ κάρη ἐστὶν ἀποκοπὴ, ὁ τοῦ κάρα. Οὐ λέγει γὰρ ὁ Ποιητὴς ποτὲ κάρα, ἀλλὰ κάρη. Αὐτὸ δὲ τὸ κάρη, τοῦ κάρηνόν ἐστιν ἀποκοπή. Τὰ γὰρ εἰς η ὀξύτερα, ἢ δυϊκά εἰσιν, ἢ πληθυντικά. ΜΙ. Ἐλαττοῦται, φθείρεται.
394. ΕΠΕ. Ἀπίτεμεν.
395. ΕΕΡ. Συνήλαυνε. ΠΑ. Εἰς τὸν ὀπίσω σεσιωπηκότας.
398. ΜΕ. Μεταδιώκων. ΑΠΕ. Δίκην εἰσεπράττετο.

Ἔνθ' ἤτοι Πρόνοον πρῶτον βάλε δουρὶ φαεινῷ,
Στέρνον γυμνωθέντα παρ' ἀσπίδα· λῦσε δὲ γυῖα· 400
Δόπησεν δὲ πεσών· ὁ δὲ Θέστορα, Ἤνοπος υἱὸν,
Δεύτερον ὁρμηθείς· ὁ μὲν εὐζέστῳ ἐνὶ δίφρῳ
Ἧστο ἀλείς· ἐκ γὰρ πλήγη φρένας, ἐκ δ' ἄρα χειρῶν
Ἡνία ἠίχθησαν· ὁ δ' ἔγχεϊ νύξε παραστὰς
Γναθμὸν δεξιτερὸν, διὰ δ' αὐτῆ πεῖρεν ὀδόντων· 405
Εἷλκε δὲ δουρὸς ἑλὼν ὑπὲρ ἄντυγος· ὡς ὅτε τις φὼς
Πέτρῃ ἔπι προβλῆτι καθήμενος, ἱερὸν ἰχθὺν
Ἐκ πόντοιο θύραζε λίνῳ καὶ ἤνεπι χαλκῷ·
Ὣς εἷλκ' ἐκ δίφροιο κεχηνότα δουρὶ φαεινῷ,
Κάδδ' ἄρ' ἐπὶ στόμ' ἔωσε· πεσόντα δέ μιν λίπε θυμός. 410
Αὐτὰρ ἔπειτ' Ἐρύαλον ἐπεσσύμενον βάλε πέτρῳ
Μέσσην κακκεφαλήν· ἡ δ' ἄνδιχα πᾶσα κεάθη
Ἐν κόρυθι βριαρῇ· ὁ δ' ἄρα πρηνὴς ἐπὶ γαίῃ
Κάππεσεν· ἀμφὶ δέ μιν θάνατος χύτο θυμοραϊστής.
Αὐτὰρ ἔπειτ' Ἐρύμαντα, καὶ Ἀμφοτερὸν, καὶ Ἐπάλτην, 415
Τληπόλεμόν τε Δαμασορίδην, Ἐχίον τε, Πύρην τε,
Ἰφέα τ', Εὐίππόν τε, καὶ Ἀργεάδην Πολύμηλον,
Πάντας ἐπασσυτέρους πέλασε χθονὶ πουλυβοτείρῃ.
Σαρπηδὼν δ' ὡς οὖν ἴδ' ἀμιτροχίτωνας ἑταίρους
Χέρσ' ὑπο Πατρόκλοιο Μενοιτιάδαο δαμέντας, 420
Κέκλετ' ἄρ' ἀντιθέοισι καθαπτόμενος Λυκίοισιν·
"Αἰδώς, ὦ Λύκιοι, πόσε φεύγετε; νῦν θοὰ ἔστε·

403. ΑΛΕΙΣ. Συσαλείς. ΕΚ. Ἀπὸ τοῦ, ἐξεπλάγη.
404. ΗΙΧ. Ὡρμήθησαν.
405. ΓΝΑΘ. Σιαγόνα.
407. ΠΡΟ. Προβεβλημένῃ. ΙΕ. Ἧστο, μένων.
408. ΘΥ. Ἔξω. ΛΙ. Τῇ ὁρμιᾷ, ἢ τῷ ἀγκίστρῳ. ΗΝΟ. Διαυγεῖ χαλκῷ. Λέγει δὲ, τῷ ἀγκίστρῳ.
412. ΚΕ. Ἐχίδη.
413. ΒΡΙ. Ἰχυρᾷ.
414. ΘΥ. Ὁ τὴν ψυχὴν διαφθείρων, καὶ ἀπολλύων.
419. ΑΜΙ. Ἀζώστους, ἢ, μίτρᾳ καὶ θώρακι μὴ χρωμένους.
420. ΔΑ. Ἀναιριθέντας.
421. ΚΑ. Ἐπιπλήσσων, ὀνειδίζων.
422. ΠΟ. Ποῦ.

Ἠδ' ἔτι καὶ νῦν μοι τόδ' ἐπικρήηνον ἐέλδωρ·
Αὐτὸς μὲν γὰρ ἐγὼ μενέω νηῶν ἐν ἀγῶνι,
Ἀλλ' ἔταρον πέμπω, πολέσιν μετὰ Μυρμιδόνεσσι,
Μάρναθαι· τῷ κῦδος ἅμα πρόες, εὐρύοπα Ζεῦ·
Θάρσυνον δέ οἱ ἦτορ ἐνὶ φρεσὶν, ὄφρα καὶ Ἕκτωρ
Εἴσεται, ἤ ῥα καὶ οἶος ἐπίσηται πολεμίζειν
Ἡμέτερος θεράπων, ἤ οἱ τότε χεῖρες ἄαπτοι
Μαίνοιθ', ὁππότ' ἐγὼ περ ἴω μετὰ μῶλον Ἄρηος.
Αὐτὰρ ἐπεί κ' ἀπὸ νεῶφι μάχην ἐνοπήν τε δίηται,
Ἀσκηθὴς μοι ἔπειτα θοὰς ἐπὶ νῆας ἵκοιτο,
Τεύχεσί τε ξὺν πᾶσι καὶ ἀγχεμάχοις ἑτάροισιν.'
Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε μητιέτα Ζεύς·
Τῷ δ' ἕτερον μὲν ἔδωκε πατὴρ, ἕτερον δ' ἀνένευσε·
Νηῶν μέν οἱ ἀπώσαθαι πόλεμόν τε μάχην τε
Δῶκε, σόον δ' ἀνένευσε μάχης ἐξ ἀπονέεσθαι.
Ἤτοι ὁ μὲν, σπείσας τε, καὶ εὐξάμενος Διὶ πατρὶ,
Ἂψ κλισίην εἰσῆλθε, δέπας δ' ἀπέθηκ' ἐνὶ κηλῷ·
Στῆ δὲ πάροιθ' ἐλθὼν κλισίης, ἔτι δ' ἤθελε θυμῷ
Εἰσιδέειν Τρώων καὶ Ἀχαιῶν φύλοπιν αἰνήν.
Οἱ δ' ἅμα Πατρόκλῳ μεγαλήτορι θωρηχθέντες
Ἔσχον, ὄφρ' ἐν Τρωσὶ μέγα φρονέοντες ὄρωσαν.
Αὐτίκα δὲ σφήκεσσιν ἐοικότες ἐξεχέοντο
Εἰνοδίοις, οὓς παῖδες ἐριδμαίνουσιν ἔθοντες,
Αἰεὶ κερτομέοντες, ὁδῷ ἔπι οἰκί' ἔχοντας,

239. ΑΓ. Ἐν τῷ ἀθροίσματι τῶν νηῶν, ἐν τῷ ναυσάθμῳ.
243. ΕΠΙ. Ἐπίσταται.
245. ΜΩ. Τὴν μάχην· ἀπὸ τοῦ παρεπομένου.
246. ΝΑΥ. Ἀπὸ τῶν νηῶν.
247. ΑΣ. Ἀβλαβὴς, ὑγιής.
248. ΑΓ. Συσάδην μαχομένοις, πολεμικοῖς.
259. ΣΦΗ. Σφηξὶν ὅμοιοι· διὰ τὸ θερμὸν αὐτῶν καὶ πληκτικόν. ΕΞΕ. Ἀθρόως ἐξίσασιν.
260. ΕΙ. Τοῖς ἐν τῇ ὁδῷ οἰκοῦσιν· ὅ ἐστι, φυλεύουσι, τοῖς τὴν σφηκίαν ἔχουσι παρὰ τὴν ὁδόν. ΕΡΙ. Ἐρεθίζωσιν. ΕΘΟΝ. Συνεχῶς ἐξ ἔθους παραγιγνόμενοι, καὶ βλάπτοντες.
261. ΚΕΡ. Ἐρεθίζοντες.

Νηπίαχοι· ξυνὸν δὲ κακὸν πολέεσσι τιθεῖσι·
Τὼς δ' εἴπερ παρά τίς τε κιὼν ἄνθρωπος ὁδίτης
Κινήσει ἀέκων, οἱ δ' ἄλκιμον ἦτορ ἔχοντες
Πρόσσω πᾶς πέτεται, καὶ ἀμύνει οἷσι τέκεσσι. 265
Τῶν τότε Μυρμιδόνες κραδίην καὶ θυμὸν ἔχοντες,
Ἐκ νηῶν ἐχέοντο· βοὴ δ' ἄσβεστος ὀρώρει.
Πάτροκλος δ' ἑτάροισιν ἐκέκλετο, μακρὸν ἀΰσας·
« Μυρμιδόνες, ἕταροι Πηληϊάδεω Ἀχιλῆος,
« Ἀνέρες ἔστε, φίλοι, μνήσαθε δὲ θούριδος ἀλκῆς· 270
« Ὡς ἂν Πηλείδην τιμήσομεν, ὃς μέγ' ἄριστος
« Ἀργείων παρὰ νηυσὶ, καὶ ἀγχέμαχοι θεράποντες·
« Γνῶ δὲ καὶ Ἀτρείδης, εὐρυκρείων Ἀγαμέμνων,
« Ἣν ἄτην, ὅτ' ἄριστον Ἀχαιῶν ἠδὲν ἔτισεν.»
Ὣς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου· 275
Ἐν δ' ἔπεσον Τρώεσσιν ἀολλέες· ἀμφὶ δὲ νῆες
Σμερδαλέον κονάβησαν, ἀϋσάντων ὑπ' Ἀχαιῶν.
Τρῶες δ', ὡς εἶδοντο Μενοιτίου ἄλκιμον υἱὸν,
Αὐτὸν, καὶ θεράποντα, σὺν ἔντεσι μαρμαίροντας,
Πᾶσιν ὀρίνθη θυμὸς, ἐκίνηθεν δὲ φάλαγγες, 280
Ἐλπόμενοι παρὰ ναῦφι ποδώκεα Πηλείωνα
Μηνιθμὸν μὲν ἀπορρίψαι, φιλότητα δ' ἑλέσθαι·
Πάσηνεν δὲ ἕκαστος, ὅπη φύγοι αἰπὺν ὄλεθρον.
Πάτροκλος δὲ πρῶτος ἀκόντισε δουρὶ φαεινῷ
Ἀντικρὺ κατὰ μέσσον, ὅθι πλεῖστοι κλονέοντο, 285
Νηῒ πάρα πρύμνῃ μεγαθύμου Πρωτεσιλάου·
Καὶ βάλε Πυραίχμην, ὃς Παίονας ἱπποκόρυστας

262. ΝΗ. Νήπιοι, ἄφρονες.
263. ΠΑ. Τὸ ἑξῆς· παριών τις. ΟΔΙ. Ὁδοιπόρος.
264. ΟΙ. Ἀκόλουθον ἦν εἰρηκέναι, τὸ ἄλκιμον.
283. ΑΙ. Χαλεπόν.
287. ΠΥ. Πεποίηται τὸ ὄνομα τοῦ γραπηγοῦ, παρὰ τὸ πῦρ καὶ αἴχμην φέρειν ἐπὶ τῇ νηΐ.

Ἤγαγεν ἐξ Ἀμυδῶνος, ἀπ' Ἀξιοῦ εὐρὺ ῥέοντος·
Τὸν βάλε δεξιὸν ὦμον· ὁ δ' ὕπτιος ἐν κονίῃσι
Κάππεσεν οἰμώξας· ἕταροι δέ μιν ἀμφεφόβηθεν 290
Παίονες· ἐν γὰρ Πάτροκλος φόβον ἧκεν ἅπασιν,
Ἡγεμόνα κτείνας, ὃς ἀριστεύεσκε μάχεσθαι.
Ἐκ νηῶν δ' ἔλασεν, κατὰ δ' ἔσβεσεν αἰθόμενον πῦρ.
Ἡμιδαὴς δ' ἄρα νηῦς λίπετ' αὐτόθι· τοὶ δ' ἐφόβηθεν
Τρῶες θεσπεσίῳ ὁμάδῳ· Δαναοὶ δ' ἐπέχυντο 295
Νῆας ἀνὰ γλαφυράς· ὅμαδος δ' ἀλίαστος ἐτύχθη.
Ὡς δ' ὅτ' ἀφ' ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο
Κινήσει πυκινὴν νεφέλην τεροπηγερέτα Ζεὺς,
Ἐκ τ' ἔφανον πᾶσαι σκοπιαὶ καὶ πρώονες ἄκροι,
Καὶ νάπαι, ἐρανόθεν δ' ἄρ' ὑπερράγη ἄσπετος αἰθήρ· 300
Ὡς Δαναοὶ, νηῶν μὲν ἀπωσάμενοι δήϊον πῦρ,
Τυτθὸν ἀνέπνευσαν· πολέμου δ' οὐ γίνετ' ἐρωή·
Οὐ γάρ πώ τι Τρῶες ἀρηϊφίλων ὑπ' Ἀχαιῶν
Προτροπάδην φοβέοντο μελαινάων ἀπὸ νηῶν,
Ἀλλ' ἔτ' ἄρ' ἀνθίστοντο, νεῶν δ' ὑπόεικον ἀνάγκη. 305
Ἔνθα δ' ἀνὴρ ἕλεν ἄνδρα, κεδασθείσης ὑσμίνης,
Ἡγεμόνων· πρῶτος δὲ Μενοιτίου ἄλκιμος υἱὸς
Αὐτίχ' ἄρα τρεφθέντος Ἀρηϊλύκου βάλε μηρὸν
Ἔγχεϊ ὀξυόεντι, διὰ πρὸ δὲ χαλκὸν ἔλασσε·

290. ΑΜ. Ἑκατέρωθεν ἔφυγον.
291. ΠΑΙ. Ἔθνος ὅμορον Θρακῶν.
294. ΗΜΙ. Ἡμίκαυστος, ἡμίφλεκτος.
298. ΣΤΕ. Ἀστραπτικός.
299. ΠΡΩ. Αἱ προνενευκυῖαι τῶν ὀρῶν ἐξοχαί.
300. ΝΑ. Οἱ ὀρεινοὶ καὶ ἀναπεπταμένοι τόποι, οἱ σύμφυτοι. ΥΠ. Αἴθης θέλαμψεν αἴθριον. Ὁ δὲ λόγος· ξηρᾷ ᾖ καὶ πυῤῥώδους πνεύματος περὶ τὴν πάχυτητα τῶν νεφῶν ῥαγέντος ὑπὸ τ' ἐρανοῦ, ἐξέλαμψεν αἰθὴρ· τυτθίσιν, ἀστραπὴ ἐγένετο. Διορῶνται ἄν, φησὶ, καὶ τοῦ αἰθέρος ἀστέρες, νεφέλης ῥαγείσης. ΥΠΕΡ. Διαφανὴς ἐγένετο. ΑΣ. Μέγιστος, πολὺς, καὶ ἀσύνοπτος.
302. ΕΡΩ. Νῦν ὁρμή. Ἔστι δ' ὅτε τὴν ἡσυχίαν καὶ ἀνάπαυσιν δηλοῖ.
304. ΠΡΟ. Ἐπειγομένως καὶ ὁλοχερῶς ἐκτρέψαντες τὰ ἰῶτα.
305. ΥΠΟ. Ἐξίστοντο, ὑπεχώρουν.
308. ΣΤΡΕ. Εἰς φυγὴν κλίναντες.

Ῥῆξεν δ' ὀστέον ἔγχος· ὁ δὲ πρηνὴς ἐπὶ γαίῃ 310
Κάππεσ'. Ἀτὰρ Μενέλαος ἀρήϊος ἔντα Θόαντα,
Στέρνον γυμνωθέντα παρ' ἀσπίδα· λῦσε δὲ γυῖα.
Φυλείδης δ' Ἄμφικλον ἐφορμηθέντα δοκεύσας,
Ἔφθη ὀρεξάμενος πρυμνὸν σκέλος, ἔνθα πάχιστος
Μυῶν ἀνθρώπου πέλεται, περὶ δ' ἔγχεος αἰχμὴ 315
Νεῦρα διεκείθη· τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε.
Νεστορίδαι δ', ὁ μὲν ἔντασ' Ἀτύμνιον ὀξέϊ δουρὶ
Ἀντίλοχος, λαπάρης δὲ διήλασε χάλκεον ἔγχος·
Ἤριπε δὲ προπάροιθε· Μάρις δ' αὐτοκασιγνήτου δουρὶ
Ἀντιλόχῳ ἐπόρουσε, κασιγνήτοιο χολωθεὶς, 320
Στὰς πρόσθεν νέκυος· τοῦ δ' ἀντίθεος Θρασυμήδης
Ἔφθη ὀρεξάμενος, πρὶν ἐτάσαι, ἠδ' ἀφάμαρτεν,
Ὤμον ἄφαρ· πρυμνὸν δὲ βραχίονα δουρὸς ἀκωκὴ
Δρύψ' ἀπὸ μυώνων, ἀπὸ δ' ὀστέον ἄχρις ἄραξε·
Δύπησεν δὲ πεσὼν, κατὰ δὲ σκότος ὄσσ' ἐκάλυψεν. 325
Ὡς τὼ μὲν δοιοῖσι κασιγνήτοισι δαμέντε
Βήτην εἰς ἔρεβος, Σαρπηδόνος ἐσθλοὶ ἑταῖροι,
Υἷες ἀκοντισταὶ Ἀμισωδάρου· ὅς ῥα Χίμαιραν
Θρέψεν ἀμαιμακέτην, πολέσιν κακὸν ἀνθρώποισιν.
Αἴας δὲ Κλεόβουλον Ὀϊλιάδης ἐπόρουσας 330
Ζωὸν ἕλε, βλαφθέντα κατὰ κλόνον· ἀλλά οἱ αὖθι
Λῦσε μένος, πλήξας ξίφεϊ αὐχένα κωπήεντι.

314. ΕΦ. Ἔφθασε, προέλαβεν. ΟΡΕΞ. Νῦν, ἐφικόμενος καὶ πλήξας ἐκ χειρός. ΠΡΥΜ. Τὸ ἔσχατον μέρος τοῦ σκέλους. ΠΑ. Παχύς.

315. ΜΥ. Ἡ γαστροκνημία· ἥτις συνίσταται ἐκ πολλῶν νεύρων καὶ συνεσταλμένων σαρκῶν.

319. ΑΥ. Ἑτοίμως, παραχρῆμα. Μᾶλλον δὲ, ἀγχόθεν.

322. ΟΡΕΞ. Ἐπὶ τὸ πατάξαι ὁρμήσας.

323. ΠΡΥΜ. Τὸ ἀκρότατον τοῦ βραχίονος.

324. ΔΡΥ. Ἀπέσυρεν ἀπὸ τῶν μυῶν. ΑΡ. Ἀπέχισε δὲ τὴν σάρκα ἄχρι τοῦ ὀστοῦ.

327. ΕΡ. Σκότος.

331. ΒΛΑ. Ἐμπεδωθέντα.

Πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι· τὸν δὲ κατ' ὄσσε
Ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.
Πηνέλεως δὲ Λύκων τε συνέδραμον· ἔγχεσι μὲν γὰρ
Ἤμβροτον ἀλλήλων, μέλεον δ' ἠκόντισαν ἄμφω·
Τὼ δ' αὖτις ξιφέεσσι συνέδραμον· ἔνθα Λύκων μὲν
Ἱπποκόμου κόρυθος φάλον ἤλασεν, ἀμφὶ δὲ κωλὸν
Φάσγανον ἐρραίσθη· ὁ δ' ὑπ' ἔατος αὐχένα θεῖνε
Πηνέλεως, πᾶν δ' εἴσω ἔδυ ξίφος, ἔρχεθε δ' οἶον
Δέρμα· παρηέρθη δὲ κάρη, ὑπέλυντο δὲ γυῖα.
Μηριόνης δ' Ἀκάμαντα, κιχεὶς ποσὶ καρπαλίμοισι,
Νύξ', ἵππων ἐπιβησόμενον, κατὰ δεξιὸν ὦμον·
Ἤριπε δ' ἐξ ὀχέων, κατὰ δ' ὀφθαλμῶν κέχυτ' ἀχλύς.
Ἰδομενεὺς δ' Ἐρύμαντα κατὰ στόμα νηλέϊ χαλκῷ
Νύξε· τὸ δ' ἀντικρὺ δόρυ χάλκεον ἐξεπέρησε
Νέρθεν ὑπ' ἐγκεφάλοιο· κέασσε δ' ἄρ' ὀστέα λευκά·
Ἐκ δὲ τίναχθεν ὀδόντες· ἐνέπλησθεν δέ οἱ ἄμφω
Αἵματος ὀφθαλμοί· τὸ δ' ἀνὰ στόμα καὶ κατὰ ῥῖνας
Πρῆσε χανών· θανάτου δὲ μέλαν νέφος ἀμφεκάλυψεν.
Οὗτοι ἄρ' ἡγεμόνες Δαναῶν ἕλον ἄνδρα ἕκαστος.
Ὡς δὲ λύκοι ἄρνεσσιν ἐπέχραον, ἢ ἐρίφοισι,
Σίνται, ὑπ' ἐκ μήλων αἱρεύμενοι, αἴτ' ἐν ὄρεσσι
Ποιμένος ἀφραδίῃσι διέτμαγεν· οἱ δὲ ἰδόντες
Αἶψα διαρπάζουσιν ἀνάλκιδα θυμὸν ἐχόντας·

333. ΥΠΕ. Ἐβαπτίσθη.
334. ΠΟ. Μέλας, σκοτεινός.
336. ΜΕ. Ματαίως.
337. ΣΥ. Ἐκ τοῦ σύνεγγυς ἐμαχήθησαν.
339. ΕΡ. Διεφθάρη, ἐκλάσθη.
340. ΕΔΥ. Κατὰ βάθους εἰσῆλθε. ΕΣ. γρ. Ἔχεσθε δ' οἶον.
341. ΠΑΡ. Παρηέχθη, παρεκρεμάσθη.
347. ΝΕΡ. Ὑπὸ τ' ἐγκέφαλον. ΚΕ. Συνέτριψε, περιέχισε.
350. ΠΡΗ. Ἐξεφύσησε, μετὰ πνεύματος ἐξέδωκεν.
352. ΕΠΕ. Μετὰ βίας ἐπῆλθον, ἐφώρμησαν.
353. ΣΙΝ. Βλαπτικοί. ΥΠ. Ὑφαιρούμενοι πὰ λιπαρὰ τῶν βοσκημάτων.

Ὣς Δαναοὶ Τρώεσσιν ἐπέχραον· οἱ δὲ φόβοιο
Δυσκελάδου μνήσαντο, λάθοντο δὲ θούριδος ἀλκῆς.
Αἴας δ' ὁ μέγας αἰὲν ἐφ' Ἕκτορι χαλκοκορυστῇ
Ἵετ' ἀκοντίσσαι· ὁ δὲ ἰδρείῃ πολέμοιο,
Ἀσπίδι ταυρείῃ κεκαλυμμένος εὐρέας ὤμους, 360
Σκέπτετ' ὀϊστῶν τε ῥοῖζον καὶ δοῦπον ἀκόντων.
Ἦ μὲν δὴ γίγνωσκε μάχης ἑτεραλκέα νίκην·
Ἀλλὰ καὶ ὣς ἀνέμιμνε, σάω δ' ἐρίηρας ἑταίρους.
Ὡς δ' ὅτ' ἀπ' Οὐλύμπου νέφος ἔρχεται οὐρανὸν εἴσω,
Αἰθέρος ἐκ δίης, ὅτε τε Ζεὺς λάλαπα τείνει· 365
Ὣς τῶν ἐκ νηῶν γένετο ἰαχή τε φόβος τε·
Οὐδὲ κατὰ μοῖραν πέραον πάλιν· Ἕκτορα δ' ἵπποι
Ἔκφερον ὠκύποδες σὺν τεύχεσι· λεῖπε δὲ λαὸν
Τρωϊκὸν, οὓς ἀέκοντας ὀρυκτὴ τάφρος ἔρυκε.
Πολλοὶ δ' ἐν τάφρῳ ἐρυσάρματες ὠκέες ἵπποι 370
Ἄξαντ' ἐν πρώτῳ ῥυμῷ λίπον ἄρματ' ἀνάκτων·
Πάτροκλος δ' ἕπετο, σφεδανὸν Δαναοῖσι κελεύων,
Τρωσὶ κακὰ φρονέων· οἱ δὲ ἰαχῇ τε φόβῳ τε
Πάσας πλῆσαν ὁδοὺς, ἐπεὶ ἆρ τμάγεν· ὕψι δ' ἄελλα
Σκίδναθ' ὑπαὶ νεφέων· τανύοντο δὲ μώνυχες ἵπποι 375
Ἄψορρον προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων.
Πάτροκλος δ', ᾗ πλεῖστον ὀρινόμενον ἴδε λαὸν,
Τῇ ῥ' ἔχ' ὁμοκλήσας· ὑπὸ δ' ἄξοσι φῶτες ἔπιπτον

357. ΔΥΣ. Κακὸν ἦχον ἀποδιελεῖτο.
361. ΣΚΕΠ. Παρισκέπτετο, ἐφυλάσσετο. ΡΟΙ. Ῥύμην, ὁρμὴν, ἦχον.
365. ΑΙ. Ὅταν πνεύματος ἦχον καὶ νέφος παρατήσῃ· ὅτι, φησὶν, ὁ Ζεὺς μὴ τὴν αἰθρίαν καλάσασιν ἐμβολὴν ἀνέμου διεγείρῃ. ΑΙ. Πῶς αἰθέρος; τὰ γὰρ πάθη ταῦτα περὶ τὸν ἀέρα συμβέβηκε. Τάχα ἂν συγχεῖται ὁ ἀὴρ πρὸς τὸν αἰθέρα· ὡς καὶ τῇ Λ.

Αἵματι μυδαλέας ἐξ αἰθέρος. Καὶ Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσιν.
Οὐ γὰρ αἱ νεφέλαι ἐν τῷ αἰθέρι.
369. ΑΕ. Ἐν σχήματι πέφρικεν· ἔδιο γὰρ εἰπεῖν, ὃν ἀέκοντα.
374. ΕΠΕΙ. Ἐπειδὴ διεσκεδάσθησαν. ΑΕΛ. Νῦν, ἡ κόνις.
375. ΣΚΙΔ. Ἀνηκοντίζετο. ΤΑ. Ἐπιτεταμένως ἔτρεχον.

Πρηνέες ἐξ ὀχέων, δίφροι δ' ἀνεκυμβαλίαζον.
Ἀντικρὺ δ' ἄρα τάφρον ὑπέρθορον ὠκέες ἵπποι, 380
Ἄμβροτοι, ὓς Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα,
Πρόσσω ἱέμενοι· ἐπὶ δ' Ἕκτορι κέκλετο θυμός·
Ἵετο γὰρ βαλέειν· τὸν δ' ἔκφερον ὠκέες ἵπποι.
Ὡς δ' ὑπὸ λαίλαπι πᾶσα κελαινὴ βέβριθε χθὼν
Ἤματ' ὀπωρινῷ, ὅτε λαβρότατον χέει ὕδωρ 385
Ζεὺς, ὅτε δή ῥ' ἄνδρεσσι κοτεσσάμενος χαλαπῇνῃ,
Οἳ βίῃ εἰν ἀγορῇ σκολιὰς κρίνωσι θέμιστας,
Ἐκ δὲ δίκην ἐλάσωσι, θεῶν ὄπιν ἐκ ἀλέγοντες·
Τῶν δέ τε πάντες μὲν ποταμοὶ πλήθυσι ῥέοντες,
Πολλὰς δὲ κλιτῦς τότ ἀποτμήγυσι χαράδραι, 390
Ἐς δ' ἅλα πορφυρέην μεγάλα ςενάχυσι ῥέυσαι
Ἐξ ὀρέων ἐπὶ κάρ· μινύθει δέ τε ἔργ' ἀνθρώπων·
Ὡς ἵπποι Τρωαὶ μεγάλα ςενάχοντο θέυσαι.
Πάτροκλος δ', ἐπεὶ ἦν πρώτας ἐπέκερσε φάλαγγας,
Ἂψ ἐπὶ νῆας ἔεργε παλιμπετὲς, ἐδὲ πόληος 395
Εἴα ἱεμένυς ἐπιβαινέμεν, ἀλλὰ μεσηγὺ
Νηῶν καὶ ποταμῦ καὶ τείχεος ὑψηλοῖο
Κτεῖνε μεταΐσσων, πολέων δ' ἀπετίνυτο ποινήν.

379. ΑΝΕ. Ἀνεκρότυν, ἀνετρέποντο.
384. ΒΕ. Φόβῦ ἴγιμιν, ἰβάρειν.
385. ΗΜΑ. Ἐν τῷ τῆς ὀπώρας καιρῷ.
387. ΣΚΟ. Ἀδίκως· ἀπὸ τῦ εὐθέος καὶ ὀρθῦ παρατέραμμένας ἐπὶ τὸ ἄδικον· ὅ ἐςι, ςρεβλάς.
388. ΔΙ. Νῦν, τὸ δίκαιον. ΟΠ. Τὴν ἐκ θεῶν ἐπιςροφὴν καὶ φρεντίδα.
390. ΚΛΙ. Φάραγγας, ἢ ὀρῶν ἀποκλίσεις. ΑΠΟΤ. Ἀποτέμνονται, χωρίζυσι. ΧΑ. Οἱ ὑπὸ τῦ χειμάῤῥων ἐκρησσόμενοι αὐλῶνες. Παρὰ τὸ χαράσσειν, καὶ τραχύνειν τὴν γῆν.
392. ΕΠΙ. Ἤτοι, ἄνωθεν ἐκ τῦ πρὸς ἄντους· ἢ, ἐπικάρσιαι καὶ πλάγιαι· ἢ ἐπὶ κεφαλὴν, καὶ εἰς τὸ κάταντες. ΚΑΡ. Τῦ κάρη ἐςὶν ἀποκοπὴ, ὁ τῦ κάρα. Οὐ λέγει γὰρ ὁ Ποιητὴς ποτὲ κάρα, ἀλλὰ κάρη. Αὐτὸ δὲ τὸ κάρη, τῦ κάρηνόν ἐςιν ἀποκοπή. Τὰ γὰρ εἰς η ἐδέτερα, ἢ δυϊκά εἰσιν, ἢ πληθυντικά. ΜΙ. Ἐλαττοῦται, φθείρεται.
394. ΕΠΕ. Ἀπίτεμεν.
395. ΕΕΡ. Συνήλαυνε. ΠΑ. Εἰς τὸ ὀπίσω πεπλωκότας.
398. ΜΕ. Μεταδιώκων. ΑΠΕ. Δίκην εἰσεπράτετο.

Ἔνθ' ἤτοι Πρόνοον πρῶτον βάλε δουρὶ φαεινῷ,
Στέρνον γυμνωθέντα παρ' ἀσπίδα· λῦσε δὲ γυῖα· 400
Δούπησεν δὲ πεσών· ὁ δὲ Θέστορα, Ἤνοπος υἱὸν,
Δεύτερον ὁρμηθείς· ὁ μὲν εὐζέστῳ ἐνὶ δίφρῳ
Ἧστο ἀλέης· ἐκ γὰρ πλήγη φρένας, ἐκ δ' ἄρα χειρῶν
Ἡνία ἠίχθησαν· ὁ δ' ἔγχεϊ νύξε παραστὰς
Γναθμὸν δεξιτερὸν, διὰ δ' αὐτῇ πεῖρεν ὀδόντων· 405
Εἷλκε δὲ δουρὸς ἑλὼν ὑπὲρ ἄντυγος· ὡς ὅτε τις φὼς
Πέτρῃ ἔπι προβλῆτι καθήμενος, ἱερὸν ἰχθὺν
Ἐκ πόντοιο θύραζε λίνῳ καὶ ἤνεσι χαλκῷ·
Ὡς εἷλκ' ἐκ δίφροιο κεχηνότα δουρὶ φαεινῷ,
Κάδδ' ἄρ' ἐπὶ στόμ' ἔωσε· πεσόντα δέ μιν λίπε θυμός. 410
Αὐτὰρ ἔπειτ' Ἐρύαλον ἐπεσσύμενον βάλε πέτρῳ
Μέσσην κακκεφαλήν· ἡ δ' ἄνδιχα πᾶσα κεάθη
Ἐν κόρυθι βριαρῇ· ὁ δ' ἄρα πρηνὴς ἐπὶ γαίῃ
Κάππεσεν· ἀμφὶ δέ μιν θάνατος χύτο θυμοραϊστής.
Αὐτὰρ ἔπειτ' Ἐρύμαντα, καὶ Ἀμφοτερὸν, καὶ Ἐπάλτην, 415
Τληπόλεμόν τε Δαμασορίδην, Ἐχίον τε, Πύρην τε,
Ἰφέά τ', Εὐϊππόν τε, καὶ Ἀργεάδην Πολύμηλον,
Πάντας ἐπασσυτέρους πέλασε χθονὶ πουλυβοτείρῃ.
Σαρπηδὼν δ' ὡς οὖν ἴδ' ἀμιτροχίτωνας ἑταίρους
Χέρσ' ὕπο Πατρόκλοιο Μενοιτιάδαο δαμέντας, 420
Κέκλετ' ἄρ' ἀντιθέοισι καθαπτόμενος Λυκίοισιν·
Αἰδὼς, ὦ Λύκιοι, πόσε φεύγετε; νῦν θοὰ ἔστε·

403. ΑΛΕΙΣ. Συσαλείς. ΕΚ. Ἀντὶ τοῦ, ἐξεπλάγη.
404. ΗΙΧ. Ὡρμήθησαν.
405. ΓΝΑΘ. Σιαγόνα.
407. ΠΡΟ. Προβεβλημένῃ. ΙΕ. Ἤτοι, μέγαν.
408. ΘΥ. Ἕξω. ΛΙ. Τῇ ὁρμιᾷ, ἢ τῷ ἀγκίστρῳ. ΗΝΟ. Διαυγεῖ χαλκῷ. Δόγμα δὲ, τῷ ἀγκίστρῳ.
412. ΚΕ. Ἐχίδη.
413. ΒΡΙ. Ἰχυρᾷ.
414. ΘΥ. Ὁ τὴν ψυχὴν διαφθείρων, καὶ ἀπολλύων.
419. ΑΜΙ. Ἀζώστους, ἤ, μίτρᾳ καὶ θώρακι μὴ χρωμένους.
420. ΔΑ. Ἀναιριθέντας.
421. ΚΑ. Ἐπιπλήσσων, ὀνειδίζων.
422. ΠΟ. Ποῦ.

"Αντήσω γὰρ ἐγὼ τῷδ' ἀνέρος, ὄφρα δαείω,
Ὅστις ὅδε κρατέει καὶ δὴ κακὰ πολλὰ ἔοργε
Τρῶας· ἐπεὶ πολλῶν τε καὶ ἐσθλῶν γούνατ' ἔλυσεν.
Ἦ ῥα, καὶ ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε·
Πάτροκλος δ' ἑτέρωθεν, ἐπεὶ ἴδεν, ἔκθορε δίφρου.
Οἱ δ', ὥς τ' αἰγυπιοὶ, γαμψώνυχες, ἀγκυλοχεῖλαι,
Πέτρῃ ἐφ' ὑψηλῇ μεγάλω κλάζοντε μάχονται·
Ὡς οἱ κεκλήγοντες ἐπ' ἀλλήλοισιν ὄρουσαν.
Τὸς δὲ ἰδὼν ἐλέησε Κρόνου παῖς ἀγκυλομήτεω,
Ἥρην δὲ προσέειπε κασιγνήτην, ἄλοχόν τε·
Ὦ μοι ἐγὼν, ὅτε μοι Σαρπηδόνα, φίλτατον ἀνδρῶν,
Μοῖρ' ὑπὸ Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι.
Διχθὰ δέ μοι κραδίη μέμονε, φρεσὶν ὁρμαίνοντι,
Ἦ μιν ζῶον ἐόντα μάχης ἄπο δακρυόεσσης
Θείω ἀναρπάξας Λυκίης ἐνὶ πίονι δήμῳ,
Ἦ ἤδη ὑπὸ χερσὶ Μενοιτιάδαο δαμάσσω.
Τὸν δ' ἠμείβετ' ἔπεια βοῶπις πότνια Ἥρη·
Αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες;
Ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἴσῃ,
Ἄψ ἐθέλεις θανάτοιο δυσηχέος ἐξαναλῦσαι;
Ἔρδε· ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
Αἴ κε ζῶν πέμψῃς Σαρπηδόνα ὅνδε δόμονδε,
Φράζεο, μή τις ἔπειτα θεῶν ἐθέλῃσι καὶ ἄλλος
Πέμπειν ὃν φίλον υἱὸν ἀπὸ κρατερῆς ὑσμίνης·
Πολλοὶ γὰρ περὶ ἄστυ μέγα Πριάμοιο μάχονται

428. ΓΑΜ. Ἐπικαμπεῖς ὄνυχας ἔχοντες.
429. ΚΛΑ. Φθεγγόμενοι, κράζοντες.
435. ΜΕ. Διανοεῖται.
441. ΠΕ. Πέραιος ἠξιωμένον, εἱμαρμένον.
442. ΕΞ. Ἐλευθερῶσαι, λυθῆναι.

Υἱέες ἀθανάτων· τοῖσιν κότον αἰνὸν ἐνήσεις.
Ἀλλ' εἴ τοι φίλος ἐστί, τεὸν δ' ὀλοφύρεται ἦτορ, 450
Ἤτοι μέν μιν ἔασον ἐνὶ κρατερῇ ὑσμίνῃ
Χέρσ' ὕπο Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι·
Αὐτὰρ ἐπὴν δὴ τόνγε λίπῃ ψυχή τε καὶ αἰών,
Πέμπειν μιν Θάνατόν τε φέρειν, καὶ νήδυμον Ὕπνον,
Εἰσόκε δὴ Λυκίης εὐρείης δῆμον ἵκωνται· 455
Ἔνθα ἑ ταρχύσουσι κασίγνητοί τε, ἔταί τε,
Τύμβῳ τε, στήλῃ τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων.
Ὣς ἔφατ'· οὐδ' ἀπίθησε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Αἱματόεσσας δὲ ψιάδας κατέχευεν ἔραζε,
Παῖδα φίλον τιμῶν, τόν οἱ Πάτροκλος ἔμελλε 460
Φθίσειν ἐν Τροίῃ ἐριβώλακι, τηλόθι πάτρης.
Οἱ δ' ὅτε δὴ ὀχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Ἔνθ' ἤτοι Πάτροκλος ἀγακλειτὸν Θρασύμηλον,
Ὃς ῥ' ἠΰς θεράπων Σαρπηδόνος ἦεν ἄνακτος,
Τὸν βάλε νείαιραν κατὰ γαστέρα, λῦσε δὲ γυῖα. 465
Σαρπηδὼν δ' αὐτῷ μὲν ἀπήμβροτε δουρὶ φαεινῷ,
Δεύτερος ὁρμηθείς· ὁ δὲ Πήδασον ἔτασεν ἵππον
Ἐγχεῖ δεξιὸν ὦμον· ὁ δ' ἔβραχε θυμὸν ἀείδων·
Κάδδ' ἔπεσ' ἐν κονίῃσι μακὼν, ἀπὸ δ' ἔπτατο θυμός.
Τὼ δὲ διαστήτην· κρίκε δὲ ζυγὸν, ἠνία δέ σφι 470
Σύγχυτ', ἐπειδὴ κεῖτο παρήορος ἐν κονίῃσι.
Τοῖο μὲν Αὐτομέδων δουρικλυτὸς εὕρετο τέκμωρ,
Σπασσάμενος τανύηκες ἄορ παχέος παρὰ μηροῦ,

449. ΚΟ. Νῦν, φιλονεικίαν. ΕΝΗ. Ἐμβαλεῖς.
456. ΤΑΡ. Θάψουσι.
459. ΨΙΑ. Ψεκάδας, δρόσους.
461. ΦΘΙ. Ἀπολίσειν.
468. ΑΙ. Ἀλγῶν, ἀκπνίων.
469. ΜΑ. Μικησάμενος, φθογγάμενος βαρύ.
470. ΚΡΙ. Ἐψόφησεν, ἤχησε, ποιὸν ἦχον ἀπετίλεσε.
471. ΠΑ. Ὁ ἔξω τοῦ ζυγοῦ ἵππος, παράσειρος λεγόμενος.
473. ΤΑ. Ἐκτεταμένον, ὡς μάχαιρα ἔχον τὴν ἀκμήν.

Ἀΐξας ἀπέκοψε παρήορον, ἠδὲ ἐμάτησε·
Τὼ δ' ἰθυνθήτην, ἐν δὲ ῥυτῆρσι τάνυσθεν. 475
Τὼ δ' αὖτις συνίτην ἔριδος περὶ θυμοβόροιο.
Ἔνθ' αὖ Σαρπηδὼν μὲν ἀπήμβροτε δεξὶ φαεινῷ,
Πατρόκλεε δ' ὑπὲρ ὦμον ἀριστερὸν ἤλυθ' ἀκωκὴ
Ἔγχεος, ἠδὲ ἔβαλ' αὐτόν· ὁ δ' ὕστερος ὤρνυτο χαλκῷ
Πάτροκλος· τοῦ δ' οὐχ ἅλιον βέλος ἐκφυγε χειρὸς, 480
Ἀλλ' ἔβαλ', ἔνθ' ἄρα τε φρένες ἔρχαται ἀμφὶ ἀδινὸν κῆρ·
Ἤριπε δὲ, ὡς ὅτε τις δρῦς ἤριπεν, ἢ ἀχερωὶς,
Ἠὲ πίτυς βλωθρὴ, τήν τ' ἔρεσι τέκτονες ἄνδρες
Ἐξέταμον πελέκεσσι νεήκεσι, νήϊον εἶναι·
Ὡς ὁ πρόσθ' ἵππων καὶ δίφρου κεῖτο τανυσθεὶς, 485
Βεβρυχὼς, κόνιος δεδραγμένος αἱματοέσσης.
Ἠΰτε ταῦρον ἔπεφνε λέων ἀγέληφι μετελθὼν,
Αἴθωνα, μεγάθυμον, ἐν εἰλιπόδεσσι βόεσσιν,
Ὤλετό τε σπάχων ὑπὸ γαμφηλῇσι λέοντος·
Ὡς ὑπὸ Πατρόκλῳ Λυκίων ἀγὸς ἀσπιστάων 490
Κτεινόμενος μενέαινε, φίλον δ' ὀνόμηνεν ἑταῖρον·
Γλαῦκε πέπον, πολεμιστὰ μετ' ἀνδράσι, νῦν σε μάλα χρὴ
Αἰχμητήν τ' ἔμεναι, καὶ θαρσαλέον πολεμιστήν·
Νῦν τοι ἐελδέσθω πόλεμος κακὸς, εἰ θοός ἐσσι.

474. ΕΜ. Οὐδὲ ἱματιοπράγησεν, ἢ ἠμέλησεν.

475. ΙΘΥΝ. Ἐπ' εὐθείας ἔστησαν πεπαγμένοι. ΡΥ. Χαλινοῖς, ἡνίαις· Παρὰ τὸ ἐρύειν· ὅ ἐστιν, ἕλκειν. ΤΑ. Ἀπευθύνθησαν.

476. ΕΡΙ. Περὶ τῆς φιλονεικίας.

481. ΕΝΘ. Ἔνθα αἱ φρένες εἰσὶ περὶ τὸ φύσει λαμπρὸν καὶ ἡδὺ μέρος τῆς ψυχῆς. ΕΡ. Συνέρχονται. ΑΔΙ. Πυκνὸν, συνετόν.

482. ΑΧΕ. Δένδρον, ὃ καλεῖται λεύκη. Ἔνιοι δὲ φηγῶ εἶδος εἶπον αὐτήν.

483. ΒΑΩ. Εὐαυξὲς, μεγάλη.

484. ΝΕ. Νεωστὶ ἠκονημένοις. ΝΗ. Ναυπηγήσιμον ξύλον.

486. ΒΕ. Βρυχώμενος, ποιὸν ἦχον ἀποτελῶν, πιλῶν τοὺς ὀδόντας, καὶ συναρμόζων αὐτούς.

489. ΓΑΜ. Σιαγόσι, γνάθοις.

491. ΜΕ. Νῦν, ἐλεηποψύχει. Ἀλλαχοῦ δέ φησι· Νήπιοι, οἳ Ζηνὶ μενεαίνομεν· ἀντὶ τοῦ, ὀργιζόμεθα. Καὶ· μενέαινε δὲ κῦδος ἀρέσθαι· ἀντὶ τοῦ, προεθυμεῖτο.

494. ΕΕΔ. Ἐπιθυμεῖτω.

Πρῶτα μὲν ὄτρυνον Λυκίων ἡγήτορας ἄνδρας, 495
Πάντη ἐποιχόμενος, Σαρπηδόνος ἀμφιμάχεσθαι·
Αὐτὰρ ἔπειτα καὶ αὐτὸς ἐμεῦ περὶ μάρναο χαλκῷ.
Σοὶ γὰρ ἐγὼ καὶ ἔπειτα κατηφείη καὶ ὄνειδος
Ἔσσομαι ἤματα πάντα διαμπερὲς, εἴ κέ μ' Ἀχαιοὶ
Τεύχεα συλήσωσι, νεῶν ἐν ἀγῶνι πεσόντα. 500
Ἀλλ' ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα.
Ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψεν,
Ὀφθαλμὼς, ῥῖνάς θ'· ὁ δὲ λὰξ ἐν στήθεσι βαίων,
Ἐκ χροὸς εἷλκε δόρυ, πρὸς δὲ φρένες αὐτῷ ἕποντο·
Τοῖο δ' ἅμα ψυχήν τε καὶ ἔγχεος ἐξέρυσ' αἰχμήν. 505
Μυρμιδόνες δ' αὐτοῦ ἀχέθον ἵππους φυσιόωντας
Ἱεμένους φοβέεσθαι, ἐπεὶ λίπον ἅρματ' ἀνάκτων.
Γλαύκῳ δ' αἰνὸν ἄχος γένετο φθογγῆς αἰόντι·
Ὠρίνθη δέ οἱ ἦτορ, ὅτ' οὐ δύνατο προσαμῦναι.
Χειρὶ δ' ἑλὼν ἐπίεζε βραχίονα· τεῖρε γὰρ αἰνῶς 510
Ἕλκος, ὃ δή μιν Τεῦκρος ἐπεσσύμενον βάλεν ἰῷ,
Τείχεος ὑψηλοῖο ἀρὴν ἑτάροισιν ἀμύνων.
Εὐχόμενος δ' ἄρα εἶπεν ἑκηβόλῳ Ἀπόλλωνι·
Κλῦθι, ἄναξ, ὅς τις Λυκίης ἐν πίονι δήμῳ
Εἶς, ἢ ἐνὶ Τροίῃ· δύνασαι δὲ σὺ πάντοσ' ἀκούειν 515

498. ΚΑ. Αἰχύνη, ὄνειδος.
499. ΔΙΑ. Διόλου,
500. ΑΓ. Ἐν τῷ ἀθροίσματι τῶν νηῶν.
501. ΕΧΕ. Ἀντίχου τῆς μάχης, καὶ προῖγασο.
502. ΤΕ. Ὁ δὲ θάνατος αὐτὸν ἔλαβε τούς τε ὀφθαλμοὺς καὶ τὰς ῥῖνας· ἐπεὶ οἱ τελευτῶντες, ἢ βλέπουσιν, ἢτε ἀναπνέουσιν, ἢτε φρένας ἔχουσι.
504. ΠΡΟ. Προσείχοντο δὲ αὐτῷ αἱ φρένες. ΦΡΕ. Ἀεὶ ὁ Ποιητὴς φρένας καλεῖ τὸ διάφραγμα.
505. ΤΟΙ. Τούτου δὲ κατ' αὐτὸ τὴν τε ψυχὴν καὶ τὴν τοῦ δόρατος αἰχμὴν ἐξείλκυσι.
507. ΛΙ. Ἔλειπον τὰ ἅρματα τῶν δεσποτῶν.
508. ΦΘΟΓ. Φωνῆς. ΑΙ. Ἀκούοντι.
509. ΩΡΙΝ. Συνεχύθη.
510. ΕΠΙ. Ἐξέθλιβε.
515. ΔΥ. Δύναται δὲ πανταχόθεν ψυχὴ εἰς τὸ παραγενέσθαι λυπουμένου ἀνδρός.

ἀνέρι κηδομένῳ, ὡς νῦν ἐμὲ κῆδος ἱκάνει.
Ἕλκος μὲν δὴ ἔχω τόδε καρτερὸν, ἀμφὶ δέ μοι χεὶρ
Ὀξέος ὀδύνῃσιν ἐλήλαται, ἠδέ μοι αἷμα
Τερσῆναι δύναται· βαρύθει δέ μοι ὦμος ὑπ' αὐτῇ·
Ἔγχος δ' οὐ δύναμαι ἔχειν ἔμπεδον, ἠδὲ μάχεσθαι 520
Ἐλθὼν δυσμενέεσσιν· ἀνὴρ δ' ὤριστος ὄλωλε,
Σαρπηδὼν, Διὸς υἱός· ὁ δ' ἠδ' ᾧ παιδὶ ἀμύνει.
Ἀλλὰ σύ περ μοι, ἄναξ, τόδε καρτερὸν ἕλκος ἄπεσσαι,
Κοίμησον δ' ὀδύνας, δὸς δὲ κράτος, ὄφρ' ἑτάροισι
Κεκλόμενος Λυκίοισιν ἐποτρύνω πολεμίζειν· 525
Αὐτός τ' ἀμφὶ νέκυι κατατεθνειῶτι μάχωμαι.'
Ὣς ἔφατ' εὐχόμενος· τῷ δ' ἔκλυε Φοῖβος Ἀπόλλων·
Αὐτίκα παῦσ' ὀδύνας, ἀπὸ δ' ἕλκεος ἀργαλέοιο
Αἷμα μέλαν τέρσηνε, μένος δέ οἱ ἔμβαλε θυμῷ.
Γλαῦκος δ' ἔγνω ἧσιν ἐνὶ φρεσὶ, γήθησέν τε, 530
Ὅθι οἱ ὦκ' ἤκουσε μέγας θεὸς εὐξαμένοιο.
Πρῶτα μὲν ὤτρυνεν Λυκίων ἡγήτορας ἄνδρας,
Πάντη ἐποιχόμενος, Σαρπηδόνος ἀμφιμάχεσθαι.
Αὐτὰρ ἔπειτα μετὰ Τρῶας κίε, μακρὰ βιβάθων,
Πηλυδάμαντ' ἔπι Πανθοΐδην, καὶ Ἀγήνορα δῖον· 535
Βῆ δὲ μετ' Αἰνείαν τε, καὶ Ἕκτορα χαλκοκορυστὴν,
Ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
'Ἕκτορ, νῦν δὴ πάγχυ λελασμένος εἶς ἐπικούρων,
Οἳ σέθεν εἵνεκα, τῆλε φίλων, καὶ πατρίδος αἴης,
Θυμὸν ἀποφθινύθουσι· σὺ δ' οὐκ ἐθέλεις ἐπαμύνειν. 540
Κεῖται Σαρπηδὼν, Λυκίων ἀγὸς ἀσπιστάων,

516. ΚΗ. Ἀνιαρίνῃ, λυπουμένῃ.
518. ΟΞ. Δριμείαις, χαλεπαῖς. ΕΔΗ. Διατέτραται.
519. ΤΕΡ. Ξηρανθῆναι. ΒΑ. Βαρύνεται.
524. ΚΟΙ. Νῦν, κατάπαυσον.
525. ΚΕ. Παρακελευόμενος.
534. ΒΙ. Προβαίνων.

"Ὸς Λυκίην εἴρυτο δίκῃσί τε καὶ θέμεϊ ᾧ·
Τὸν δ' ὑπὸ Πατρόκλῳ δάμασ' ἔγχεϊ χάλκεος Ἄρης.
Ἀλλὰ, φίλοι, πάρςητε, νεμεσσήθητε δὲ θυμῷ,
Μὴ ἀπὸ τεύχε' ἕλωνται, ἀεικίσσωσι δὲ νεκρὸν, 545
Μυρμιδόνες, Δαναῶν κεχολωμένοι, ὅσσοι ὄλοντο,
Τὺς ἐπὶ νηυσὶ θοῇσιν ἐπέφνομεν ἐγχείῃσιν.'
Ὣς ἔφατο· Τρῶας δὲ κατακρῆθεν λάβε πένθος
Ἄχετον, ἄκ ἐπιεικτὸν, ἐπεὶ σφισιν ἔρμα πόλῃος
Ἔσκε, κὴ ἀλλοδαπός περ ἐών· πολέες γὰρ ἅμ' αὐτῷ 550
Λαοὶ ἕπονθ', ἐν δ' αὐτὸς ἀριςεύεσκε μάχεσθαι.
Βὰν δ' ἰθὺς Δαναῶν λελιημένοι· ἦρχε δ' ἄρα σφιν
Ἕκτωρ, χωόμενος Σαρπηδόνος. Αὐτὰρ Ἀχαιοὺς
Ὤρσε Μενοιτιάδαο Πατροκλῆος λάσιον κῆρ·
Αἴαντε πρώτω προσέφη, μεμαῶτε καὶ αὐτώ· 555
Αἴαντε, νῦν σφῶϊν ἀμύνεσθαι φίλον ἔςω,
Οἷοί περ πάρος ἦτε μετ' ἀνδράσιν, ἢ κὴ ἀρείους,
Κεῖται ἀνὴρ, ὃς πρῶτος ἐσήλατο τεῖχος Ἀχαιῶν,
Σαρπηδών· ἀλλ' εἴ μιν ἀεικισσαίμεθ' ἑλόντες,
Τεύχεά τ' ὤμοιϊν ἀφελοίμεθα, καί τιν' ἑταίρων 560
Αὐτῆ ἀμυνομένων δαμασαίμεθα νηλέϊ χαλκῷ.'
Ὣς ἔφαθ'· οἱ δὲ κὴ αὐτοὶ ἀλέξασθαι μενέαινον,
Οἱ δ' ἐπεὶ ἀμφοτέρωθεν ἐκαρτύναντο φάλαγγας,

542. ΕΙ. Ἔσωζε. ΔΙ. Εὐδικίᾳ καὶ δυνάμει ἰδίᾳ.

544. ΠΑΡ. Ἐγγὺς γῆτε. ΝΕ. Μιμνήσθὴν ἡγήσασθε.

545. ΑΕΙ. Ὑβρίσωσιν, αἰκίσωνται, τιμωρήσωνται.

548. ΚΑ. Κατὰ τῆς κεφαλῆς, κατὰ κρατός.

549. ΑΣ. Ἀκατάσχετον, ἄφοβον. ΕΠΙ. Οὐ μέτριον, οὐ φορητόν. ΕΡ. Ἔρεισμα, φύλαγμα.

550. ΕΣ. Ἦν, ὑπῆρχεν. ΑΔ. Ἀλλογενὴς, ξένος.

552. ΔΕ. Συγκροφίντες, προθυμηθέντες.

554. ΛΑ. Συνετόν. ΚΗΡ. Συνετὴ ψυχή. Περίφρασις, ὁ τρόπος.

556. ΣΦΩ. Ὑμῶν.

558. ΕΣ. Ἀντὶ τοῦ, διεσάλευσεν, ἐπλήρωσεν εἰσωθῶν.

563. ΕΚΑΡ. Ἰσχυροποίησαν, ἠσφαλίσαντο.

Τρῶες τ' Λύκιοι, τ' Μυρμιδόνες καὶ Ἀχαιοὶ,
Σύμβαλον ἀμφὶ νέκυι κατατεθνειῶτι μάχεσθαι, 565
Δεινὸν ἀΰσαντες· μέγα δ' ἔβραχε τεύχεα φωτῶν.
Ζεὺς δ' ἐπὶ νύκτ' ὀλοὴν τάνυσε κρατερῇ ὑσμίνῃ,
Ὄφρα φίλῳ περὶ παιδὶ μάχης ὀλοὸς πόνος εἴη.
Ὧσαν δὲ πρότεροι Τρῶες ἐλίκωπας Ἀχαιούς·
Βλῆτο γὰρ ἔτι κάκιστος ἀνὴρ μετὰ Μυρμιδόνεσσιν, 570
Υἱὸς Ἀγακλῆος μεγαθύμου, δῖος Ἐπειγεὺς,
Ὃς ῥ' ἐν Βαθείῃ εὐναιομένῳ ἤνασσε
Τὸ πρίν· ἀτὰρ τότε γ' ἐθλὸν ἀνεψιὸν ἐξεναρίζας
Ἐς Πηλῆ' ἱκέτευσε, τ' ἐς Θέτιν ἀργυρόπεζαν·
Οἱ δ' ἅμ' Ἀχιλλῆϊ ῥηξήνορι πέμπον ἕπεσθαι 575
Ἴλιον εἰς εὔπωλον, ἵνα Τρώεσσι μάχοιτο.
Τόν ῥα τόθ' ἁπτόμενον νέκυος βάλε φαίδιμος Ἕκτωρ
Χερμαδίῳ κεφαλήν· ἡ δ' ἄνδιχα πᾶσα κεάθη
Ἐν κόρυθι βριαρῇ· ὁ δ' ἄρα πρηνὴς ἐπὶ νεκρῷ
Κάππεσεν, ἀμφὶ δέ μιν θάνατος χύτο θυμοραϊστής. 580
Πατρόκλῳ δ' ἄρ' ἄχος γένετο φθιμένου ἑτάροιο·
Ἴθυσεν δὲ διὰ προμάχων, ἴρηκι ἐοικώς
Ὠκείῃ, ὅστ' ἐφόβησε κολοιούς τε, ψῆράς τε·
Ὣς ἰθὺς Λυκίων, Πατρόκλεις ἱπποκέλευθε,
Ἔσσυο καὶ Τρώων· κεχόλωτο δὲ κῆρ ἑτάροιο. 585
Καί ῥ' ἔβαλε Σθενέλαον, Ἰθαιμένεος φίλον υἱὸν,
Αὐχένα χερμαδίῳ, ῥῆξεν δ' ἀπὸ τοῖο τένοντας.
Χώρησαν δ' ὑπό τε πρόμαχοι καὶ Φαίδιμος Ἕκτωρ.
Ὅσσον δ' αἰγανέης ῥιπὴ ταναοῖο τέτυκται,

572. ΒΟΥ. Βούδειον, πόλις Θεσσαλίας.
574. ΕΣ. Ἀντὶ τοῦ, πρὸς Πηλέα.
578. ΑΝ. Διχῶς, εἰς δύο.
583. ΨΗ. Ψάρας.
589. ΑΙ. Εἴδος ἀκοντίου, παρὸ αἰγῶν ἄγραν ἐπιτηδείου. ΤΑ. Εἰς μῆκος τεταμένης, μακρᾶς.

Ἦν ῥά τ' ἀνὴρ ἀφέῃ πειρώμενος ἢ ἐν ἀέθλῳ, 590
Ἠὲ καὶ ἐν πολέμῳ, δηΐων ὕπο θυμοραϊστέων·
Τόσσον ἐχώρησαν Τρῶες, ὤσαντο δ' Ἀχαιοί.
Γλαῦκος δὲ πρῶτος, Λυκίων ἀγὸς ἀσπιστάων,
Ἐτράπετ', ἔκτεινεν δὲ Βαθυκλῆα μεγάθυμον,
Χάλκωνος φίλον υἱὸν, ὃς Ἑλλάδι οἰκία ναίων 595
Ὄλβῳ τε πλήτῳ τε μετέπρεπε Μυρμιδόνεσσι·
Τὸν μὲν ἄρα Γλαῦκος σῆθος μέσον ὕτασε δουρὶ,
Στρεφθεὶς ἐξαπίνης, ὅτε μιν κατέμαρπτε διώκων·
Δύπησεν δὲ πεσών· πυκινὸν δ' ἄχος ἔλλαβ' Ἀχαιοὺς,
Ὡς ἔπεσ' ἐσθλὸς ἀνὴρ, μέγα δὲ Τρῶες κεχάροντο· 600
Στὰν δ' ἀμφ' αὐτὸν ἰόντες ἀολλέες· οὐδ' ἄρ' Ἀχαιοὶ
Ἀλκῆς ἐξελάθοντο, μένος δ' ἰθὺς φέρον αὐτῶν.
Ἔνθ' αὖ Μηριόνης Τρώων ἕλεν ἄνδρα κορυστὴν
Λαόγονον, θρασὺν υἱὸν Ὀνήτορος, ὃς Διὸς ἱρεὺς
Ἰδαίου ἐτέτυκτο, θεὸς δ' ὡς τίετο δήμῳ· 605
Τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ ὄατος· ὦκα δὲ θυμὸς
Ὤχετ' ἀπὸ μελέων, συγερὸς δ' ἄρα μιν σκότος εἷλεν.
Αἰνείας δ' ἐπὶ Μηριόνῃ δόρυ χάλκεον ἧκεν·
Ἔλπετο γὰρ τεύξεσθαι ὑπασπίδια προβιβῶντος·
Ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος, 610
Πρόσσω γὰρ κατέκυψε, τὸ δ' ἐξόπιθεν δόρυ μακρὸν
Οὔδει ἐνισκίμφθη, ἐπὶ δ' ὀρίαχος πελεμίχθη

595. ΕΛ. Ἑλλὰς, πόλις Θεσσαλίας· ἧς οἱ πολῖται πρῶτοι εἶχον τοῦτο, καλεῖσθαι Ἕλληνες. Ἀπὸ Ἕλληνος, καὶ Δευκαλίωνος καὶ Πύῤῥας. Ὕστερον δὴ πάντες οἱ τῆ Ἑλλάδος οἰκήσαντες Ἕλληνες, ὀνόματι κοινῷ, ὡς φησι Θουκυδίδης ἐν τῆ Α. Πρότερον δὲ ἐκεῖνοι μόνοι Ἕλληνες ἐκαλοῦντο, οἱ δὲ ἄλλοι κατὰ ἔθνη ἕκαστος· ὥσπερ καὶ ὁ Ποιητὴς ἐν τῷ καταλόγῳ λέγει· Μυρμιδόνες δὲ καλεῦντο, καὶ Ἕλληνες, καὶ Ἀχαιοί.

596. ΟΛ. Εὐδαιμονίᾳ, πλούτῳ.

600. ΚΕ. Ἐχάρησαν.

603. ΚΟ. Πολεμιστὴν.

609. ΤΕΥ. Ἐπιτυχεῖν. ΥΠ. Ὑπὸ τὴν ἀσπίδα βαίνοντος.

610. ΑΝ. Ἀντικρὺ σκοπήσας.

612. ΕΝΙ. Ἐγκατεκλίθη, ἐπτάγη. ΟΥ. Τὸ ὀπισθεν μέρος τοῦ δόρατος, ὃ καὶ

Ἔγχεος· ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄβριμος ἄρης·
Αἰχμὴ δ' Αἰνείαο κραδαινομένη κατὰ γαίης
Ὤχετ', ἐπεί ῥ' ἄλιον σιβαρῆς ἀπὸ χειρὸς ὄρυσεν. 615
Αἰνείας δ' ἄρα θυμὸν ἐχώσατο, φώνησέν τε·
'Μηριόνη, τάχα κέν σε, καὶ ὀρχηστὴν περ ἐόντα,
'Ἔγχος ἐμὸν κατέπαυσε διαμπερὲς, εἴ σ' ἔβαλόν περ.'
Τὸν δ' αὖ Μηριόνης δυρικλυτὸς ἀντίον ηὔδα·
'Αἰνεία, χαλεπόν σε, καὶ ἴφθιμόν περ ἐόντα, 620
'Πάντων ἀνθρώπων σβέσσαι μένος, ὅς κέ σευ ἄντα
'Ἔλθῃ ἀμυνόμενος· θνητὸς δέ νυ καὶ σὺ τέτυξαι.
'Εἰ καὶ ἐγώ σε βάλοιμι τυχὼν μέσον ὀξέϊ χαλκῷ,
'Αἶψά κε, καὶ κρατερός περ ἐὼν καὶ χερσὶ πεποιθὼς,
'Εὖχος ἐμοὶ δοίης, ψυχὴν δ' Ἀϊδι κλυτοπώλῳ.' 625
Ὣς φάτο· τὸν δ' ἐνένιπε Μενοιτίου ἄλκιμος υἱός·
'Μηριόνη, τί σὺ ταῦτα, καὶ ἐσθλὸς ἐὼν, ἀγορεύεις;
'Ὦ πέπον, ὅτι Τρῶες ὀνειδείοις ἐπέεσσι
'Νεκρὸν χωρήσουσι, πάρος τινὰ γαῖα καθέξει·
'Ἐν γὸ χερσὶ τέλος πολέμου, ἐπέων δ', ἐνὶ βουλῇ· 630
'Τῷ ὅτι χρὴ μῦθον ὀφέλλειν, ἀλλὰ μάχεσθαι.'
Ὣς εἰπὼν, ὁ μὲν ἦρχ', ὁ δ' ἅμ' ἕσπετο ἰσόθεος φώς.
Τῶν δ', ὥστε δρυτόμων ἀνδρῶν ὀρυμαγδὸς ὄρωρεν
Οὔρεος ἐν βήσσῃς, ἔκαθεν δέ τε γίνετ' ἀκουή·

σαυρωτὴρ καλεῖται. ΠΕ. Διισείδη, ἰτινάχθη.

613. ΑΡΗΣ. Νῦν, ὁ σίδηρος.

617. ΟΡ. Εὐκίνητον κατὰ τὸν πόλεμόν· ὅ ἐστι, συγκεκροτημένον τὰ πολεμικὰ καλῶς. Ἐπυῤῥίχιζον γὰρ τοῖς ὅπλοις οἱ Κρῆτες πρὸς ἄσκησιν τῶν πολεμικῶν· ὅ ἐστι, σὺν τοῖς ὅπλοις τὴν πυῤῥίχιον καὶ ἔνοπλον ὄρχησιν ἠσκοῦντο. Τρία γὰρ εἴδη ὀρχήσεως· πυῤῥίχη· σίκινις, ἥτις ἐστὶν ἱερατική· καὶ ὁ κορδακισμὸς, αἰσχρός τις ὢν καὶ βεβήλοις ἁρμόδιος.

621. ΣΒΕΣ. Καθιλεῖν τὴν δύναμιν, κτεῖναι.

626. ΕΝΕ. Ἐπέπληξεν, ὠνείδισεν.

628. ΟΥ. Ἀντὶ ᾧ, ὑδὲ ὀνειδιζόμενοι, ὑδὲ κακολογούμενοι, οἱ Τρῶες ὑπείξουσι ᾧ πολέμῳ.

630. ΕΝ. Ὁ πόλεμος μὲν γὰρ χειρῶν δεῖται πρὸς κατόρθωσιν· βουλὴ δὲ καὶ ἐκκλησία, λόγων.

631. ΟΦΕΛ. Αὔξειν.

633. ΔΡΥ. Ξυλοτόμων.

Ὣς τῶν ὤρνυτο δοῦπος ἀπὸ χθονὸς εὐρυοδείης, 635
Χαλκῷ τε, ῥινῷ τε, βοῶν τ' εὐποιητάων,
Νυσσομένων ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν.
Οὐδ' ἂν ἔτι φράδμων περ ἀνὴρ Σαρπηδόνα δῖον
Ἔγνω, ἐπεὶ βελέεσσι, καὶ αἵματι, καὶ κονίῃσιν,
Ἐκ κεφαλῆς εἴλυτο διαμπερὲς ἐς πόδας ἄκρους. 640
Οἱ δ' αἰὲν περὶ νεκρὸν ὁμίλεον, ὡς ὅτε μυῖαι
Σταθμῷ ἔνι βρομέωσι περιγλαγέας κατὰ πέλλας,
Ὥρῃ ἐν εἰαρινῇ, ὅτε τε γλάγος ἄγγεα δεύει·
Ὣς ἄρα τοὶ περὶ νεκρὸν ὁμίλεον· οὐδέ ποτε Ζεὺς
Τρέψεν ἀπὸ κρατερῆς ὑσμίνης ὄσσε φαεινώ, 645
Ἀλλὰ κατ' αὐτοὺς αἰὲν ὅρα, καὶ φράζετο θυμῷ
Πολλὰ μάλ' ἀμφὶ φόνῳ Πατρόκλου, μερμηρίζων,
Ἢ ἤδη καὶ κεῖνον ἐνὶ κρατερῇ ὑσμίνῃ
Αὐτοῦ ἐπ' ἀντιθέῳ Σαρπηδόνι φαίδιμος Ἕκτωρ
Χαλκῷ δηώσῃ, ἀπό τ' ὤμων τεύχε' ἕληται, 650
Ἢ ἔτι καὶ πλείονεσσιν ὀφέλλειεν πόνον αἰπύν.
Ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
Ὄφρ' ἠΰς θεράπων Πηληϊάδεω Ἀχιλῆος
Ἐξαῦτις Τρῶάς τε καὶ Ἕκτορα χαλκοκορυστὴν
Ὤσαιτο πρωτὶ ἄστυ, πολέων δ' ἀπὸ θυμὸν ἕλοιτο. 655
Ἕκτορι δὲ πρωτίστῳ ἀνάλκιδα θυμὸν ἐνῆκεν·
Ἐς δίφρον δ' ἀναβὰς φύγαδ' ἔτραπε, κέκλετο δ' ἄλλους

635. ΕΥ. Μεγαλαμφόδου, πλατείας.

638. ΦΡΑ. Διορατικός, ὀξύς, ἢ ἔμπειρος. Ὁ δὲ λόγος· οὐδὲ ὁ πάνυ γνώριμος, φησὶ, καὶ συνήθης τῷ Σαρπηδόνι, ἠδύνατο γνωρίσαι αὐτὸν, διὰ τὸ αἵματι καὶ κόνει πεφῦρθαι.

640. ΒΙ. Ἐπεκάλυπτο.

641. ΟΜΙ. Συνεστρέφοντο.

642. ΣΤΑΘ. Τῇ τῶν βοσκημάτων γάσει καὶ ἐπαύλει. ΒΡΟ. Ποιὸν ἦχον ἀποτελοῦσι. ΠΕΡ. Γάλακτι πεπληρωμένας.

643. ΕΙΑ. Ἐν τῇ τοῦ ἔαρος ὥρᾳ. ΓΛΑ. Γάλα. ΔΕΥ. Βρέχει, ὑγραίνει, ἢ πληροῖ.

646. ΚΑΤ. Ἀντὶ τοῦ, ἐπ' αὐτούς.

652. ΔΟ. Ἔδοξεν, ἐφάνη.

Τρῶας φευγέμεναι· γνῶ γὰρ Διὸς ἱρὰ τάλαντα.
Ἔνθ' ἤδη ἴφθιμοι Λύκιοι μένον, ἀλλ' ἐφόβηθεν
Πάντες, ἐπεὶ βασιλῆα ἴδον βεβλημένον ἦτορ, 660
Κείμενον ἐν νεκύων ἀγύρει· πολέες γὰρ ἐπ' αὐτῷ
Κάππεσον, εὖτ' ἔριδα κρατερὴν ἐτάνυσσε Κρονίων.
Οἱ δ' ἄρ' ἀπ' ὤμοιϊν Σαρπηδόνος ἔντε' ἕλοντο,
Χάλκεα, μαρμαίροντα, τὰ μὲν κοίλας ἐπὶ νῆας
Δῶκε φέρειν ἑτάροισι Μενοιτίου ἄλκιμος υἱός. 665
Καὶ τότ' Ἀπόλλωνα προσέφη νεφεληγερέτα Ζεύς·
Εἶδη ἄγε νῦν, φίλε Φοῖβε, κελαινεφὲς αἷμα κάθηρον
Ἐλθὼν ἐκ βελέων Σαρπηδόνα, καί μιν ἔπειτα,
Πολλὸν ἄπο προφέρων, λοῦσον ποταμοῖο ῥοῇσι,
Χρῖσόν τ' ἀμβροσίῃ, περὶ δ' ἄμβροτα εἵματα ἕσσον· 670
Πέμπε δέ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι,
Ὕπνῳ καὶ Θανάτῳ διδυμάοσιν, οἵ ῥά μιν ὦκα
Θήσουσ' ἐν Λυκίης εὐρείης πίονι δήμῳ·
Ἔνθα ἑ ταρχύσουσι κασίγνητοί τε, ἔταί τε,
Τύμβῳ τε, στήλῃ τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων. 675
Ὣς ἔφατ'· ἤδη ἄρα πατρὸς ἀνηκούσησεν Ἀπόλλων·
Βῆ δὲ κατ' Ἰδαίων ὀρέων ἐς φύλοπιν αἰνήν·
Αὐτίκα δ' ἐκ βελέων Σαρπηδόνα δῖον ἀείρας,
Πολλὸν ἄπο προφέρων, λοῦσεν ποταμοῖο ῥοῇσι,
Χρῖσέν τ' ἀμβροσίῃ, περὶ δ' ἄμβροτα εἵματα ἕσσε. 680
Πέμπε δέ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι,
Ὕπνῳ καὶ Θανάτῳ διδυμάοσιν, οἵ ῥά μιν ὦκα
Κάτθεσαν ἐν Λυκίης εὐρείης πίονι δήμῳ.

658. ΤΑ. Τὰ τοῦ Διὸς ζυγὰ, τὰ ἱερὰ τάλαντα.
660. ΒΕΒ. γρ. Βεβλαμμένον.
661. ΑΓΥ. Τῷ ἀθροίσματι.
681. ΠΟΜ. Τοῖς παραπέμπουσιν αὐτὸν καὶ παρακομίζουσι. ΚΡΑΙΠ. Ταχέσι.
682. ΔΙΔ. Διδύμοις.
683. ΠΙ. Ἐν πολλῷ καὶ εὐδαίμονι ὄχλῳ.

Πάτροκλος δ' ἵπποισι καὶ Αὐτομέδοντι κελεύσας,
Τρῶας καὶ Λυκίους μετεκίαθε, καὶ μέγ' ἀάθη, 685
Νήπιος· εἰ δὲ ἔπος Πηληϊάδαο φύλαξεν,
Ἦτ' ἂν ὑπέκφυγε κῆρα κακὴν μέλανος θανάτοιο.
Ἀλλ' αἰεί γε Διὸς κρείσσων νόος ἠέ περ ἀνδρῶν,
Ὅς τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ, καὶ ἀφείλετο νίκην
Ῥηϊδίως, ὅτε δ' αὐτὸς ἐποτρύνῃσι μάχεσθαι· 690
Ὅς οἱ καὶ τότε θυμὸν ἐνὶ στήθεσσιν ἀνῆκεν.
Ἔνθα τίνα πρῶτον, τίνα δ' ὕστατον ἐξενάριξας,
Πατρόκλεις, ὅτε δή σε θεοὶ θάνατόνδε κάλεσσαν;
Ἀδρηστον μὲν πρῶτα, καὶ Αὐτόνοον, καὶ Ἔχεκλον,
Καὶ Πέριμον Μεγάδην, καὶ Ἐπίστορα, καὶ Μελάνιππον· 695
Αὐτὰρ ἔπειτ' Ἔλασον, καὶ Μύλιον, ἠδὲ Πυλάρτην·
Τοὺς ἕλεν· οἱ δ' ἄλλοι φύγαδ' ἐμνώοντο ἕκαστος.
Ἔνθα κεν ὑψίπυλον Τροίην ἕλον υἷες Ἀχαιῶν,
Πατρόκλου ὑπὸ χερσὶ, περὶ πρὸ γὰρ ἔγχεϊ θῦεν,
Εἰ μὴ Ἀπόλλων Φοῖβος ἐϋδμήτου ἐπὶ πύργου 700
Ἔστη, τῷ ὀλοὰ φρονέων, Τρώεσσι δ' ἀρήγων.
Τρὶς μὲν ἐπ' ἀγκῶνος βῆ τείχεος ὑψηλοῖο
Πάτροκλος, τρὶς δ' αὐτὸν ἀπεστυφέλιξεν Ἀπόλλων,
Χείρεσιν ἀθανάτῃσι φαεινὴν ἀσπίδα νύσσων·
Ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο, δαίμονι ἶσος, 705
Δεινὰ δ' ὁμοκλήσας προσέφη ἑκάεργος Ἀπόλλων·
Χάζεο, διογενὲς Πατρόκλεις· οὔ νύ τοι αἶσα
Σῷ ὑπὸ δουρὶ πόλιν πέρθαι Τρώων ἀγερώχων,

685. ΜΕ. Ἀντὶ Ἕ, μετήρχετο. ΑΑΣ. Ἐελάθη.
688. ΓΕ. γρ. Τε.
697. ΕΜ. Μνήμην ἐποιοῦντο.
698. ΥΥΙ. Ὑψηλὴν, μεγάλην.
699. ΠΕΡΙ. Ὑπὲρ γὰρ τοὺς ἄλλους ἔχει· καθ' ὑπερβολὴν καὶ ἐνθουσιωδῶς ὥρμα· ὅ ἐστιν, ἰμμανῶς ἐμάχετο σὺν τῷ δόρατι.
702. ΑΓ. Νῦν, τὸ Ἕ τείχους ἐξοχῆς.
703. ΑΠΕ. Ἀπεσείσατο.
708. ΠΕ. Πορθηθῆναι. ΑΓΕ. Ἄγαν ἐντίμων, πολυμυθῶν. Σημαίνει δὲ ἀλλαχοῦ τὸ αὐθαδῶν, καὶ ὑβριστῶν.

‘ Οὐδ᾽ ὑπ᾽ Ἀχιλλῆος, ὅσπερ σέο πολλὸν ἀμείνων.’
Ὣς φάτο· Πάτροκλος δ᾽ ἀνεχάζετο πολλὸν ὀπίσσω, 710
Μῆνιν ἀλευόμενος ἑκατηβόλου Ἀπόλλωνος.
Ἕκτωρ δ᾽ ἐν Σκαιῇσι πύλῃς ἔχε μώνυχας ἵππους·
Δῖζε γὰρ, ἠὲ μάχοιτο κατὰ κλόνον αὖτις ἐλάσσας,
Ἢ λαὸς ἐς τεῖχος ὁμοκλήσειεν ἀλῆναι.
Ταῦτ᾽ ἄρα οἱ φρονέοντι παρίστατο Φοῖβος Ἀπόλλων, 715
Ἀνέρι εἰσάμενος αἰζηῷ τε, κρατερῷ τε,
Ἀσίῳ, ὃς μήτρως ἦν Ἕκτορος ἱπποδάμοιο,
Αὐτοκασίγνητος Ἑκάβης, υἱὸς δὲ Δύμαντος,
Ὃς Φρυγίην ναίεσκε ῥοῇς ἐπὶ Σαγγαρίοιο·
Τῷ μιν ἐεισάμενος προσεφώνεε Φοῖβος Ἀπόλλων· 720
‘ Ἕκτορ, τίπτε μάχης ἀποπαύεαι; οὐδέ τί σε χρή.
‘ Αἴθ᾽ ὅσον ἥσσων εἰμὶ, τόσον σέο φέρτερος εἴην·
‘ Τῷ κε τάχα συγερῶς πολέμου ἀπερωήσειας,
‘ Ἀλλ᾽ ἄγε, Πατρόκλῳ ἔφεπε κρατερώνυχας ἵππους,
‘ Αἴ κέν πώς μιν ἕλῃς, δώῃ δέ τοι εὖχος Ἀπόλλων.’ 725
Ὣς εἰπὼν, ὁ μὲν αὖτις ἔβη θεὸς ἀμπόνον ἀνδρῶν·
Κεβριόνῃ δ᾽ ἐκέλευσε δαΐφρονι φαίδιμος Ἕκτωρ
Ἵππους ἐς πόλεμον πεπληγέμεν· αὐτὰρ Ἀπόλλων
Δύσεθ᾽ ὅμιλον ἰών· ἐν δὲ κλόνον Ἀργείοισιν
Ἧκε κακὸν, Τρωσὶν δὲ καὶ Ἕκτορι κῦδος ὄπαζεν. 730
Ἕκτωρ δ᾽ ἄλλους μὲν Δαναοὺς ἔα, οὐδ᾽ ἐνάριζεν·
Αὐτὰρ ὁ Πατρόκλῳ ἔφεπε κρατερώνυχας ἵππους.
Πάτροκλος δ᾽ ἑτέρωθεν ἀφ᾽ ἵππων ἆλτο χαμᾶζε,

713. ΔΙ. Ἀμφίβαλλεν, ἐδίωζε. ΚΛΟ. Ταραχὴν, θόρυβον.
714. ΟΜΟ. Ἀπωθήσει, κωλύσει. ΑΛΗ. Συγραφῆναι.
717. ΜΗ. Μητρὸς ἀδελφός.
723. ΑΠΕΡ. Ἀποχωρήσειας.
724. ΠΑ. Ἐπὶ τῷ Πατρόκλῳ ὥρμα, διώκων αὐτόν.
728. ΠΕ. Μαστίζειν.
731. ΕΑ. Συνεχώρει, εἶα. ΕΝΑ. Ἀνῆρει, ἐφόνευε.

Σκαιῇ ἔγχος ἔχων· ἑτέρῃφι δὲ λάζετο πέτρον
Μάρμαρον, ὀκριόεντα, τόν οἱ περὶ χεὶρ ἐκάλυψεν. 735
Ἧκε δ' ἐρεισάμενος· ἠδὲ δὴν χάζετο φωτὸς,
Οὐδ' ἀλίωσε βέλος· βάλε δ' Ἕκτορος ἡνιοχῆα
Κεβριόνην, νόθον υἱὸν ἀγακλῆος Πριάμοιο,
Ἵππων ἡνί' ἔχοντα, μετώπιον ὀξέϊ λᾶϊ·
Ἀμφοτέρας δ' ὀφρῦς σύνελεν λίθος, ἠδέ οἱ ἔσχεν 740
Ὀστέον· ὀφθαλμοὶ δὲ χαμαὶ πέσον ἐν κονίῃσιν
Αὐτῇ πρόσθε ποδῶν· ὁ δ' ἄρ', ἀρνευτῆρι ἐοικὼς,
Κάππεσ' ἀπ' εὐεργέος δίφρου· λίπε δ' ὀστέα θυμός.
Τὸν δ' ἐπικερτομέων προσέφης, Πατρόκλεις ἱππεῦ·
Ὦ πόποι, ἦ μάλ' ἐλαφρὸς ἀνὴρ, ὡς ῥεῖα κυβιστᾷ· 745
Εἰ δή που καὶ πόντῳ ἐν ἰχθυόεντι γένοιτο,
Πολλοὺς ἂν κορέσειεν ἀνὴρ ὅδε, τήθεα διφῶν,
Νηὸς ἀποθρώσκων, εἰ καὶ δυσπέμφελος εἴη·
Ὡς νῦν ἐν πεδίῳ ἐξ ἵππων ῥεῖα κυβιστᾷ·
Ἦ ῥα καὶ ἐν Τρώεσσι κυβιστητῆρες ἔασιν. 750
Ὣς εἰπὼν, ἐπὶ Κεβριόνῃ ἥρωϊ βεβήκει,
Οἶμα λέοντος ἔχων, ὅστε σαθμοὺς κεραΐζων
Ἔβλητο πρὸς στῆθος, ἑή τέ μιν ὤλεσεν ἀλκή·

735. ΜΑΡ. Λευκὸν λίθον. ΟΚΡΙ. Τραχύν.

736. ΕΡΕΙ. Πᾶσαν δύναμιν εἰσενεγκάμενος, καὶ ἐπιτείνων. ΧΑ. Οὐδὲ ἐπὶ πολὺν χρόνον ἀπείχετο τοῦ ἀνδρός.

737. ΑΛΙ. Μάταιον ἐποίησε. ΒΕ. Νῦν, φησὶ τὸν λίθον.

738. ΑΓΑ. Ἄγαν ἐνδόξου.

739. ΜΕ. Τὸ τῆς περικεφαλαίας, τὸ κατὰ τῶν μετώπων κείμενον.

740. ΣΥ. Συνέτριψεν. ΕΣ. Ἐπέσχεν, ἐκώλυσεν.

742. ΑΡ. Κυβιστητῆρι. Ἀπὸ μεταφορᾶς τῶν ἀριῶν· οὗτοι γὰρ ἐν τῷ τρέχειν τὴν κεφαλὴν ἐπισείουσιν.

744. ΕΠΙ. Παροξύνων, χλευάζων.

745. ΕΛΑ. Εὐκίνητος.

747. ΤΗ. Εἶδος ὀστρέων. Οἱ δὲ ἁπλῶς, ὄστρεα. ΔΙ. Ζητῶν, ἐρευνῶν.

748. ΔΥΣ. Δυσάρεστος, δυσκίνητος· ἢ, ὡς Ἡσίοδός φησι, δυσχείμερος.

751. ΕΠΙ. Ἀντὶ τοῦ, ἥλαυνεν ἐπὶ τὴν Κεβριόνῃ.

752. ΟΙ. Ὁρμημα. ΣΤΑΘ. Νῦν, τὰς ἐπαύλεις. ΚΕ. Πορθῶν, διαφθείρων, ἀφανίζων.

Ὣς ἐπὶ Κεβριόνῃ, Πατρόκλεις, ἄλσο μεμαώς.
Ἕκτωρ δ' αὖθ' ἑτέρωθεν ἀφ' ἵππων ἅλτο χαμᾶζε. 755
Τὼ περὶ Κεβριόναο, λέοντ' ὣς, δηριηθήτην,
Ὥτ' ὄρεος κορυφῇσι περὶ κταμένῃς ἐλάφοιο,
Ἄμφω πεινάοντε, μέγα φρονέοντε μάχεσθον·
Ὣς περὶ Κεβριόναο δύω μήστωρες ἀϋτῆς,
Πάτροκλός τε Μενοιτιάδης καὶ Φαίδιμος Ἕκτωρ, 760
Ἱεντ' ἀλλήλων ταμέειν χρόα νηλέϊ χαλκῷ.
Ἕκτωρ μὲν κεφαλῆφιν ἐπεὶ λάβεν, οὐχὶ μεθίει·
Πάτροκλος δ' ἑτέρωθεν ἔχεν ποδός· οἱ δὲ δὴ ἄλλοι
Τρῶες καὶ Δαναοὶ σύναγον κρατερὴν ὑσμίνην.
Ὣς δ' Εὖρός τε Νότος τ' ἐριδαίνετον ἀλλήλοιϊν, 765
Οὔρεος ἐν βήσσῃς, βαθέην πελεμιζέμεν ὕλην,
Φηγόν τε, μελίην τε, τανύφλοιόν τε κράνειαν,
Αἴτε πρὸς ἀλλήλας ἔβαλον τανυήκεας ὄζους
Ἠχῇ θεσπεσίῃ, πάταγος δέ τε ἀγνυμενάων·
Ὣς Τρῶες καὶ Ἀχαιοὶ ἐπ' ἀλλήλοισι θορόντες 770
Δῄουν, οὐδ' ἕτεροι μνώοντ' ὀλοοῖο φόβοιο.
Πολλὰ δὲ Κεβριόνην ἀμφ' ὀξέα δοῦρα πεπήγει,
Ἰοί τε πιπτόεντες ἀπὸ νευρῇφι θορόντες·
Πολλὰ δὲ χερμάδια μεγάλ' ἀσπίδας ἐνφέλιξε
Μαρναμένων ἀμφ' αὐτόν· ὁ δ' ἐν τροφάλιγγι κονίης 775
Κεῖτο μέγας μεγαλωστὶ, λελασμένος ἱπποσυνάων.
Ὄφρα μὲν ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει,
Τόφρα μάλ' ἀμφοτέρων βέλε' ἵπτετο, πίπτε δὲ λαός·

754. ΑΛ. Ὥρμησας, ἵλω.
756. ΔΗ. Ἐμαχέσαντο.
761. ΙΕΝ. Προιδυμῆντο.
764. ΣΥ. Συνέβαλλον, συνῆπτον.
765. ΕΡΙ. Ἐρίζουσι, φιλονεικοῦσι.
766. ΠΕΛ. Κινεῖν. Ἔνιοι, πολιμιζίμιν.
767. ΤΑ. Μακρὸν φλοιὸν ἔχουσαν, εὔϊνον.
769. ΠΑ. Ψόφος. ΑΓ. Κατασσομένων, κλωμένων.
770. ΘΟ. Ἐπιπηδῶντες.
775. ΣΤΡΟ. Συστροφῇ.
776. ΜΕ. Μέγας ἐπὶ μέγαν τόπον.

Ἦμος δ' ἠέλιος μετενίσσετο βουλυτόνδε,
Καὶ τότε δή ῥ' ὑπὲρ αἶσαν Ἀχαιοὶ φέρτεροι ἦσαν· 770
Ἐκ μὲν Κεβριόνην βελέων ἥρωα ἔρυσσαν,
Τρώων ἐξ ἐνοπῆς, καὶ ἀπ' ὤμων τεύχε' ἕλοντο.
Πάτροκλος δὲ Τρωσὶ κακὰ φρονέων ἐνόρουσε·
Τρὶς μὲν ἔπειτ' ἐπόρουσε, θοῷ ἀτάλαντος Ἄρηϊ,
Σμερδαλέα ἰάχων· τρὶς δ' ἐννέα φῶτας ἔπεφνεν· 775
Ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο, δαίμονι ἶσος,
Ἔνθ' ἄρα τοι, Πάτροκλε, φάνη βιότοιο τελευτή·
Ἤντετο γάρ τοι Φοῖβος ἐνὶ κρατερῇ ὑσμίνῃ
Δεινός· ὁ μὲν τὸν ἰόντα κατὰ κλόνον οὐκ ἐνόησεν·
Ἠέρι γὰρ πολλῇ κεκαλυμμένος ἀντεβόλησε· 780
Στῆ δ' ὄπιθε, πλῆξεν δὲ μετάφρενον, εὐρέε τ' ὤμω
Χειρὶ καταπρηνεῖ· στρεφεδίνηθεν δέ οἱ ὄσσε.
Τοῦ δ' ἀπὸ μὲν κρατὸς κυνέην βάλε Φοῖβος Ἀπόλλων·
Ἡ δὲ κυλινδομένη καναχὴν ἔχε ποσσὶν ὑφ' ἵππων
Αὐλῶπις τρυφάλεια· μιάνθησαν δὲ ἔθειραι 785
Αἵματι καὶ κονίῃσι· πάρος γε μὲν οὐ θέμις ἦεν
Ἱππόκομον πήληκα μιαίνεσθαι κονίῃσιν·
Ἀλλ' ἀνδρὸς θείοιο κάρη, χαρίεν τε μέτωπον
Ῥύετ' Ἀχιλλῆος· τότε δὲ Ζεὺς Ἕκτορι δῶκεν
Ἦ κεφαλῇ φορέειν· ἀχεδόθεν δέ οἱ ἦεν ὄλεθρος· 800
Πᾶν δέ οἱ ἐν χείρεσσιν ἄγη δολιχόσκιον ἔγχος,
Βριθύ, μέγα, στιβαρόν, κεκορυθμένον· αὐτὰρ ἀπ' ὤμων
Ἀσπὶς σὺν τελαμῶνι χαμαὶ πέσε τερμιόεσσα·
Λῦσε δέ οἱ θώρηκα ἄναξ, Διὸς υἱὸς, Ἀπόλλων.

779. ΜΕ. Μετῆλθε. ΒΟΥ. Ἐπὶ τὴν ἑσπέραν· δείλης· καθ' ὃν καιρὸν οἱ βόες ἀπολύονται τῶν ἔργων.

792. ΚΑ. Κατεγραμμένη. ΣΤΡΕ. Περιεγράφησαν αὐτοῦ οἱ ὀφθαλμοὶ, οἱονεὶ ἐσκοτώθησαν.

795. ΑΥ. Τὸ ἀπερικεφαλαίας ἀνάστημα, καὶ αὐτὴ ἡ περικεφαλαία. ΜΙ. Ἐμολύνθησαν. ΕΘΕ. Αἱ κόμαι.

796. ΘΕ. Οὐ δίκαιον.

803. ΤΕΡ. Ποδήρης, ἢ ὅλον τὸν ἄνθρωπον σκέπουσα· μεγάλη.

Τὸν δ' ἄτη φρένας εἷλε, λύθεν δ' ὑπὸ φάιδιμα γυῖα· 805
Στῆ δὲ ταφών· ὄπιθεν δὲ μετάφρενον ὀξέϊ δουρὶ
Ὤμων μεσσηγὺ κεδόθεν βάλε Δάρδανος ἀνὴρ,
Παιονίδης Εὔφορβος, ὃς ἡλικίην ἐκέκαστο
Ἔγχεί θ', ἱπποσύνῃ τε, πόδεσσί τε καρπαλίμοισι·
Καὶ ἦ δή ποτε φῶτας ἐείκοσι βῆσεν ἀφ' ἵππων, 810
Πρῶτ' ἐλθὼν σὺν ὄχεσφι, διδασκόμενος πολέμοιο.
Ὅς τοι πρῶτος ἐφῆκε βέλος, Πατρόκλειϊ ἱππεῦ,
Οὐδὲ δάμασσ'· ὁ μὲν αὖτις ἀνέδραμε, μίκτο δ' ὁμίλῳ,
Ἐκ χροὸς ἁρπάξας δόρυ μείλινον· ἠδ' ὑπέμεινε
Πάτροκλον, γυμνόν περ ἐόντ', ἐν δηϊοτῆτι. 815
Πάτροκλος δὲ θεῷ πληγῇ καὶ δουρὶ δαμασθεὶς,
Ἂψ ἑτάρων εἰς ἔθνος ἐχάζετο, κῆρ' ἀλεείνων.
Ἕκτωρ δ' ὡς εἶδεν Πατροκλῆα μεγάθυμον
Ἂψ ἀναχαζόμενον, βεβλημένον ὀξέϊ χαλκῷ,
Ἀγχίμολόν ῥά οἱ ἦλθε κατὰ στίχας, ἔνθα δὲ δουρὶ 820
Νείατον ἐς κενεῶνα· διὰ πρὸ δὲ χαλκὸν ἔλασσε·
Δούπησεν δὲ πεσὼν, μέγα δ' ἤκαχε λαὸν Ἀχαιῶν.
Ὡς δ' ὅτε σῦν ἀκάμαντα λέων ἐβιήσατο χάρμῃ,
Ὅτ' ὄρεος κορυφῇσι μέγα φρονέοντε μάχεσθον,
Πίδακος ἀμφ' ὀλίγης· ἐθέλουσι δὲ πιέμεν ἄμφω· 825
Πολλὰ δέ τ' ἀσθμαίνοντα λέων ἐδάμασσε βίηφιν·
Ὡς πολέας πέφνοντα Μενοιτίου ἄλκιμον υἱὸν
Ἕκτωρ Πριαμίδης κεδνὸν ἔγχεϊ θυμὸν ἀπηύρα·
Καί οἱ ἐπευχόμενος ἔπεα πτερόεντ' ἀγόρευε·

808. ΗΛΙ. Τοὺς ἡλικιώτας. ΕΚΕ. Ὑπερεῖχεν, ἐκεκόσμητο.
810. ΒΗ. Ἀπέβαλεν, ἀπεβίβασε τοῦ ἵππου.
811. ΟΧ. Ἀντὶ τοῦ, ἁρματομαχεῖν ἐπιχάμενος, ἐν πολέμῳ γυμναζόμενος. ΔΙ. Ἐκμανθάνων τὰ τοῦ πολέμου ἔργα.
820. ΑΓ. Σύνεγγυς· σημαίνει δὲ τὸ μετ' ὀλίγον.
822. ΗΚ. Ἐλύπησεν.
823. ΑΚΑ. Ἰσχυρὸν, μέγαν. ΕΒΙΗ. Κατηγωνίσατο.
825. ΠΙ. Περὶ μικρᾶς πηγῆς.
827. ΠΕ. Φονεύοντα.

Πάτροκλ', ἦ ῥα ἔφηθα πόλιν κεραϊζέμεν ἁμῆν, 830
Τρωϊάδας δὲ γυναῖκας, ἐλεύθερον ἦμαρ ἀπούρας,
Ἄξειν ἐν νήεσσι φίλην ἐς πατρίδα γαῖαν,
Νήπιε· τάων δὲ πρόσθ' Ἕκτορος ὠκέες ἵπποι
Ῥοσσὶν ὀρωρέχαται πολεμίζειν· ἔγχεϊ δ' αὐτὸς
Τρωσὶ φιλοπτολέμοισι μεταπρέπω, ὅς σφιν ἀμύνω 835
Ἦμαρ ἀναγκαῖον· σὲ δέ τ' ἐνθάδε γῦπες ἔδονται.
Ἄ δειλ', ἠδέ τοι, ἐσθλὸς ἐών, χραίσμησεν Ἀχιλλεὺς,
Ὅς πού τοι μάλα πολλὰ μένων ἐπετέλλετ' ἰόντι,
Μή μοι πρὶν ἱέναι, Πατρόκλεις ἱπποκέλευθε,
Νῆας ἐπι γλαφυρὰς, πρίν γ' Ἕκτορος ἀνδροφόνοιο 840
Αἱματόεντα χιτῶνα περὶ στήθεσσι δαΐξαι·
Ὡς πού σε πρόσφη, σοὶ δὲ φρένας ἄφρονι πείθε.'
Τὸν δ' ὀλιγοδρανέων προσέφης, Πατρόκλεις ἱππεῦ·
Ἤδη νῦν, Ἕκτορ, μεγάλ' εὔχεο· σοὶ γὰρ ἔδωκε
Νίκην Ζεὺς Κρονίδης καὶ Ἀπόλλων, οἵ μ' ἐδάμασσαν 845
Ῥηϊδίως· αὐτοὶ γὰρ ἀπ' ὤμων τεύχε' ἕλοντο.
Τοιοῦτοι δ', εἴπερ μοι ἐείκοσιν ἀντεβόλησαν,
Πάντες ἂν αὐτόθ' ὄλοντο, ἐμῷ ὑπὸ δουρὶ δαμέντες.
Ἀλλά με μοῖρ' ὀλοὴ, καὶ Λητοῦς ἔκτανεν υἱὸς,
Ἀνδρῶν δ' Εὔφορβος· σὺ δέ με τρίτος ἐξεναρίζεις. 850

830. ΑΜ. Ἡμετέραν.

833. ΤΑ. Τούτων δὲ προπολεμοῦσιν οἱ τοῦ Ἕκτορος ἵπποι· τοῦτ' ἔστιν, αὐτὸς ὁ Ἕκτωρ ἐπ' αὐτῶν ὀχούμενος.

834. ΟΡΩ. Ἐκτείνονται τρέχοντες, ὁρμῶντες.

836. ΑΝΑ. Ἀνάγκης ἡμέραν φησὶ, τὴν τοῦ θανάτου.

839. ΙΠ. Ἱππικέ.

843. ΟΛ. Ὀλίγον ἰσχύων ἐκ τῶν τοῦ σώματος μελῶν.

850. ΤΡΙ. Ἀντὶ τοῦ, μετὰ πολλὴν σκυλεύσις. Ἐζήτηται δὲ, πῶς τέσσαρας καταριθμήσας, μοῖραν, Ἀπόλλωνα, Εὔφορβον, Ἕκτορα, ἐπιφέρει, Σὺ δέ με τρίτος ἐξεναρίζεις· ἔστι δὲ λέγειν, ὅτι τὴν μοῖραν ἐκ ἀπαριθμήσεν, ὡς κοινὴν πᾶσιν ἀνθρώποις ἐπικειμένην· ἔνιοι δὲ τὸ ἑξῆς, ὅτως ἀποδιδόασι.

Ἀλλά με μοῖρ' ὀλοὴ, καὶ Λητοῦς ἔκτανεν υἱὸς,
Ἀνδρῶν δ' Εὔφορβος τρίτος, σὺ δέ μ' ἐξεναρίζεις.

Ἢ, σὺ δέ με τρίτος ἐξεναρίζεις, ὦ' ἢ πολλοστός.

‘Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν,
‘Οὔ θην ἠδὴ αὐτὸς δηρὸν βέῃ, ἀλλά τοι ἤδη
‘Ἄγχι παρέστηκεν θάνατος καὶ μοῖρα κραταιὴ,
‘Χερσὶ δαμέντ' Ἀχιλῆος ἀμύμονος Αἰακίδαο.’
Ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψε· 855
Ψυχὴ δ' ἐκ ῥεθέων πταμένη Ἀϊδόσδε βεβήκει,
Ὃν πότμον γοόωσα, λιποῦσ' ἀνδροτῆτα καὶ ἥβην.
Τὸν καὶ τεθνειῶτα προσηύδα φαίδιμος Ἕκτωρ·
‘Πατρόκλεις, τί νύ μοι μαντεύεαι αἰπὺν ὄλεθρον;
‘Τίς δ' οἶδ', εἴ κ' Ἀχιλεὺς, Θέτιδος παῖς ἠϋκόμοιο, 860
‘Φθήῃ ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσαι;’
Ὣς ἄρα φωνήσας δόρυ χάλκεον ἐξ ὠτειλῆς
Εἵρυσε, λὰξ προσβάς· τὸν δ' ὕπνιον ὦσ' ἀπὸ δουρός·
Αὐτίκα δὲ ξὺν δουρὶ μετ' Αὐτομέδοντα βεβήκει,
Ἀντίθεον θεράποντα ποδώκεος Αἰακίδαο· 865
Ἵετο γὰρ βαλέειν· τὸν δ' ἔκφερον ὠκέες ἵπποι
Ἄμβροτοι, οὓς Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα.

856. ΡΕ. Ἐκ τῶν μελῶν, ἐκ τοῦ σώματος. ΠΤΑ. Πτᾶσα, ὑποχωρήσασα. ΑΙ. Εἰς τὸν ᾅδην κατῄει.
857. ΠΟΤ. Μόρον. ΓΟ. Λυπεμίτη, θρηνοῦσα. ΛΙ. Καταλιποῦσα. ΑΝ. Ἀνδρείαν. ΗΒ. Τὸ σῶμα, τὴν ἡλικίαν.
861. ΦΘΗ. Φθάσει.
867. ΑΜ. Ἀθάνατοι.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΙΛΙΑΔΟΣ Ρ.

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

ΠΕΡΙ τοῦ Πατρόκλου σώματος κρατερὰ συνίσταται μάχη, καθ' ἣν καὶ Εὔφορβος μὲν ἀναιρεῖται ὑπὸ Μενελάου. Ἕκτωρ δὲ τὴν Ἀχιλλέως ἐνδύεται πανοπλίαν, καὶ ἀνθίσταται τοῖς Ἕλλησιν. Οἱ περὶ Μενέλαον, Ἀντίλοχον διαπέμπουσι πρὸς Ἀχιλλέα, τὸν Πατρόκλου θάνατον ἀγγελοῦντα· ὑποδύντες δὲ καὶ ἁράμενοι τὸ σῶμα τοῖς ὤμοις, ἐκφέρουσι τῆς μάχης· οἱ δὲ Αἴαντες προμαχοῦσι καὶ ἀπείργουσι τοὺς πολεμίους.

Ἀρετεία Μενελάου.

Ῥῶ, Δαναοὶ, Τρῶές τε, νέκυν περὶ, χεῖρας ἔμισγον.

Ὅυτ' ἔλαθ' Ἀτρέος υἱὸν, ἀρηΐφιλον Μενέλαον,
Πάτροκλος Τρώεσσι δαμεὶς ἐν δηϊοτῆτι·
Βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ·
Ἀμφὶ δ' ἄρ' αὐτῷ βαῖν', ὥς τις περὶ πόρταχι μήτηρ,
Πρωτοτόκος, κινυρὴ, οὐ πρὶν εἰδυῖα τόκοιο· 5
Ὣς περὶ Πατρόκλῳ βαῖνε ξάνθος Μενέλαος.
Πρόσθε δέ οἱ δόρυ τ' ἔχε καὶ ἀσπίδα πάντοσε ἴσην,
Τὸν κτάμεναι μεμαὼς, ὅστις τεῦ' ἀντίος ἔλθοι.

2. ΤΡΩ. Ἀντὶ τοῦ, ὑπὸ τῶν Τρώων ἀναιρεθείς.

4. ΑΜΦΙ. Περιέβαινε δὲ, καὶ ὑπερεμάχει αὐτοῦ. ΠΟΡ. Νεογνῇ βοῖ· οἱονεὶ πόρριῳ· παρὰ τὸ νεωστὶ πορεύεσθαι καὶ βαίνειν.

5. ΠΡΩ. Πρώτως τετοκυῖα· τοῦ οὖν τόνου παροξυτόνως, ἵν' ᾖ ἐνεργητικόν· προπαροξυτόνως δὲ δηλοῖ ἡ λέξις τὴν πρώτως τεχθεῖσαν. ΚΙ. Ὀδυρτικὴ, θρηνητική. ΟΥ. Οὐ πρότερον οὖσα ἔμπειρος τοκετοῦ.

Οὐδ' ἄρα Πάνθου υἱὸς ἐϋμμελίης ἀμέλησε
Πατρόκλοιο πεσόντος ἀμύμονος· ἄγχι δ' ἄρ' αὐτοῦ
Ἕστη, καὶ προσέειπεν ἀρηΐφιλον Μενέλαον·
'Ατρεΐδη Μενέλαε, διοτρεφὲς, ὄρχαμε λαῶν,
Χάζεο, λεῖπε δὲ νεκρὸν, ἔα δ' ἔναρα βροτόεντα·
Οὐ γάρ τις πρότερος Τρώων κλειτῶν τ' ἐπικούρων
Πάτροκλον βάλε δουρὶ κατὰ κρατερὴν ὑσμίνην·
Τῷ με ἔα κλέος ἐσθλὸν ἐνὶ Τρώεσσιν ἀρέσθαι,
Μή σε βάλω, ἀπὸ δὲ μελιηδέα θυμὸν ἕλωμαι.'
Τὸν δὲ μέγ' ὀχθήσας προσέφη ξανθὸς Μενέλαος·
Ζεῦ πάτερ, οὐ μὲν καλὸν ὑπέρβιον εὐχετάασθαι.
Οὔτ' ἔν πορδάλιος τόσσον μένος, οὔτε λέοντος,
Οὔτε συὸς κάπρου ὀλοόφρονος, οὗ τε μέγιστος
Θυμὸς ἐνὶ στήθεσσι περὶ σθένεϊ βλεμεαίνει,
Ὅσσον Πάνθου υἷες ἐϋμμελίαι φρονέουσιν.
Οὐδὲ μὲν οὐδὲ βίη Ὑπερήνορος ἱπποδάμοιο
Ἧς ἥβης ἀπόνηθ', ὅτε μ' ὤνατο, καί μ' ὑπέμεινε·
Καί μ' ἔφατ' ἐν Δαναοῖσιν ἐλέγχιστον πολεμιστὴν
Ἔμμεναι· οὐδέ ἑ φημι πόδεσσί γε οἷσι κέοντα
Εὐφρῆναι ἄλοχόν τε φίλην, κεδνούς τε τοκῆας.
Ὡς σήν κ' σὸν ἐγὼ λύσω μένος, εἴ κε μευ ἄντα
Στήῃς· ἀλλά σ' ἐγὼν ἀναχωρήσαντα κελεύω

9. ΕΥ. Ἤτοι ὁ καλαιμάλη ἔχων καὶ εὔμορφος· ἢ, ὁ τῇ μελίᾳ χρώμενος, τουτέστι πολεμικὸς καὶ ἀνδρεῖος.

13. ΕΑ. Ἔκειντο γὰρ ἐπὶ τῆς γῆς, λύσαντος αὐτὰ Ἀπόλλωνος.

16. ΑΡΕΣ. Ἀπενίγκασθαι, κτήσασθαι.

17. ΑΠΟ. Ἀφίλωμαί σου τὴν προσφιλεστάτην ψυχήν.

19. ΥΠΕΡ. Ὑπερβίων, ὑπερηφάνως. ΕΥ. Αὐχεῖν, καυχᾶσθαι.

20. ΠΟΡ. Πάρδαλις, τὸ ζῶον· ἡ δὲ θηρὶ, παρδάλει· ὁ μὲν ἀπὸ τοῦ προσαλλεσθαι· ἡ δὲ ἀπὸ τοῦ περιβάλλεσθαι.

23. ΠΕ. Περὶ τὸ ἑαυτοῦ σθένος ἐνθουσιώδως βλέπει, καὶ μετὰ πολλῆς δυνάμεως.

25. ΗΣ. Τῆς ἰδίας ἀπειρίας, ὅ ἐστι νεότητος, ἀπέλαυσεν. ΩΝΑ. Ἐξεφαύλισεν, ἀνείδισεν, ἐμέμψατο.

26. ΕΦΑ. Νῦν, ἐλογίσατο, ὅτι δή, εἶπε.

28. ΚΕΔ. Κληρονομικὸς ἐστίν.

29. ΩΣ. Ὡς δή.

Ἐς πληθὺν ἰέναι, μηδ' ἀντίος ἵσασ' ἐμεῖο,
Πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιος ἔγνω.
Ὣς φάτο, τὸν δ' οὐ πεῖθεν· ἀμειβόμενος δὲ προσηύδα·
Νῦν μὲν δὴ, Μενέλαε διοτρεφὲς, ἦ μάλα τίσεις
Γνωτὸν ἐμὸν, τὸν ἔπεφνες, ἐπευχόμενος δ' ἀγορεύεις· 35
Χήρωσας δὲ γυναῖκα μυχῷ θαλάμοιο νέοιο,
Ἀρητὸν δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκας.
Ἦ κέ σφιν δειλοῖσι γόου κατάπαυμα γενοίμην,
Εἴ κεν ἐγὼ κεφαλήν τε τεὴν καὶ τεύχε' ἐνείκας,
Πάνθῳ ἐν χείρεσσι βάλω καὶ Φρόντιδι δίῃ. 40
Ἀλλ' οὐ μὰν ἔτι δηρὸν ἀπείρητος πόνος ἔσται,
Οὐδέ τ' ἀδήριτος, ὅτ' ἀλκῆς, ὅτε φόβοιο.
Ὣς εἰπὼν, ὄτησε κατ' ἀσπίδα πάντοσε ἴσην·
Οὐδ' ἔρρηξεν χαλκὸν, ἀνεγνάμφθη δέ οἱ αἰχμὴ
Ἀσπίδι ἐν κρατερῇ· ὁ δὲ δεύτερος ὤρνυτο χαλκῷ 45
Ἀτρείδης Μενέλαος, ἐπευξάμενος Διὶ πατρί·
Ἀψ δ' ἀναχαζομένοιο κατὰ στομάχοιο θέμεθλα
Νύξ', ἐπὶ δ' αὐτὸς ἔρεισε, βαρείῃ χειρὶ πιθήσας·

32. ΡΕΧ. Τοῦτο ἀπὸ παροιμίας εἴληπται· νηπίου γὰρ καὶ ἄφρονός ἐστι, μετὰ τὸ πραχθῆναι τὸ κακὸν, θεραπείαν καὶ ἐπανόρθωσιν αὐτοῦ ζητεῖν· ὁ γὰρ ἄφρων οὐ προορᾷ τὸ μέλλον, ἀλλὰ πραχθὲν γιγνώσκει.

35. ΓΝΩ. Ἀντὶ τοῦ, τιμωρίαν δώσεις ὑπὲρ τοῦ ἐμοῦ γνωτοῦ· ὅ ἐστιν, ἀδελφοῦ.

36. ΧΗ. Χήραν καὶ ἔρημον ἐποίησας. ΘΑ. Νεωστὶ κατεσκευασμένου, προσφάτου.

37. ΑΡΗ. Ἤτοι βλαβερόν· παρὰ τὴν ἀράν· ὅ ἐστι βλαβὴν· ἢ τὸ ἀπευκτόν· ἐλλείπει δὲ τὸ, γάμον.

38. ΚΑΤ. Καταπαύσαιμι τοῦ θρήνου τὰς ἀθλίους γονέας τοῦ Ὑπερήνορος, ἀνελὼν σε· καὶ καρατομήσας δώσω τὴν κεφαλήν σου καὶ τὰ ὅπλα αὐτοῖς. ΣΦ. Γονεῦσι Ὑπερήνορος. ΚΑ. Κατάπαυσις.

40. ΦΡΟΝ. Ὄνομα κύριον τοῦ Πάνθου γυναικὸς, ἡ Φρόντις· τὴν δὲ παρατίθεσθον συλλαβὴν διὰ ὀξυτονεῖν· ἵν' ᾖ κύριον θηλυκόν· ἔστι καὶ ἀρσενικὸν, ὁ Φρόντις, ἐν Ὀδυσσείᾳ.

41. ΑΛΛ. Ἀλλ' ὐδαμῶς ἐπὶ πολὺν χρόνον ἄπειροι γενώμεθα τῆς ἀλλήλων δυνάμεως καὶ μάχης. ΠΟ. Ἔργον, πρᾶξις.

42. ΑΔΗ. Χωρὶς μάχης, ἀφιλόνεικος.

47. ΑΝΑ. Ἀναχωρῆντος. ΘΕ. Κατὰ τὴν ἀρχὴν, καὶ θέσιν τοῦ στομάχου· ὅ ἐστι τοῦ βρόχθου, ὃ μὲν τῆς κοιλίας. ΘΕ. Ῥίζας, βάσεις.

48. ΕΡΕΙ. Ἤρεισεν, ἐπεβάρυνε. ΠΙ. Ἐπακολουθήσας τῇ χειρί.

Ἀντικρὺ δ' ἀπαλοῖο δι' αὐχένος ἤλυθ' ἀκωκή·
Δύπησεν δὲ πεσὼν, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ. 50
Αἵματί οἱ δεύοντο κόμαι, Χαρίτεσσιν ὁμοῖαι,
Πλοχμοί θ', οἱ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο.
Οἷον δὲ τρέφει ἔρνος ἀνὴρ ἐριθηλὲς ἐλαίης
Χώρῳ ἐν οἰοπόλῳ, ὅθ' ἅλις ἀναβέβρυχεν ὕδωρ,
Καλὸν, τηλεθάον, τὸ δέ τε πνοιαὶ δονέουσι 55
Παντοίων ἀνέμων, καί τε βρύει ἄνθεϊ λευκῷ·
Ἐλθὼν δ' ἐξαπίνης ἄνεμος, σὺν λαίλαπι πολλῇ,
Βρῦθρόν τ' ἐξέστρεψε, καὶ ἐξετάνυσσ' ἐπὶ γαίῃ·
Τοῖον Πάνθου υἱὸν ἐϋμμελίην Εὔφορβον
Ἀτρεΐδης Μενέλαος ἐπεὶ κτάνε, τεύχε' ἐσύλα. 60
Ὡς δ' ὅτε τίς τε λέων ὀρεσίτροφος, ἀλκὶ πεποιθὼς,
Βοσκομένης ἀγέλης βῆν ἁρπάσαι, ἥτις ἀρίστη·
Τῆς δ' ἐξ αὐχέν' ἔαξε, λαβὼν κρατεροῖσιν ὀδοῦσι,
Πρῶτον, ἔπειτα δέ θ' αἷμα καὶ ἔγκατα πάντα λαφύσσει

49. ΑΥ. Σπονδύλου, ἢ τραχήλου. ΑΚΩ. Ἡ ἐπιδορατίς.

51. ΔΕΥ. Νῦν, ἰσόρροπον. ΧΑ. Ἀντὶ τοῦ, ταῖς τῶν Χαρίτων κόμαις ἴσαι· ἀπίθανον δέ ἐστιν· ἀμόρφωτος γὰρ ἡ κόμη, εἰ μὴ ὕτως. Μακεδόνες δὲ καὶ Κύπριοι Χάριτας λέγουσι τὰς συνεγραμμένας καὶ οὖλας μυρσίνας, ἃς φαμὲν στεφανίτιδας.

52. ΠΛΟΧ. Πλόκαμοι. ΕΣ. Ἐσφιγμένοι ἦσαν, ἐδέδεντο· ὅθεν καὶ σφήκαμα εἴρηται· ἢ ὅτι πεπλεγμένοι ἦσαν.

53. ΟΙ. Ποσειδῶν καὶ Ἀθηνᾶ περὶ τῆς Ἀτλικῆς ἐφιλονείκουν· καὶ Ποσειδῶν μὲ ἐπὶ τῆς ἀκροπόλεως τῆς Ἀτλικῆς κρούσας τῇ τριαίνῃ κῦμα θαλάσσης ἐποίησεν ἀναδοθῆναι· Ἀθηνᾶ δὲ ἐλαίαν· κριτὴς δὲ αὐτῶν γενόμενος Κέκροψ, ὁ τῶν τόπων τῆς Ἀτλικῆς βασιλεὺς, τῇ θεῷ προσένειμε τὴν χώραν, εἰπὼν, ὅτι θάλασσα μέν ἐστι πανταχοῦ, τὸ δὲ φυτὸν τῆς ἐλαίας ἴδιον Ἀθηνᾶς· ἡ ἱστορία παρὰ Καλλιμάχῳ. ΕΡ. Φυτόν. ΕΡΙ. Μεγάλως θάλλον, ἀειθαλές.

54. ΟΙ. Ἤτοι ἐρήμῳ, καὶ μονήρει· ἢ ἐν ᾧ οἴεις πολεῖσθαι, καὶ ἀναστρέφεσθαι δύνανται· ὅ ἐστι βόσκεσθαι. ΑΔΙΣ. Πολὺ, ἀθρόως. ΑΝΑ. Ἀντὶ Ε, ἀπατέπωκεν· ἐὰν δὲ, ἀναβέβρυχε, δηλοῖ τὸ ἀναβρύειν· ὅ ἐστιν ἀναπηδᾶν, καὶ ἀναβάλλεσθαι μετὰ ψόφου.

55. ΤΗ. Πάνυ θάλλον, εὐανθές. ΔΟ. Δονοῦσι, κινοῦσι.

56. ΒΡΥ. Θάλλει, γέμει.

58. ΒΟ. Βάθος Ε ὀρύγμαίος. ΕΞΕ. Ἐξέτεινεν, ἔπλωσεν.

61. ΟΡΕ. Ὁ ἐν ὄρει τιθραμμένος.

64. ΛΑ. Λάπλοι· ὅ ἐστι, μετὰ σκυλμοῦ λάβρως, καὶ μετὰ σπαραγμοῦ, ἰδίοις.

Δηῶν, ἀμφὶ δὲ τόνγε κύνες τ' ἄνδρες τε νομῆες 65
Πολλὰ μάλ' ἰύζυσιν ἀπόπροθεν, ὐδ' ἐθέλυσιν
Ἀντίον ἐλθέμεναι· μάλα γὰρ χλωρὸν δέος αἱρεῖ·
Ὣς τῶν οὔ τινι θυμὸς ἐνὶ ςήθεσσιν ἐτόλμα
Ἀντίον ἐλθέμεναι Μενελάῳ κυδαλίμοιο.
Ἔνθα κε ῥεῖα φέροι κλυτὰ τεύχεα Πανθοΐδαο 70
Ἀτρείδης, εἰ μή οἱ ἀγάσσατο Φοῖβος Ἀπόλλων,
Ὃς ῥά οἱ Ἕκτορ' ἐπῶρσε, θοῷ ἀτάλαντον Ἄρηϊ,
Ἀνέρι εἰσάμενος Κικόνων ἡγήτορι Μέντῃ·
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ἕκτορ, νῦν σὺ μὲν ὧδε θέεις, ἀκίχητα διώκων 75
Ἵππους Αἰακίδαο δαΐφρονος· οἳ δ' ἀλεγεινοὶ
Ἀνδράσι γε θνητοῖσι δαμήμεναι, ἠδ' ὀχέεσθαι,
Ἄλλῳ γ' ἢ Ἀχιλῆϊ, τὸν ἀθανάτη τέκε μήτηρ.
Τόφρα δέ τοι Μενέλαος, ἀρήϊος Ἀτρέος υἱὸς,
Πατρόκλῳ περιβὰς, Τρώων τὸν ἄριςον ἔπεφνε, 80
Πανθοΐδην Εὔφορβον, ἔπαυσε δὲ θούριδος ἀλκης.
Ὣς εἰπὼν, ὁ μὲν αὖτις ἔβη θεὸς ἀμπόνον ἀνδρῶν·
Ἕκτορα δ' αἰνὸν ἄχος πύκασε φρένας ἀμφὶ μελαίνας·
Πάπτηνεν δ' ἄρ' ἔπειτα κατὰ ςίχας· αὐτίκα δ' ἔγνω
Τὸν μὲν ἀπαινύμενον κλυτὰ τεύχεα, τὸν δ' ἐπὶ γαίῃ 85
Κείμενον· ἔρρει δ' αἷμα κατ' ἰταμέην ὠτειλήν.
Βῆ δὲ διὰ προμάχων, κεκορυθμένος αἴθοπι χαλκῷ,
Ὀξέα κεκληγὼς, φλογὶ εἴκελος Ἡφαίςοιο

65. ΔΗ. Διακόπτων, διαιρῶν.
66. ΙΥ. Ἀγροικικῇ φωνῇ προσφέρονται, προσφωνοῦσι. Πεποίηται δὲ ἡ λέξις παρὰ τὸ ἰὺ, ἐπιφώνημα.
67. ΧΛΩ. Νῦν, χλωροποιὸν, ὠχρόν.
71. ΑΓΑ. Ἐφθόνησε.
73. ΚΙ. Κίκονες, ἔθνος Θρᾳκῶν.
75. ΑΚΙ Ἀκιχήτως, ἀκαταλήπτως, ἀφθάτως.
76. ΑΛΕ. Ἀλγεινοὶ, δυσχείροντοι.
77. ΟΧΕ. Ἐποχεῖσθαι.
83. ΜΕ. Νῦν, συνετάς.
85. ΑΠΑΙ. Ἀφαιρούμενον, ΓΑΙ. Ἐπὶ τῇ γῇ.
86. ΩΤΕΙ. Τὸ ἐκ βολῆς τραῦμα.
88. ΟΗ. Μεγάλα. ΗΦ. Νῦν, πυρὶ

Ἀσβέσῃ· ἐδῃ υἱὸν λάθεν Ἀτρέος ὀξὺ βοήσας·
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν· 90
"Ὦ μοι ἐγὼν, εἰ μέν κε λίπω κάτα τεύχεα καλὰ,
Πάτροκλόν θ', ὃς κεῖται ἐμῆς ἕνεκ' ἐνθάδε τιμῆς,
Μή τίς μοι Δαναῶν νεμεσήσεται, ὅς κεν ἴδηται·
Εἰ δέ κεν Ἕκτορι μοῦνος ἐὼν ἠ Τρωσὶ μάχωμαι
Αἰδεσθεὶς, μήπως με περιστείωσ' ἕνα πολλοί· 95
Τρῶας δ' ἐνθάδε πάντας ἄγει κορυθαίολος Ἕκτωρ.
Ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
Ὀππότ' ἀνὴρ ἐθέλει πρὸς δαίμονα φωτὶ μάχεσθαι,
Ὅν κε θεὸς τιμᾷ, τάχα οἱ μέγα πῆμα κυλίσθη·
Τῷ μ' ὅστις Δαναῶν νεμεσήσεται, ὅς κεν ἴδηται 100
Ἕκτορι χωρήσαντ', ἐπεὶ ἐκ θεόφιν πολεμίζει.
Εἰ δέ πω Αἴαντός γε βοὴν ἀγαθοῖο πυθοίμην,
Ἀμφω κ' αὖτις ἰόντες ἐπιμνησαίμεθα χάρμης,
Καὶ πρὸς δαίμονά περ, εἴ πως ἐρυσαίμεθα νεκρὸν
Πηλείδῃ Ἀχιλῆϊ· κακῶν δέ κε φέρτατον εἴη." 105
Ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα ἠ κατὰ θυμὸν,
Τόφρα δ' ἐπὶ Τρώων τίχες ἤλυθον· ἦρχε δ' ἄρ' Ἕκτωρ.
Αὐτὰρ ὅγ' ἐξοπίσω ἀνεχάζετο, λεῖπε δὲ νεκρὸν
Ἐντροπαλιζόμενος· ὥστε λὶς ἠὐγένειος,
Ὅν ῥα κύνες τε καὶ ἄνδρες ἀπὸ σταθμοῖο διώνται 110

90. ΟΝ. Πρὸς τὸν ἴδιον.

92. ΤΙ. Ἀντὶ τοῦ, ὃς ἐμὶ τιμήσας κεῖται· ἢ, ὃς κεῖται ἕνεκα τοῦ ἐμὶ τιμωρῆσαι τοὺς Τρῶας.

95. ΠΕ. Περιτοιχίσωσι, περιτῶσι.

97. ΔΙΕ. Διελογίσατο.

98. ΟΠ. Ὀπότ' ἄν φησιν ἐθέλει τὶς ἀνθρώπῳ μάχεσθαι, οὗ θεὸς προίσηκεν, ἐν κακοῖσι γίγνεται· ὅ ἐστι, διὰ φωτὸς εὑρίσκεται δαίμονι μαχόμενος· ἀντὶ τοῦ, δι' ἀνθρώπου· ὃς γὰρ ἂν δι' ἀνθρώπου θεῷ μάχηται.

99. ΚΥ. Ἐπηνέχθη, ἐπῆλθε κακόν τι αὐτῷ ἐκ θεοῦ.

101. ΧΩ. Ὑποχωρήσαντα. ΘΕΟ. Νῦν, ἐκ θεοῦ προῤῥήσεως.

102. ΑΓΑ. Ἀνδρείῳ.

105. ΦΕΡ. Τῶν δὲ παρόντων κακῶν τοῦτο ἂν εἴη τὸ ἄριστον. Ἢ, ἐκ πολλῶν τῶν προγεγονότων κακῶν τὸ ἄμεινον γένοιτο.

109. ΕΝ. Ἐπιστρεφόμενος συνεχῶς. ΛΙΣ. Λέων· Αἰολικῶς. ΗΥ. Ὁ καλὸν γένειον ἔχων.

110. ΣΤΑΘ. Τῶν ἐπαύλιων, τῶν

Ἔγχεσι καὶ φωνῇ· τοῦ δ' ἐν φρεσὶν ἄλκιμον ἦτορ
Παχνοῦται, ἀέκων δέ τ' ἔβη ἀπὸ μεσσαύλοιο·
Ὡς ἀπὸ Πατρόκλοιο κίε ξανθὸς Μενέλαος.
Στῆ δὲ μεταστρεφθεὶς, ἐπεὶ ἵκετο ἔθνος ἑταίρων,
Παπλαίνων Αἴαντα μέγαν, Τελαμώνιον υἱόν· 115
Τὸν δὲ μάλ' αἶψ' ἐνόησε μάχης ἐπ' ἀριστερὰ πάσης,
Θαρσύνων τ' ἑτάρους, καὶ ἐποτρύνοντα μάχεσθαι·
Θεσπέσιον γάρ σφιν φόβον ἔμβαλε Φοῖβος Ἀπόλλων.
Βῆ δὲ θέειν, εἶθαρ δὲ παρισταμένος ἔπος ηὔδα·
Αἴαν, δεῦρο, πέπον, περὶ Πατρόκλοιο θανόντος 120
Σπεύσομεν, αἴ κε νέκυν περ Ἀχιλλῆϊ προφέρωμεν
Γυμνόν· ἀτὰρ τάγε τεύχε' ἔχει κορυθαίολος Ἕκτωρ.
Ὡς ἔφατ'· Αἴαντι δὲ δαΐφρονι θυμὸν ὄρινε·
Βῆ δὲ διὰ προμάχων, ἅμα δὲ ξανθὸς Μενέλαος.
Ἕκτωρ μὲν Πάτροκλον, ἐπεὶ κλυτὰ τεύχε' ἀπηύρα, 125
Ἕλχ', ἵν' ἀπ' ὤμοιϊν κεφαλὴν τάμοι ὀξέϊ χαλκῷ,
Τὸν δὲ νέκυν Τρωῇσιν ἐρυσσάμενος κυσὶ δοίη.
Αἴας δ' ἐγγύθεν ἦλθε, φέρων σάκος, ἠΰτε πύργον.
Ἕκτωρ δ' ἂψ ἐς ὅμιλον ἰὼν ἀνεχάζετ' ἑταίρων·
Ἐς δίφρον δ' ἀνόρουσε· δίδου δ' ὄγε τεύχεα καλὰ 130
Τρωσὶ φέρειν προτὶ ἄστυ, μέγα κλέος ἔμμεναι αὐτῷ.
Αἴας δ' ἀμφὶ Μενοιτιάδῃ σάκος εὐρὺ καλύψας,
Εἱστήκει, ὥς τίς τε λέων περὶ οἷσι τέκεσσιν,
Ὅ ῥά τε νήπι' ἄγοντι συναντήσωσιν ἐν ὕλῃ
Ἄνδρες ἐπακτῆρες, ὁ δέ τε θρασὺ βλεμεαίνει, 135

αὐλείου θύρας. ΔΙ. Διώξουσιν, ἐκ τοῦ δίκω.

112. ΠΑΧ. Συγκλείται, ὑπὸ λύπης πήγνυται, δάκνυται· ἡ μεταφορὰ ἀπὸ τῆς πάχνης.

120. ΠΕ. Νῦν, προσφιλέστατε.

134. ΝΗ. Ἐπιφερομένων τὰς σκύμνους· σημειωτέον δὲ ὅτι καὶ οἱ ἄρρενες τῶν λεόντων σκυμναγωγοῦσιν.

135. ΕΠΑΚ. Κυνηγοὶ, ἀπὸ Ϝ ἐπάγεσθαι τὰς κύνας.

Πᾶν δέ τ' ἐπισκύνιον κάτω ἕλκεται, ὅσσε καλύπτων·
Ὡς Αἴας περὶ Πατρόκλῳ ἥρωϊ βεβήκει.
Ἀτρείδης δ' ἑτέρωθεν, ἀρηΐφιλος Μενέλαος,
Εἱστήκει, μέγα πένθος ἐνὶ στήθεσσιν ἀέξων.
Γλαῦκος δ', Ἱπολόχοιο πάϊς, Λυκίων ἀγὸς ἀνδρῶν, 140
Ἕκτορ' ὑπόδρα ἰδὼν χαλεπῷ ἠνίπαπε μύθῳ·
"Ἕκτορ, εἶδος ἄριστε, μάχης ἄρα πολλὸν ἐδεύεο·
Ἦ σ' αὔτως κλέος ἐσθλὸν ἔχει, φύζηλιν ἐόντα.
Φράζεο νῦν, ὅππως κε πόλιν καὶ ἄστυ σαώσῃς
Οἶος σὺν λαοῖσι, τοὶ Ἰλίῳ ἐγγεγάασιν· 145
Οὐ γάρ τις Λυκίων γε μαχησόμενος Δαναοῖσιν
Εἶσι περὶ πόλιος· ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν
Μάρναθαι δηΐοισι μετ' ἀνδράσι νωλεμὲς αἰεί.
Πῶς κε σὺ χείρονα φῶτα σαώσειας μεθ' ὅμιλον,
Σχέτλι', ἐπεὶ Σαρπηδόν', ἅμα ξεῖνον καὶ ἑταῖρον, 150
Κάλλιπες Ἀργείοισιν ἕλωρ καὶ κύρμα γενέσθαι;
Ὅς τοι πόλλ' ὄφελος γένετο πόλεί τε καὶ αὐτῷ,
Ζωὸς ἐών· νῦν δ' οὔ οἱ ἀλαλκέμεναι κύνας ἔτλης.
Τῷ νῦν εἴ τις ἐμοὶ Λυκίων ἐπιπείσεται ἀνδρῶν,
Οἴκαδ' ἴμεν, Τροίῃ δὲ πεφήσεται αἰπὺς ὄλεθρος. 155
Εἰ γὰρ νῦν Τρώεσσι μένος πολυθαρσὲς ἐνείη,
Ἄτρομον, οἷόν τ' ἄνδρας ἐσέρχεται, οἳ περὶ πάτρης

136. ΕΠΙΣ. Τὸ ἐπάνω τῶν ὀφθαλμῶν μέρος· ἤτοι δέρμα, τὸ συνοφρύωμα τοῦ μετώπου· ὅθεν καὶ σκύζεσθαι, τὸ ὀργίζεσθαι· διὰ τὸ ἐνδιάθετον γίγνεσθαι τὸ μέρος τοῖς ὀργιζομένοις. ΕΛ. Κάτω ἕλκει, κατασπᾷ· παθητικὸν ἀντὶ ἐνεργητικοῦ.

139. ΑΕΞ. Αὔξων, μεγάλως λυπούμενος.

142. ΕΔΕΥ. Νῦν, ἀπελείπου. ΕΚ. γρ. Ἕκτορ, ὦ εἶδος.

143. ΦΥΞ. Δειλὸν, φυγάδα.

145. ΕΓ. Ἐκγεγένηνται· ὅ ἐστιν, εἰσίν· ἐνοικοῦσιν.

151. ΕΛΩΡ. Ἕλκυσμα, σπάραγμα. ΚΥΡ. Ἐπίτευγμα τοῖς πολεμίοις.

153. ΑΛ. Ἀπαλεξῆσαι, βοηθῆσαι.

155. ΠΕ. Νῦν, προφανῶς γενήσεται, ἀναφανήσεται· ὁτὶ δὶ, τὸ φονευθήσε).

156. ΠΟ. Πολλοῦ θάρσους ποιητικόν.

157. ΕΣ. Ἀγχιαίνει, ἐπέρχεται.

« Ἀνδράσι δυσμενέεσσι πόνον καὶ δῆριν ἔθεντο,
« Αἶψά κε Πάτροκλον ἐρυσαίμεθα Ἴλιον εἴσω.
« Εἰ δ' ἕτος προτὶ ἄστυ μέγα Πριάμοιο ἄνακτος 160
« Ἔλθοι τεθνειὼς, καί μιν ἐρυσαίμεθα χάρμης,
« Αἶψά κεν Ἀργεῖοι Σαρπηδόνος ἔντεα καλὰ
« Λύσειαν, καί κ' αὐτὸν ἀγοίμεθα Ἴλιον εἴσω·
« Τοίου γὰρ θεράπων πέφατ' ἀνέρος, ὃς μέγ' ἄριστος
« Ἀργείων παρὰ νηυσὶ, καὶ ἀγχέμαχοι θεράποντες. 165
« Ἀλλὰ σύγ' Αἴαντος μεγαλήτορος οὐκ ἐτάλασσας
« Στήμεναι ἄντα, κατ' ὄσσε ἰδὼν δηΐων ἐν ἀϋτῇ,
« Οὐδ' ἰθὺς μαχέσασθαι· ἐπεὶ σέο φέρτερός ἐστι.»
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη κορυθαίολος Ἕκτωρ·
« Γλαῦκε, τίη δὲ σὺ τοῖος ἐὼν ὑπέροπλον ἔειπες; 170
« Ὦ πέπον, ἦτ' ἐφάμην σε περὶ φρένας ἔμμεναι ἄλλων
« Τῶν, ὅσσοι Λυκίην ἐριβώλακα ναιετάουσι·
« Νῦν δέ σευ ὠνοσάμην πάγχυ φρένας, οἷον ἔειπες·
« Ὅς τέ με φῆς Αἴαντα πελώριον οὐκ ὑπομεῖναι.
« Οὔτοι ἐγὼν ἔρριγα μάχην, οὐδὲ κτύπον ἵππων· 175
« Ἀλλ' αἰεί γε Διὸς κρείσσων νόος ἀγιόχοιο,
« Ὅστε καὶ ἄλκιμον ἄνδρα φοβεῖ, καὶ ἀφείλετο νίκην
« Ῥηϊδίως, ὁτὲ δ' αὐτὸς ἐποτρύνει μαχέσασθαι.
« Ἀλλ' ἄγε δεῦρο, πέπον, παρ' ἐμὸ ἵστασο, καὶ ἴδε ἔργον·
« Ἠὲ πανημέριος κακὸς ἔσσομαι, ὡς ἀγορεύεις, 180

158. ΔΗ. Φιλονεικίαν.
159. ΕΡΥ. Βαστάσωμεν, ἑλκύσωμεν.
160. ΕΙ. Εἰ γὰρ οὗτος· ὁ δὲ ἀντὶ τοῦ γάρ.
163. ΛΥ. Λυτρώσειαν.
164. ΠΕ. Νῦν, ἀνῄρηται.
165. ΑΓ. Γενναῖοι· ὥστε ἐγγὺς ἐστῶτες ἀλλήλων μάχεσθαι.
166. ΕΤΑ. Οὐκ ἐκαρτέρησας, οὐχ ὑπέμεινας.
167. ΚΑΤ. Καθιδὼν τοῖς ὀφθαλμοῖς.
170. ΥΠΕ. Μέγα, ὑπερήφανον, αὔθαδες.
171. ΗΤ. Ὄντως ἐλογισάμην. ΠΕ. Φρονήσει διαφέρειν τῶν λοιπῶν.
173. ΩΝΟ. Ἐμεμψάμην.
174. ΟΣ. Ὅστις με λέγεις· ἐνιστῶς ἐστι, καὶ ἐγκλίνεται.
175. ΕΡ. Ἔφριξα, ἐφοβήθην.
178. ΟΤΕ. Ἐνίοτε δέ.

‘Ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσιν,
‘Οὔ θην ἐδλὶ αὐτὸς δηρὸν βέη, ἀλλά τοι ἤδη
‘Ἄγχι παρέςηκεν θάνατος καὶ μοῖρα κραταιὴ,
‘Χερσὶ δαμέντ᾽ Ἀχιλῆος ἀμύμονος Αἰακίδαο.’
Ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψε· 855
Ψυχὴ δ᾽ ἐκ ῥεθέων πταμένη Ἀϊδόσδε βεβήκει,
Ὃν πότμον γοόωσα, λιποῦσ᾽ ἀνδροτῆτα καὶ ἥβην.
Τὸν καὶ τεθνειῶτα προσηύδα φαίδιμος Ἕκτωρ·
‘Πατρόκλεις, τί νύ μοι μαντεύεαι αἰπὺν ὄλεθρον;
‘Τίς δ᾽ οἶδ᾽, εἴ κ᾽ Ἀχιλεὺς, Θέτιδος πάϊς ἠϋκόμοιο, 860
‘Φθήῃ ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσαι;’
Ὣς ἄρα φωνήσας δόρυ χάλκεον ἐξ ὠτειλῆς
Εἵρυσε, λὰξ προσβάς· τὸν δ᾽ ὕπτιον ὦσ᾽ ἀπὸ δουρός·
Αὐτίκα δὲ ξὺν δουρὶ μετ᾽ Αὐτομέδοντα βεβήκει,
Ἀντίθεον θεράποντα ποδώκεος Αἰακίδαο· 865
Ἵετο γὰρ βαλέειν· τὸν δ᾽ ἔκφερον ὠκέες ἵπποι
Ἄμβροτοι, ὃς Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα.

856. ΡΕ. Ἐκ τῶν μελῶν, ἐκ τοῦ σώματος. ΠΤΑ. Πτᾶσα, ὑποχωρήσασα. ΑΙ. Εἰς τὸν ᾅδην κατήει.
857. ΠΟΤ. Μόρον. ΓΟ. Λυπεμίνη, θρηνοῦσα. ΑΙ. Καταλιποῦσα. ΑΝ. Ἀνδρίαν. ΗΒ. Τὸ σῶμα, τὴν ἡλικίαν.
861. ΦΘΗ. Φθάσει.
867. ΑΜ. Ἀθάνατοι.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΙΛΙΑΔΟΣ Ρ.

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

ΠΕΡΙ τοῦ Πατρόκλου σώματος κρατερὰ συνίσταται μάχη, καθ' ἣν καὶ Εὔφορβος μὲν ἀναιρεῖται ὑπὸ Μενελάου. Ἕκτωρ δὲ τὴν Ἀχιλλέως ἐνδύεται πανοπλίαν, καὶ ἀνθίσταται τοῖς Ἕλλησιν. Οἱ δὲ περὶ Μενέλαον, Ἀντίλοχον διαπέμπουσι πρὸς Ἀχιλλέα, τὸν Πατρόκλου θάνατον ἀγγελοῦντα· ὑποδύντες δὲ καὶ ἀράμενοι τὸ σῶμα τοῖς ὤμοις, ἐκφέρουσι τῆς μάχης· οἱ δὲ Αἴαντες προμαχοῦσι καὶ ἀπείργουσι τοὺς πολεμίους.

Ἀριστεία Μενελάου.

Ῥῶ, Δαναοὶ, Τρῶές τε, νέκυν περὶ, χεῖρας ἔμισγον.

Ὅυτ' ἔλαθ' Ἀτρέος υἱὸν, ἀρηΐφιλον Μενέλαον,
Πάτροκλος Τρώεσσι δαμεὶς ἐν δηϊοτῆτι·
Βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ·
Ἀμφὶ δ' ἄρ' αὐτῷ βαῖν', ὡς τις περὶ πόρταχι μήτηρ,
Πρωτοτόκος, κινυρὴ, οὐ πρὶν εἰδυῖα τόκοιο· 5
Ὡς περὶ Πατρόκλῳ βαῖνε ξανθὸς Μενέλαος.
Πρόσθε δέ οἱ δόρυ τ' ἔχε καὶ ἀσπίδα πάντοσε ἴσην,
Τὸν κτάμεναι μεμαὼς, ὅστις τοῦγ' ἀντίος ἔλθοι.

2. ΤΡΩ. Ἀντὶ τοῦ, ὑπὸ τῶν Τρώων ἀναιρεθείς.

4. ΑΜΦΙ. Περιέβαινε δὲ, καὶ ὑπερεμάχει αὐτοῦ. ΠΟΡ. Νεογνῇ βοΐ· οἱονεὶ πόρριῳ παρὰ τὸ νεωστὶ πορεύεσθαι καὶ βαίνειν.

5. ΠΡΩ. Πρώτως τετοκυῖα· τῷ ὄντι παροξυτόνως, ἵν' ᾖ ἐνεργητικόν· προπαροξυτόνως δὲ δηλοῖ ἡ λέξις τὴν πρώτως τεχθεῖσαν. ΚΙ. Ὀδυρτικὴ, θρηνητική. ΟΥ. Οὐ πρότερον οὖσα ἔμπειρος τοκετοῦ.

Οὐδ' ἄρα Πάνθου υἱὸς εὐμμελίης ἀμέλησε
Πατρόκλοιο πεσόντος ἀμύμονος· ἄγχι δ' ἄρ' αὐτοῦ 10
Ἕστη, καὶ προσέειπεν ἀρηΐφιλον Μενέλαον·
'Ατρεΐδη Μενέλαε, διοτρεφὲς, ὄρχαμε λαῶν,
Χάζεο, λεῖπε δὲ νεκρὸν, ἔα δ' ἔναρα βροτόεντα·
Οὐ γάρ τις πρότερος Τρώων κλειτῶν τ' ἐπικούρων
Πάτροκλον βάλε δουρὶ κατὰ κρατερὴν ὑσμίνην· 15
Τῷ με ἔα κλέος ἐσθλὸν ἐνὶ Τρώεσσιν ἀρέσθαι,
Μή σε βάλω, ἀπὸ δὲ μελαινέω θυμὸν ἕλωμαι.'
Τὸν δὲ μέγ' ὀχθήσας προσέφη ξανθὸς Μενέλαος·
Ζεῦ πάτερ, οὐ μὲν καλὸν ὑπέρβιον εὐχετάασθαι.
Οὔτ' ἂν πορδάλιος τόσσον μένος, οὔτε λέοντος, 20
Οὔτε συὸς κάπρου ὀλοόφρονος, οὗ τε μέγιστος
Θυμὸς ἐνὶ στήθεσσι περὶ σθένεϊ βλεμεαίνει,
Ὅσσον Πάνθου υἷες εὐμμελίαι φρονέουσιν.
Οὐδὲ μὲν ὀδὲ βίη Ὑπερήνορος ἱπποδάμοιο
Ἧς ἥβης ἀπόνηθ', ὅτε μ' ὤνατο, καί μ' ὑπέμεινε· 25
Καί μ' ἔφατ' ἐν Δαναοῖσιν ἐλέγχιστον πολεμιστὴν
Ἔμμεναι· οὐδέ ἑ φημι πόδεσσί γε οἷσι κιόντα
Εὐφρῆναι ἄλοχόν τε φίλην, κεδνούς τε τοκῆας.
Ὡς σὴν κ' σὸν ἐγὼ λύσω μένος, εἴ κέ μευ ἄντα
Στῇς· ἀλλά σ' ἐγὼν ἀναχωρήσαντα κελεύω 30

9. ΕΥ. Ἤτοι ὁ καλὰ μέλη ἔχων καὶ εὔμορφος· ἢ, ὁ τῇ μαλίᾳ χρώμενος, τουτέστι πολεμικὸς καὶ ἀνδρεῖος.

13. ΕΑ. Ἔκειντο γὰρ ἐπὶ τῆς γῆς, λύσαντος αὐτὰ Ἀπόλλωνος.

16. ΑΡΕΣ. Ἀπενίγκασθαι, κτήσασθαι.

17. ΑΠΟ. Ἀφέλωμαί σου τὴν προσφιλεστάτην ψυχήν.

19. ΥΠΕΡ. Ὑπερβίως, ὑπερφάνως. ΕΥ. Λείχειν, καυχᾶσθαι.

20. ΠΟΡ. Πάρδαλις, τὸ ζῶον· ἡ δὲ θηρὶ, παρδαλῇ· ὁ μὲν ἀπὸ τοῦ προσαλλεσθαι· ἡ δὲ ἀπὸ τοῦ περιβάλλεσθαι.

22. ΠΕ. Περὶ τὸ ἑαυτοῦ θυμὸς ἀθυσανῶς βλέπει, καὶ μετὰ πολλῆς δυνάμεως.

25. ΗΣ. Τῆς ἡδίας ἀκμῆς, ὅ ἐστι πότητος, ἀπέλαυσεν. ΩΝΑ. Ἐξεφαύλισεν, ὀνείδισεν, ἐμέμψατο.

26. ΕΦΑ. Νῦν, λογίσασθαι, ἀντὶ νῦ, εἶπε.

28. ΚΕΛ. Κελεύω, ἐντέλλομαι.

29. ΩΣ. Ὡς δή.

Ἐς πληθὺν ἰέναι, μηδ' ἀντίος ἵστασ' ἐμεῖο,
Πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιος ἔγνω.
Ὣς φάτο, τὸν δ' οὐ πεῖθεν· ἀμειβόμενος δὲ προσηύδα·
Νῦν μὲν δή, Μενέλαε διοτρεφὲς, ἦ μάλα τίσεις
Γνωτὸν ἐμὸν, τὸν ἔπεφνες, ἐπευχόμενος δ' ἀγορεύεις· 35
Χήρωσας δὲ γυναῖκα μυχῷ θαλάμοιο νέοιο,
Ἀρητὸν δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκας.
Ἦ κέ σφιν δειλοῖσι γόος καταπαυμα γενοίμην,
Εἴ κεν ἐγὼ κεφαλήν τε τεὴν καὶ τεύχε' ἐνείκας,
Πάνθῳ ἐν χείρεσσι βάλω καὶ Φρόντιδι δίῃ. 40
Ἀλλ' οὐ μὰν ἔτι δηρὸν ἀπείρητος πόνος ἔσται,
Οὐδέ τ' ἀδήριτος, ὅτ' ἀλκῆς, ὅτε φόβοιο.
Ὣς εἰπὼν, ὕπτησε κατ' ἀσπίδα πάντοσε ἴσην·
Οὐδ' ἔρρηξεν χαλκὸν, ἀνεγνάμφθη δέ οἱ αἰχμὴ
Ἀσπίδι ἐν κρατερῇ· ὁ δὲ δεύτερος ὤρνυτο χαλκῷ 45
Ἀτρείδης Μενέλαος, ἐπευξάμενος Διὶ πατρί·
Ἀψ δ' ἀναχαζομένοιο κατὰ στομάχοιο θέμεθλα
Νύξ', ἐπὶ δ' αὐτὸς ἔρεισε, βαρείῃ χειρὶ πιθήσας·

32. ΡΕΧ. Τοῦτο ἀπὸ παροιμίας εἴληπται· νηπίου γὰρ καὶ ἄφρονός ἐστι, μετὰ τὸ πραχθῆναι τὸ κακὸν, διαπτύειν καὶ ἐπανόρθωσιν αὐτοῦ ζητεῖν· ὁ γὰρ ἄφρων οὐ προορᾷ τὸ μέλλον, ἀλλὰ πραχθὲν γιγνώσκει.

35. ΓΝΩ. Ἀντὶ τοῦ, τιμωρίαν δώσεις ὑπὲρ τοῦ ἐμοῦ γνωτοῦ· ὅ ἐστιν, ἀδελφοῦ.

36. ΧΗ. Χήραν καὶ ἔρημον ἐποίησας. ΘΑ. Νεωστὶ κατεσκευασμένου, προσφάτου.

37. ΑΡΗ. Ἤτοι βλαβερόν· παρὰ τὴν ἀράν· ὅ ἐστι βλαβὴν· ἢ τὸ ἀπευκτόν· ἐλλείπει δὲ τὸ, γάμον.

38. ΚΑΤ. Καταταύσαιμι τοῦ θρήνου τὰς ἀθλίας γονίας τοῦ Ὑπερήνορος, ἀπολώλασι· καὶ καταπτόμασας δύσω τὴν κεφαλήν σου καὶ τὰ ὅπλα αὐτοῖς. ΣΦ. Γονεῦσι Ὑπερήνορος. ΚΑ. Καταπαυσις.

40. ΦΡΟΝ. Ὄνομα κύριον τῆς Πάνθου γυναικὸς, ἡ Φρόντις· τὴν δὲ παρατίθεσθαι συλλαβὴν διὰ ὀξυτονεῖν· ἵν' ᾖ κύριον θηλυκόν· ἔστι καὶ ἀρσενικὸν, ὁ Φρόντις, ἐν Ὀδυσσείᾳ.

41. ΑΛΛ. Ἀλλ' ὐδαμῶς ἐπὶ πολὺν χρόνον ἄπειροι γενώμεθα τῆς ἀλλήλων δυνάμεως καὶ μάχης. ΠΟ. Ἔργον, πρᾶξις.

42. ΑΔΗ. Χωρὶς μάχης, ἀφιλόνεικος.

47. ΑΝΑ. Ἀναχωρῆντος. ΘΕ. Κατὰ τὴν ἀρχὴν, καὶ θέσιν τοῦ στομάχου· ὅ ἐστι τοῦ βρόχθου, ὃ μὲν τῆς κοιλίας. ΘΕ. Ῥίζας, βάσεις.

48. ΕΡΕΙ. Ἤρεισε, ἐπέθηκε. ΠΙ. Ἐπακολουθήσας τῇ χειρί.

Ἀντικρὺ δ' ἀπαλοῖο δι' αὐχένος ἤλυθ' ἀκωκή·
Δύπησεν δὲ πεσὼν, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ. 50
Αἵματί οἱ δεύοντο κόμαι, Χαριτεσσιν ὁμοῖαι,
Πλοχμοί θ', οἳ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο.
Οἷον δὲ τρέφει ἔρνος ἀνὴρ ἐριθηλὲς ἐλαίης
Χώρῳ ἐν οἰοπόλῳ, ὅθ' ἅλις ἀναβέβρυχεν ὕδωρ,
Καλὸν, τηλεθάον, τὸ δέ τε πνοιαὶ δονέουσι 55
Παντοίων ἀνέμων, καί τε βρύει ἄνθεϊ λευκῷ·
Ἐλθὼν δ' ἐξαπίνης ἄνεμος, σὺν λαίλαπι πολλῇ,
Βρῦθρόν τ' ἐξέστρεψε, καὶ ἐξετάνυσσ' ἐπὶ γαίῃ·
Τοῖον Πάνθου υἱὸν ἐυμμελίην Εὔφορβον
Ἀτρεΐδης Μενέλαος ἐπεὶ κτάνε, τεύχε' ἐσύλα. 60
Ὡς δ' ὅτε τίς τε λέων ὀρεσίτροφος, ἀλκὶ πεποιθὼς,
Βοσκομένης ἀγέλης βοῦν ἁρπάσῃ, ἥτις ἀρίστη·
Τῆς δ' ἐξ αὐχέν' ἔαξε, λαβὼν κρατεροῖσιν ὀδοῦσι,
Πρῶτον, ἔπειτα δέ θ' αἷμα καὶ ἔγκατα πάντα λαφύσσει

49. ΑΥ. Σπονδύλου, ἢ τραχήλου. ΑΚΩ. Ἡ ἐπιδορατίς.

51. ΔΕΥ. Νῦν, ἐβρέχοντο. ΧΑ. Ἀντὶ τοῦ, ταῖς τῶν Χαρίτων κόμαις ἴσαι· ἀπίθανον δέ ἐστιν· ἀμόρφωτος γὰρ ἡ κόμη, εἰ μὴ ὕτως. Μακεδόνες δὲ καὶ Κύπριοι Χάριτας λέγουσι τὰς συνεσταλμένας καὶ οὔλας μυρσίνας, ἃς φαμὲν στεφανίτιδας.

52. ΠΛΟΧ. Πλόκαμοι. ΕΣ. Ἐσφιγμένοι ἦσαν, ἐδέδεντο· ὅθεν καὶ σφήκαμα εἴρηται· ἢ ὅτι πεπλεγμένοι ἦσαν.

53. ΟΙ. Ποσειδῶν καὶ Ἀθηνᾶ περὶ τῆς Ἀττικῆς ἐφιλονείκουν· καὶ Ποσειδῶν μὲ ἐπὶ τῆς ἀκροπόλεως τῆς Ἀττικῆς κρούσας τῇ τριαίνῃ κῦμα θαλάσσης ἐποίησεν ἀναδοθῆναι· Ἀθηνᾶ δὲ ἐλαίαν· κριτὴς δὲ αὐτῶν γενόμενος Κέκροψ, ὁ τῶν τόπων τῆς Ἀττικῆς βασιλεὺς, τῇ θεῷ προσένειμε τὴν χώραν, εἰπὼν, ὅτι θάλασσα μέν ἐστι πανταχοῦ, τὸ δὲ φυτὸν τῆς ἐλαίας ἴδιον Ἀθηνᾶς· ἡ ἱστορία παρὰ Καλλιμάχῳ. ΕΡ. Φυτόν. ΕΡΙ. Μεγάλως θάλλον, ἀειθαλές.

54. ΟΙ. Ἤτοι ἐρήμῳ, καὶ μονήρει· ἢ ἐν ᾧ οἴοις πολεῖσθαι, καὶ ἀναστρέφεσθαι δύνανται· ὅ ἐστι βόσκεσθαι. ΑΔΙΣ. Πολὺ, ἀθρόως. ΑΝΑ. Ἀντὶ Ε, ἀπαπίπτων· ἐὰν δὲ, ἀναβέβρυχε, δηλοῖ τὸ ἀναβρύειν· ὅ ἐστιν ἀναπηδᾶν, καὶ ἀναβάλλεσθαι μετὰ ψόφου.

55. ΤΗ. Πάνυ θάλλον, εὐανθές. ΔΟ. Δονοῦσι, κινοῦσι.

56. ΒΡΥ. Θάλλει, γίμει.

58. ΒΟ. Βάθυς Ε ὀρύγμαίος. ΕΞΕ. Ἐξέτεινεν, ἔπλωσεν.

61. ΟΡΕ. Ὁ ἐν ὄρει τεθραμμένος.

64. ΛΑ. Λάπτει· ὅ ἐστι, μετὰ σκυλμοῦ λάβρως, καὶ μετὰ σπαραγμοῦ, ἐσθίει.

Δηῶν, ἀμφὶ δὲ τόγε κύνες τ' ἄνδρες τε νομῆες 65
Πολλὰ μάλ' ἰύζυσιν ἀπόπροθεν, ἠδ' ἐθέλυσιν
Ἀντίον ἐλθέμεναι· μάλα γὰρ χλωρὸν δέος αἱρεῖ·
Ὣς τῶν οὔ τινι θυμὸς ἐνὶ ςήθεσσιν ἐτόλμα
Ἀντίον ἐλθέμεναι Μενελάου κυδαλίμοιο.
Ἔνθα κε ῥεῖα φέροι κλυτὰ τεύχεα Πανθοΐδαο 70
Ἀτρεΐδης, εἰ μή οἱ ἀγάσσατο Φοῖβος Ἀπόλλων,
Ὅς ῥά οἱ Ἕκτορ' ἐπῶρσε, θοῷ ἀτάλαντον Ἄρηϊ,
Ἀνέρι εἰσάμενος Κικόνων ἡγήτορι Μέντῃ·
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
"Ἕκτορ, νῦν σὺ μὲν ὧδε θέεις, ἀκίχητα διώκων 75
"Ἵππους Αἰακίδαο δαΐφρονος· οἱ δ' ἀλεγεινοὶ
"Ἀνδράσι γε θνητοῖσι δαμήμεναι, ἠδ' ὀχέεσθαι,
"Ἄλλῳ γ' ἢ Ἀχιλῆϊ, τὸν ἀθανάτη τέκε μήτηρ.
"Τόφρα δέ τοι Μενέλαος, ἀρήϊος Ἀτρέος υἱὸς,
"Πατρόκλῳ περιβὰς, Τρώων τὸν ἄριςον ἔπεφνε, 80
"Πανθοΐδην Εὔφορβον, ἔπαυσε δὲ θούριδος ἀλκης."
Ὣς εἰπὼν, ὁ μὲν αὖτις ἔβη θεὸς ἀμπόνον ἀνδρῶν·
Ἕκτορα δ' αἰνὸν ἄχος πύκασε φρένας ἄμφι μελαίνας·
Πάπτηνεν δ' ἄρ' ἔπειτα κατὰ ςίχας· αὐτίκα δ' ἔγνω
Τὸν μὲν ἀπαινύμενον κλυτὰ τεύχεα, τὸν δ' ἐπὶ γαίῃ 85
Κείμενον· ἔρρει δ' αἷμα κατ' ἰταμέην ὠτειλήν.
Βῆ δὲ διὰ προμάχων, κεκορυθμένος αἴθοπι χαλκῷ,
Ὀξέα κεκληγὼς, φλογὶ εἴκελος Ἡφαίςοιο

65. ΔΗ. Διακόπτων, διαιρῶν.
66. ΙΥ. Ἀγροικικῇ φωνῇ προσφίρονται, προσφωνοῦσι. Πεποίηται δὲ ἡ λέξις παρὰ τὸ ἰὺ, ἐπῴδημα.
67. ΧΛΩ. Νῦν, χλωροποιὸν, ὠχρόν.
71. ΑΓΑ. Ἐφθόνησε.
73. ΚΙ. Κίκονες, ἔθνος Θρᾳκῶν.
75. ΑΚΙ Ἀκιχήτους, ἀκαταλήπτους, ἀφθάστους.
76. ΑΛΕ. Ἀλγεινοὶ, δυσχείρωτοι.
77. ΟΧΕ. Ἐποχεῖσθαι.
83. ΜΕ. Νῦν, συνετάς.
85. ΑΠΑΙ. Ἀφαιρούμενον. ΓΑΙ. Ἐπὶ τῇ γῇ.
86. ΩΤΕΙ. Τὸ ἐκ βολῆς τραῦμα.
88. ΟΗ. Μεγάλα. ΗΦ. Νῦν, πυρός.

Ἀσβέσῃ· ἐδῃ υἱὸν λάθεν Ἀτρέος ὀξὺ βοήσας·
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν· 90
"Ὦ μοι ἐγὼν, εἰ μέν κε λίπω κάτα τεύχεα καλὰ,
Πάτροκλόν θ', ὃς κεῖται ἐμῆς ἕνεκ' ἐνθάδε τιμῆς,
Μή τίς μοι Δαναῶν νεμεσήσεται, ὅς κεν ἴδηται·
Εἰ δέ κεν Ἕκτορι μοῦνος ἐὼν ἠ Τρωσὶ μάχωμαι
Αἰδεσθεὶς, μήπως με περιστείωσ' ἕνα πολλοί· 95
Τρῶας δ' ἐνθάδε πάντας ἄγει κορυθαίολος Ἕκτωρ.
Ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
Ὁππότ' ἀνὴρ ἐθέλει πρὸς δαίμονα φωτὶ μάχεσθαι,
Ὃν κε θεὸς τιμᾷ, τάχα οἱ μέγα πῆμα κυλίσθη·
Τῷ μ' ὅστις Δαναῶν νεμεσήσεται, ὅς κεν ἴδηται 100
Ἕκτορι χωρήσαντ', ἐπεὶ ἐκ θεόφιν πολεμίζει.
Εἰ δέ πω Αἴαντός γε βοὴν ἀγαθοῖο πυθοίμην,
Ἀμφω κ' αὖτις ἰόντες ἐπιμνησαίμεθα χάρμης,
Καὶ πρὸς δαίμονά περ, εἴ πως ἐρυσαίμεθα νεκρὸν
Πηλείδῃ Ἀχιλῆϊ· κακῶν δέ κε φέρτατον εἴη." 105
Ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα ἠ κατὰ θυμὸν,
Τόφρα δ' ἐπὶ Τρώων τείχεσ ἤλυθον· ἦρχε δ' ἄρ' Ἕκτωρ.
Αὐτὰρ ὅγ' ἐξοπίσω ἀνεχάζετο, λεῖπε δὲ νεκρὸν
Ἐντροπαλιζόμενος· ὥστε λὶς ἠὐγένειος,
Ὃν ῥα κύνες τε καὶ ἄνδρες ἀπὸ σταθμοῖο δίωνται 110

90. ΟΝ. Πρὸς τὸν ἴδιον.

92. ΤΙ. Ἀντὶ τοῦ, ὃς ἐμὲ τιμήσας κεῖται· ἢ, ὃς κεῖται ἕνεκα τοῦ ἐμὲ τιμωρῆσαι τοὺς Τρῶας.

95. ΠΕ. Περιστοιχίσωσι, περιστῶσι.

97. ΔΙΕ. Διελογίσατο.

98. ΟΠ. Ὁπότ' ἄν φησιν ἐθέλει τὶς ἀνθρώπῳ μάχεσθαι, οὐ θεὸς πορεύσηκεν, ἐν κακοῖσι γίγνεται· ὅ ἐστι, διὰ φωτὸς εὑρίσκεται δαίμονι μαχόμενος· ἀντὶ τοῦ, δι' ἀνθρώπου· ὃς γὰρ ἂν δι' ἀνθρώπου θεῷ μάχηται.

99. ΚΥ. Ἐπηνέχθη, ἐπῆλθε κακόν τι αὐτῷ ἐκ θεοῦ.

101. ΧΩ. Ὑποχωρήσαντα. ΘΕΟ. Νῦν, ἐκ θεοῦ προρρήσεως.

102. ΑΓΑ. Ἀνδρείου.

105. ΦΕΡ. Τῶν δὲ παρόντων κακῶν τοῦτο ἂν εἴη τὸ ἄριστον. Ἢ, ἐκ πολλῶν τῶν προγεγονότων κακῶν τὸ ἄμεινον γένοιτο.

109. ΕΝ. Ἐπιστρεφόμενος συνεχῶς. ΑΙΣ. Λέων· Αἰολικῶς. ΗΥ. Ὁ καλὸν γένειον ἔχων.

110. ΣΤΑΘ. Τοῦς ἰπαίλους, τοῦς

Ἔγχεσι καὶ φωνῇ· τοῦ δ' ἐν φρεσὶν ἄλκιμον ἦτορ
Παχνοῦται, ἀέκων δέ τ' ἔβη ἀπὸ μεσσαύλοιο·
Ὡς ἀπὸ Πατρόκλοιο κίε ξανθὸς Μενέλαος.
Στῆ δὲ μετασρεφθεὶς, ἐπεὶ ἵκετο ἔθνος ἑταίρων,
Παφλαγόνων Αἴαντα μέγαν, Τελαμώνιον υἱόν· 115
Τὸν δὲ μάλ' αἶψ' ἐνόησε μάχης ἐπ' ἀριστερὰ πάσης,
Θαρσύνων' ἑτάρους, καὶ ἐποτρύνοντα μάχεσθαι·
Θεσπέσιον γάρ σφιν φόβον ἔμβαλε Φοῖβος Ἀπόλλων.
Βῆ δὲ θέειν, εἶθαρ δὲ παρισάμενος ἔπος ηὔδα·
Αἴαν, δεῦρο, πέπον, περὶ Πατρόκλοιο θανόντος 120
Σπεύσομεν, αἴ κε νέκυν περ Ἀχιλλῆϊ προφέρωμεν
Γυμνόν· ἀτὰρ τάγε τεύχε' ἔχει κορυθαίολος Ἕκτωρ.
Ὡς ἔφατ'· Αἴαντι δὲ δαΐφρονι θυμὸν ὄρινε·
Βῆ δὲ διὰ προμάχων, ἅμα δὲ ξανθὸς Μενέλαος.
Ἕκτωρ μὲν Πάτροκλον, ἐπεὶ κλυτὰ τεύχε' ἀπηύρα, 125
Ἕλχ', ἵν' ἀπ' ὤμοιϊν κεφαλὴν τάμοι ὀξέϊ χαλκῷ,
Τὸν δὲ νέκυν Τρωῇσιν ἐρυσσάμενος κυσὶ δοίη.
Αἴας δ' ἐγγύθεν ἦλθε, φέρων σάκος, ἠΰτε πύργον.
Ἕκτωρ δ' αὖ ἐς ὅμιλον ἰὼν ἀνεχάζετ' ἑταίρων·
Ἐς δίφρον δ' ἀνόρουσε· δίδου δ' ὄγε τεύχεα καλὰ 130
Τρωσὶ φέρειν προτὶ ἄστυ, μέγα κλέος ἔμμεναι αὐτῷ.
Αἴας δ' ἀμφὶ Μενοιτιάδῃ σάκος εὐρὺ καλύψας,
Εἱστήκει, ὥς τίς τε λέων περὶ οἷσι τέκεσσιν,
Ὅ, ῥά τε νήπι' ἄγοντι συναντήσονται ἐν ὕλῃ
Ἄνδρες ἐπακτῆρες, ὁ δέ τε θρένεϊ βλεμεαίνει, 135

αὐλείου θύρας. ΔΙ. Διώξουσιν, ἐκ τοῦ δίκω.

112. ΠΑΧ. Συγέλκεται, ὑπὸ λύπης πήγνυται, δάκνυται· ἡ μεταφορὰ ἀπὸ τῆς πάχνης.

120. ΠΕ. Νῦν, προσφιλέστατε.

134. ΝΗ. Ἐπιφερομένῳ τὰς σκύμνους· σημειωτέον δὲ ὅτι καὶ οἱ ἄρρενες τῶν λεόντων σκυμναγωγοῦσιν.

135. ΕΠΑΚ. Κυνηγοὶ, ἀπὸ Ϝ ἐπάγεσθαι τὰς κύνας.

Πᾶν δέ τ' ἐπισκύνιον κάτω ἕλκεται, ὅσσε καλύπτων·
Ὡς Αἴας περὶ Πατρόκλῳ ἥρωϊ βεβήκει.
Ἀτρείδης δ' ἑτέρωθεν, ἀρηΐφιλος Μενέλαος,
Εἱστήκει, μέγα πένθος ἐνὶ στήθεσσιν ἀέξων.
Γλαῦκος δ', Ἱπολόχοιο πάϊς, Λυκίων ἀγὸς ἀνδρῶν, 140
Ἕκτορ' ὑπόδρα ἰδὼν χαλεπῷ ἠνίπαπε μύθῳ·
Ἕκτορ, εἶδος ἄριστε, μάχης ἄρα πολλὸν ἐδεύεο·
Ἦ σ' αὔτως κλέος ἐσθλὸν ἔχει, φύζηλιν ἐόντα.
Φράζεο νῦν, ὅππως κε πόλιν καὶ ἄστυ σαώσῃς
Οἶος σὺν λαοῖσι, τοὶ Ἰλίῳ ἐγγεγάασιν· 145
Οὐ γάρ τις Λυκίων γε μαχησόμενος Δαναοῖσιν
Εἶσι περὶ πόλιος· ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν
Μάρναθαι δηΐοισι μετ' ἀνδράσι νωλεμὲς αἰεί.
Πῶς κε σὺ χείρονα φῶτα σαώσειας μεθ' ὅμιλον,
Σχέτλι', ἐπεὶ Σαρπηδόν', ἅμα ξεῖνον καὶ ἑταῖρον, 150
Κάλλιπες Ἀργείοισιν ἕλωρ καὶ κύρμα γενέσθαι;
Ὅς τοι πόλλ' ὄφελος γένετο πόλεί τε καὶ αὐτῷ,
Ζωὸς ἐών· νῦν δ' οὔ οἱ ἀλαλκέμεναι κύνας ἔτλης.
Τῷ νῦν εἴ τις ἐμοὶ Λυκίων ἐπιπείσεται ἀνδρῶν,
Οἴκαδ' ἴμεν, Τροίῃ δὲ πεφήσεται αἰπὺς ὄλεθρος. 155
Εἰ γὰρ νῦν Τρώεσσι μένος πολυθαρσὲς ἐνείη,
Ἄτρομον, οἷόν τ' ἄνδρας ἐσέρχεται, οἳ περὶ πάτρης

136. ΕΠΙΣ. Τὸ ἐπάνω τῶν ὀφθαλμῶν μέρος· ἤτοι δέρμα, τὸ συνοφρύωμα τοῦ μετώπου· ὅθεν καὶ σκύζεσθαι, τὸ ὀργίζεσθαι· διὰ τὸ ἐνδιάθετον γίγνεσθαι τὸ μέρος τοῖς ὀργιζομένοις. ΕΛ. Κάτω ἕλκει, κατασπᾷ· παθητικὸν ἀντὶ ἐνεργητικοῦ.

139. ΑΕΞ. Αὔξων, μεγάλως λυπούμενος.

142. ΕΔΕΥ. Νῦν, ἀπολείπου. ΕΚ. γρ. Ἕκτορ, ὦ εἶδος.

143. ΦΥΞ. Δειλόν, φυγάδα.

145. ΕΓ. Ἐκγεγένηνται· ὅ ἐστιν, εἰσίν· ἐνοικοῦσιν.

151. ΕΛΩΡ. Ἕλκυσμα, σπάραγμα. ΚΥΡ. Ἐπίτευγμα τοῖς πολεμίοις.

153. ΑΛ. Ἀπαλεξῆσαι, βοηθῆσαι.

155. ΠΕ. Νῦν, προφανῶς γενήσεται, ἀναφανήσεται· ὀτὶ δὶ, τὸ φονευθήσε).

156. ΠΟ. Πολλοῦ θάρσους ποιητικόν.

157. ΕΣ. Ἀγριαίνει, ἐπέρχεται,

ἀνδράσι δυσμενέεσσι πόνον καὶ δῆριν ἔθεντο,
Αἶψά κε Πάτροκλον ἐρυσαίμεθα Ἴλιον εἴσω.
Εἰ δ' ὅτος πρὸς τὶ ἄκυ μέγα Πριάμοιο ἄνακτος 160
Ἔλθοι τεθνειὼς, καί μιν ἐρυσαίμεθα χάρμης,
Αἶψά κεν Ἀργεῖοι Σαρπηδόνος ἔντεα καλὰ
Λύσειαν, καί κ' αὐτὸν ἀγοίμεθα Ἴλιον εἴσω·
Τοίου γὰρ θεράπων πέφατ' ἀνέρος, ὃς μέγ' ἄριστος
Ἀργείων παρὰ νηυσὶ, καὶ ἀγχέμαχοι θεράποντες. 165
Ἀλλὰ σύγ' Αἴαντος μεγαλήτορος ἐκ ἐτάλασσας
Στήμεναι ἄντα, κατ' ὄσσε ἰδὼν δηΐων ἐν ἀϋτῇ,
Οὐδ' ἰθὺς μαχέσασθαι· ἐπεὶ σέο φέρτερός ἐστι.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη κορυθαίολος Ἕκτωρ·
Γλαῦκε, τίη δὲ σὺ τοῖος ἐὼν ὑπέροπλον ἔειπες; 170
Ὦ πέπον, ἦτ' ἐφάμην σε περὶ φρένας ἔμμεναι ἄλλων
Τῶν, ὅσσοι Λυκίην ἐριβώλακα ναιετάουσι·
Νῦν δέ σευ ὠνοσάμην πάγχυ φρένας, οἷον ἔειπες·
Ὅς τέ με φῆς Αἴαντα πελώριον ἐκ ὑπομεῖναι.
Οὗτοι ἐγὼν ἔρριγα μάχην, ἐδὲ κτύπον ἵππων· 175
Ἀλλ' αἰεί γε Διὸς κρείσσων νόος αἰγιόχοιο,
Ὅστε καὶ ἄλκιμον ἄνδρα φοβεῖ, καὶ ἀφείλετο νίκην
Ῥηϊδίως, ὁτὲ δ' αὐτὸς ἐποτρύνει μαχέσασθαι.
Ἀλλ' ἄγε δεῦρο, πέπον, παρ' ἐμὸ ἵσασο, καὶ ἴδε ἔργον·
Ἠὲ πανημέριος κακὸς ἔσσομαι, ὡς ἀγορεύεις, 180

158. ΔΗ. Φιλονεικίαν.
159. ΕΡΥ. Βαγάσωμεν, ἑλκύσωμεν.
160. ΕΙ. Εἰ γὰρ οὗτος· ὁ δὲ ἀντὶ τοῦ γάρ.
163. ΛΥ. Λυτρώσειαν.
164. ΠΕ. Νῦν, ἀνῄρηται.
165. ΑΓ. Γενναῖοι· ὥστε ἐγγὺς ἐγῶντες ἀλλήλων μάχεσθαι.
166. ΕΤΑ. Οὐκ ἐκαρτέρησας, οὐχ ὑπέμεινας.
167. ΚΑΤ. Καθιδὼν τοῖς ὀφθαλμοῖς.
170. ΥΠΕ. Μέγα, ὑπερήφανον, αὔθαδες.
171. ΗΤ. Ὄντως ἐλογισάμην. ΠΕ. Φρονήσει διαφέρειν τῶν λοιπῶν.
173. ΩΝΟ. Ἐμεμψάμην.
174. ΟΣ. Ὅστις με λέγεις· ἐνιαχῶς ἐστι, καὶ ἐγκλίνεται.
175. ΕΡ. Ἔφριξα, ἐφοβήθην.
178. ΟΤΕ. Ἐνίοτε δέ.

‘Ἦ τινα καὶ Δαναῶν, ἀλκῆς μέγα περ μεμαῶτα,
‘Σχήσω ἀμυνέμεναι περὶ Πατρόκλοιο θανόντος.’
Ὣς εἰπὼν, Τρώεσσιν ἐκέκλετο μακρὸν ἀΰσας·
‘Τρῶες, καὶ Λύκιοι, καὶ Δάρδανοι ἀγχιμαχηταὶ,
‘Ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θάρσος ἀλκῆς· 185
‘Ὄφρ’ ἂν ἐγὼν Ἀχιλῆος ἀμύμονος ἔντεα δύω
‘Καλὰ, τὰ Πατρόκλοιο βίην ἐνάριζα κατακτάς.’
Ὣς ἄρα φωνήσας ἀπέβη κορυθαίολος Ἕκτωρ
Δηΐου ἐκ πολέμοιο· θέων δ’ ἐκίχανεν ἑταίρους
Ὦκα μάλ’, ἔπω τῆλε, ποσὶ κραιπνοῖσι μετασπὼν, 190
Οἳ πρότι ἄστυ φέρον κλυτὰ τεύχεα Πηλείδαο.
Στὰς δ’ ἀπάνευθε μάχης πολυδακρύτου, ἔντε’ ἄμειβεν.
Ἤτοι ὁ μὲν τὰ ἃ δῶκε, φέρειν πρότι Ἴλιον ἱρὴν,
Τρωσὶ φιλοπτολέμοισιν· ὁ δ’ ἄμβροτα τεύχε’ ἔδυνε
Πηλείδεω Ἀχιλῆος, ἅ οἱ θεοὶ οὐρανίωνες 195
Πατρὶ φίλῳ ἔπορον· ὁ δ’ ἄρα ᾧ παιδὶ ὄπασσε
Γηράς· ἀλλ’ οὐχ υἱὸς ἐν ἔντεσι πατρὸς ἐγήρα.
Τὸν δ’ ὡς ἓν ἀπάνευθεν ἴδεν νεφεληγερέτα Ζεὺς
Τεύχεσι Πηλείδαο κορυσσόμενον θείοιο,
Κινήσας ῥα κάρη πρότι ὃν μυθήσατο θυμόν· 200
‘Ἆ δεῖλ’, ἐδέ τί τοι θάνατος καταθύμιός ἐστιν,
‘Ὃς δή τοι ἀγχόθι ἐστὶ· σὺ δ’ ἄμβροτα τεύχεα δύνεις
‘Ἀνδρὸς ἀριστῆος, τόν τε τρομέουσι καὶ ἄλλοι·
‘Τοῦ δὴ ἑταῖρον ἔπεφνες ἐνηέα τε, κρατερόν τε·
‘Τεύχεα δ’ οὐ κατὰ κόσμον ἀπὸ κρατός τε καὶ ὤμων 205

182. ΣΧΗ. Ἐσίχω, κωλύσω.
187. ΕΝΑ. Ἐσκύλευσα.
190. ΜΕ. Ἐπακολουθήσας, ἐπιδραμὼν, δώξας.
192. ΑΜΕΙ. Ἐπήλασσον.
196. ΟΠΑΣ. Ἔδωκε.
197. ΓΗ. Ἀντὶ τοῦ, γηράσας.
200. ΠΡΟ. Πρὸς τὴν ἑαυτοῦ ψυχὴν ἔφη.
202. ΔΥ. Ἐνδύῃ.
204. ΕΝΗ. Προσηνῆ, πρᾶον.
205. ΟΥ. Οὐ κατὰ τὸ πρεσῆκον, ἐφ’ ὕβρει.

‘ Εἴλευ· ἀτὰρ τοι νῦν γε μέγα κράτος ἐγγυαλίξω,
‘ Τῶν ποινὴν, ὅ τοι ἔστι μάχης ἐκ νοσφίσαντι
‘ Δέξεται Ἀνδρομάχη κλυτὰ τεύχεα Πηλείωνος.’
Ἦ, καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων.
Ἕκτορι δ' ἤρμοσε τεύχε' ἐπὶ χροΐ· δῦ δέ μιν Ἄρης 210
Δεινὸς, ἐνυάλιος· πλῆθεν δ' ἄρα οἱ μέλε' ἐντὸς
Ἀλκῆς καὶ θένεος· μετὰ δὲ κλειτὸς ἐπικέρσης
Βῆ ῥα μέγα ἰάχων· ἐνδάλλετο δέ σφισι πᾶσι,
Τεύχεσι λαμπόμενος μεγαθύμου Πηλείωνος.
Ὤτρυνεν δὲ ἕκαστον ἐποιχόμενος ἑπέεσσι, 215
Μέθλην τε, Γλαῦκόν τε, Μέδοντά τε, Θερσίλοχόν τε,
Ἀστεροπαῖόν τε, Δεισήνορά θ', Ἱππόθοόν τε,
Φόρκυν τε, Χρομίον τε, καὶ Ἔννομον οἰωνιστήν·
Τοὺς ὄγ' ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα·
‘ Κέκλυτε, μυρία φῦλα περικτιόνων ἐπικούρων, 220
‘ Οὐ γὰρ ἐγὼ πληθὺν διζήμενος, οὐδὲ χατίζων,
‘ Ἐνθάδ', ἀφ' ὑμετέρων πολίων ἤγειρα ἕκαστον·
‘ Ἀλλ' ἵνα μοι Τρώων ἀλόχους καὶ νήπια τέκνα
‘ Προφρονέως ῥύοισθε φιλοπτολέμων ὑπ' Ἀχαιῶν·
‘ Τὰ φρονέων, δώροισι κατατρύχω καὶ ἐδωδῇ 225
‘ Λαοὺς, ὑμέτερον δὲ ἑκάστου θυμὸν ἀέξω.
‘ Τῷ τις νῦν ἰθὺς τετραμμένος, ἢ ἀπολέσθαι,
‘ Ἠὲ σαωθήτω· ἢ γὰρ πολέμου ὀαριστύς.

207. ΠΟΙ. Τιμωρίαν· οἱ δὲ, ἀμοιβὴν καὶ χάριν.
210. ΔΥ. Εἰσῆλθε δὲ αὐτὸν πολέμου ἐπιθυμία καὶ ὁρμή.
211. ΕΝ. Πολεμικός.
213. ΙΝ. Εἰκάζετο, ὡμοιοῦτο, τῷ Ἀχιλλεῖ δηλονότι.
220. ΦΥ. Ἔθνη, γένη. ΠΕ. Περιοίκων.
221. ΠΛΗ. Πλήθους διόμενος.
224. ΡΥ. Σώζοιτε.
225. ΚΑ. Καταδαπανῶ, ἀνῶ, εἰς ταλαιπωρίαν ἄγω. ΕΔΩ. Τροφῇ· ὁ δὲ λόγος, καίπτοιῶν τὰς Τρῶας, ἀναγκάζω παρέχειν τοῖς συμμάχοις δωρεὰς καὶ εὐωχίας.
226. ΑΕΗ. Αὔξω.
227. ΙΘ. Ἐπ' εὐθείας ὁρμῶν.
228. ΟΑΡ. Αὕτη γάρ ἐστι ἡ τῆς πολέμου ὁμιλία· ὅ ἐστι, οὕτως δεῖ ἀμυνόμε-

'Ὸς δέ κε Πάτροκλον, καὶ τεθνειῶτά περ, ἔμπης
Τρῶας ἐς ἱπποδάμους ἐρύσει, εἴξει δέ οἱ Αἴας, 230
Ἥμισυ τῶν ἐνάρων ἀποδάσσομαι, ἥμισυ δ' αὐτὸς
Ἕξω ἐγώ· τὸ δέ οἱ κλέος ἔσσεται, ὅσσον ἐμοί περ.
Ὣς ἔφαθ'· οἱ δ' ἰθὺς Δαναῶν βρίσαντες ἔβησαν,
Δόρατ' ἀνασχόμενοι· μάλα δέ σφισιν ἔλπετο θυμὸς
Νεκρὸν ὑπ' Αἴαντος ἐρύειν Τελαμωνιάδαο· 235
Νήπιοι· ἦτε πολέσσιν ἐπ' αὐτῷ θυμὸν ἀπηύρα.
Καὶ τότ' ἄρ' Αἴας εἶπε βοὴν ἀγαθὸν Μενέλαον·
Ὦ πέπον, ὦ Μενέλαε διοτρεφὲς, ἐκέτι νῶϊ
Ἔλπομαι αὐτώ περ νοσησέμεν ἐκ πολέμοιο.
Οὔτι τόσον νέκυος περὶ δείδια Πατρόκλοιο, 240
Ὸς κε τάχα Τρώων κορέσει κύνας, ἠδ' οἰωνοὺς,
Ὅσσον ἐμῇ κεφαλῇ περὶ δείδια, μήτι πάθῃσι,
Καὶ σῇ· ἐπεὶ πολέμοιο νέφος περὶ πάντα καλύπτει,
Ἕκτωρ, ἡμῖν δ' αὖτ' ἀναφαίνεται αἰπὺς ὄλεθρος.
Ἀλλ' ἄγ', ἀρίστας Δαναῶν κάλει, ἤν τις ἀκούσῃ. 245
Ὣς ἔφατ'· ἠδ' ἀπίθησε βοὴν ἀγαθὸς Μενέλαος·
Ἤϋσεν δὲ διαπρύσιον Δαναοῖσι γεγωνώς·
Ὦ φίλοι, Ἀργείων ἡγήτορες, ἠδὲ μέδοντες,
Οἵτε παρ' Ἀτρείδῃς, Ἀγαμέμνονι καὶ Μενελάῳ,
Δήμια οἶνοῦσιν, καὶ σημαίνουσιν ἕκαστος 250

φεῦαι ἐν τῷ πολέμῳ καὶ ἀριστεύειν· αὕτη δὲ ἀρετὴ πολεμούντων.

230. ΕΙΞ. Ὑπείξει, ὑποχωρήσει.

231. ΑΠΟ. Ἀπομερίσω.

233. ΒΡΙ. Σφοδρῶς ἐπελθόντες, βαρήσαντες.

236. ΠΟ. Ἀντὶ τοῦ, πολλῶν ἐπ' αὐτῇ ψυχὴν ἀφείλετο.

241. ΚΟ. Κορέσει, πληρώσει.

242. ΟΣ. Ὅσον περὶ ἐμαυτοῦ φοβοῦμαι, μήτι πάθωμεν.

243. ΕΠΕΙ. Ἐπεὶ παντάχοθεν ἡμᾶς ἐσκότωσεν ὁ Ἕκτωρ, καθάπερ νέφος πολέμου.

244. ΑΙ. Ὑψηλός· ἀφ' οὗ μέγας καὶ δεινός.

247. ΔΙΑ. Διαπορεύσιμον, μέγα.

249. ΑΤΡ. Τὸ πλῆρες, παρὰ τοῖς Ἀτρείδαις.

250. ΔΗ. Τὰ δημόσια, τὰ παρὰ τῷ δήμῳ ἐξαιρέτως διδόμενα τοῖς βασιλεῦσι· καταιαλίσκουσι· καὶ σημαίνει ἕκαστος.

᾽ Λαοῖς· ἐκ δὲ Διὸς τιμὴ καὶ κῦδος ὀπηδεῖ.
᾽ Ἀργαλέον δέ μοί ἐςι διασκοπιᾶσθαι ἕκαςον
᾽ Ἡγεμόνων· τόσση γὰρ ἔρις πολέμοιο δέδηεν.
᾽ Ἀλλά τις αὐτὸς ἴτω, νεμεσιζέσθω δ᾽ ἐνὶ θυμῷ
᾽ Πάτροκλον Τρωῆσι κυσὶν μέλπηθρα γενέσθαι.᾽ 255
Ὣς ἔφατ᾽· ὀξὺ δ᾽ ἄκουσεν Ὀϊλῆος ταχὺς Αἴας·
Πρῶτος δ᾽ ἀντίος ἦλθε, θέων ἀνὰ δηϊοτῆτα·
Τὸν δὲ μετ᾽ Ἰδομενεὺς καὶ ὀπάων Ἰδομενῆος
Μηριόνης, ἀτάλαντος Ἐνυαλίῳ ἀνδρειφόντῃ.
Τῶν δ᾽ ἄλλων τίς ἂν ᾔσιν ἐνὶ φρεσὶν ὀνόματ᾽ εἴποι, 260
Ὅσσοι δὴ μετόπισθε μάχην ἤγειραν Ἀχαιῶν;
Τρῶες δὲ πρὸτυψαν ἀολλέες· ἦρχε δ᾽ ἄρ᾽ Ἕκτωρ.
Ὡς δ᾽ ὅτ᾽ ἐπὶ προχοῇσι διϊπετέος ποταμοῖο
Βέβρυχεν μέγα κῦμα ποτὶ ῥόον, ἀμφὶ δέ τ᾽ ἄκραι
Ἠιόνες βοόωσιν, ἐρευγομένης ἁλὸς ἔξω· 265
Τόσση ἄρα Τρώων ἰαχὴ γένετ᾽· αὐτὰρ Ἀχαιοὶ
Ἕςασαν ἀμφὶ Μενοιτιάδῃ, ἕνα θυμὸν ἔχοντες,
Φραχθέντες σάκεσιν χαλκήρεσιν· ἀμφὶ δ᾽ ἄρα σφιν
Λαμπρῇσιν κορύθεσσι Κρονίων ἠέρα πολλὴν
Χεῦ᾽· ἐπεὶ ὐδὲ Μενοιτιάδην ἤχθηρε πάρος γε, 270
Ὄφρα, ζωὸς ἐών, θεράπων ἦν Αἰακίδαο·
Μίσησεν δ᾽ ἄρα μιν δηΐων κυσὶ κύρμα γενέσθαι

252. ΔΙΑΣ. Διασκέπτεσθαι.
253. ΔΕ. Ἐξῆπται, διεγήγερται.
254. ΑΥ. Ἀλλ᾽ ὑπὸ ἰδίας γνώμης παραγενέσθω. ΝΕ. Μεμφέσθω, ἄξιον ἡγείσθω μέμψεως, αἰδείσθω.
255. ΤΡΩ. Τρωϊκαῖς. ΜΕΛ. Ἑλκύσματα, παίγνια· οἱ γὰρ κύνες, ὁπότ᾽ ἂν χορταδῶσι, τοῖς λειψάνοις παίζουσι· μολπὴ οὖν ἡ παιδιά.
256. ΟΞΥ. Ὀξέως, ταχέως.
262. ΠΡΟΥ. Πρῶτον ἐνέβαλον.
263. ΠΡΟ. Ταῖς εἰς θάλασσαν χύσεσι, καὶ ἐκβολαῖς τῶν ποταμῶν. ΔΙΙ. Καταφερῆς, πρανοῦς· ἤτοι τοῦ ὑπὸ Διὸς πληρουμένου, οἷον χειμάῤῥου· ἢ διαφανοῦς, καὶ οἱονεὶ ἀλιπεπετασμένου.
264. ΒΕ. Ποιὸν ἦχον ἀπεστίλεσεν· ὀνοματοποιΐα, ὁ τρόπος.
265. ΕΡΕΥ. Ἐκβρασσομένης τῆς θαλάσσης εἰς τὸ ἔξω μέρος.
270. ΗΧ. Ἐμίσησε, μισητὸν ἡγήσατο.

Τρωῇσιν· τῷ καί οἱ ἀμυνέμεν ὦρσεν ἑταίρους.
Ὦσαν δὲ πρότεροι Τρῶες ἐλίκωπις Ἀχαιούς·
Νεκρὸν δὲ προλιπόντες ὑπέτρεσαν, ἐδέ τιν' αὐτῶν 275
Τρῶες ὑπέρθυμοι ἕλον ἔγχεσιν, ἱέμενοί περ·
Ἀλλὰ νέκυν ἐρύοντο· μίνυνθα δὲ καὶ τοῖ Ἀχαιοὶ
Μέλλον ἀπέσσεσθαι· μάλα γάρ σφεας ὦκ' ἐλέλιζεν
Αἴας, ὃς περὶ μὲν εἶδος, περὶ δ' ἔργα τέτυκτο
Τῶν ἄλλων Δαναῶν, μετ' ἀμύμονα Πηλείωνα· 280
Ἴθυσεν δὲ διὰ προμάχων, συὶ εἴκελος ἀλκὴν
Καπρίῳ, ὅς τ' ἐν ὄρεσσι κύνας θαλερούς τ' αἰζηοὺς
Ῥηϊδίως ἐκέδασσεν, ἑλιξάμενος διὰ βήσσας·
Ὡς υἱὸς Τελαμῶνος ἀγαυοῦ, Φαίδιμος Αἴας,
Ῥεῖα μετεισάμενος Τρώων ἐκέδασσε φάλαγγας, 285
Οἳ περὶ Πατρόκλῳ βέβασαν, φρόνεον δὲ μάλιστα
Ἄσυ πότι σφέτερον ἐρύειν, καὶ κῦδος ἀρέσθαι.
Ἤτοι τὸν, Λήθοιο Πελασγοῦ Φαίδιμος υἱὸς,
Ἱππόθοος ποδὸς εἷλκε κατὰ κρατερὴν ὑσμίνην,
Δησάμενος τελαμῶνι παρὰ σφυρὸν ἀμφὶ τένοντας, 290
Ἕκτορι καὶ Τρώεσσι χαριζόμενος· τάχα δ' αὐτῷ
Ἦλθε κακὸν, τό οἱ οὔτις ἐρύκακεν ἱεμένων περ.
Τὸν δ' υἱὸς Τελαμῶνος, ἐπαΐξας δι' ὁμίλου,
Πλῆξ' αὐτοχαλκείῃ κυνέῃ διὰ χαλκοπαρήῳ·
Ἤριπε δ' ἱπποδάσεια κόρυς περὶ δουρὸς ἀκωκῇ, 295
Πληγεῖσ' ἔγχεϊ τε μεγάλῳ καὶ χειρὶ παχείῃ·

275. ΥΠΕ. Ὑπὸ δείους ἔφυγον.
278. ΕΛΕ. Συνείλησε, συνέτριψεν.
279. ΑΙ. Ὃς καὶ εὐμορφίᾳ, καὶ τοῖς λοιποῖς ἔργοις διέφερε τῶν λοιπῶν πάντων Ἑλλήνων, μετὰ τὸν Ἀχιλλέα.
283. ΕΚΕ. Ἐσκόρπισε. ΒΗ. Ἀντὶ τοῦ, διὰ βησσῶν· ὅ ἐστι βασίμων τόπων.
285. ΜΕ. Ἐπ' αὐτὰς ἐλθών.
286. ΦΡΟ. Διενοοῦντο, ἤλπιζον.
294. ΧΑΛ. Χαλκαῖς παραγναθίδας ἐχούσης.
295. ΗΡΙ. Διεχίσθη, ὅθεν καὶ ἐρείκη, καὶ τὰ ὄσπρια ἐρίγματα· παρὰ τὸ καταψοφεῖν. ΙΠ. Ἡ ἐξ ἱππείων τριχῶν ἔχουσα τὸν λόφον.

Ἐγκέφαλος δὲ παρ' αὐλὸν ἀνέδραμεν ἐξ ὠτειλῆς
Αἱματόεις, τῇ δ' αὖθι λύθη μένος· ἐκ δ' ἄρα χειρῶν
Πατρόκλοιο πόδα μεγαλήτορος ἧκε χαμᾶζε
Κεῖθαι· ὁ δ' ἄγχ' αὐτεῖο πέσε πρηνὴς ἐπὶ νεκρῷ, 300
Τῆλ' ἀπὸ Λαρίσσης ἐριβώλακος· οὐδὲ τοκεῦσι
Θρέπτρα φίλοις ἀπέδωκε, μινυνθάδιος δέ οἱ αἰὼν
Ἔπλετ', ὑπ' Αἴαντος μεγαθύμου δουρὶ δαμέντι.
Ἕκτωρ δ' αὖτ' Αἴαντος ἀκόντισε δουρὶ φαεινῷ·
Ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος 305
Τυτθόν· ὁ δὲ Σχεδίον, μεγαθύμου Ἰφίτου υἱόν,
Φωκήων ὄχ' ἄριστον, ὃς ἐν κλειτῷ Πανοπῆϊ
Οἰκία ναιετάασκε, πολέσσ' ἄνδρεσσιν ἀνάσσων,
Τὸν βάλ' ὑπὸ κληῖδα μέσην· διὰ δ' ἀμπερὲς ἄκρη
Αἰχμὴ χαλκείη παρὰ νείατον ὦμον ἀνέσχε· 310
Δούπησεν δὲ πεσὼν, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
Αἴας δ' αὖ Φόρκυνα δαΐφρονα, Φαίνοπος υἱόν,
Ἱπποθόῳ περιβάντα, μέσην κατὰ γαστέρα τύψε·
Ῥῆξε δὲ θώρηκος γύαλον, διὰ δ' ἔντερα χαλκὸς
Ἧφυσ'· ὁ δ' ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ. 315
Χώρησαν δ' ὑπό τε πρόμαχοι καὶ Φαίδιμος Ἕκτωρ·
Ἀργεῖοι δὲ μέγα ἴαχον, ἐρύσαντο δὲ νεκροὺς,
Φόρκυν θ', Ἱππόθοόν τε· λύοντο δὲ τεύχε' ἀπ' ὤμων.
Ἔνθα κεν αὖτε Τρῶες ἀρηϊφίλων ὑπ' Ἀχαιῶν
Ἴλιον εἰσανέβησαν, ἀναλκείῃσι δαμέντες· 320

297. ΕΓ. Ὁ ἐγκέφαλος παρὰ τὴν ἀπάτησιν τοῦ κράνους σφόδρα καὶ ἐκτιταμένως τῇ τοῦ αἵματος ῥύσει συνεξέρρευσεν· αὐλὸς γὰρ καλεῖται πᾶν τὸ γεῦν καὶ ἐπίμηκες, κατὰ μεταφορὰν τοῦ ὀργάνου· ὅθεν τὸ γάδιον, δίαυλον ἐκάλουν, διὰ τὸ μῆκος· νῦν δὲ αὐλὸν φησι τὸν τῶ αἵματος· ἀκοντισμόν· ἔτι δὲ ὅτι καὶ τὸ ἐπίμηκες τῶ δόρατος.

302. ΘΡΕΠ. Τροφεῖα.

307. ΠΑ. Φωκίδος πόλις.

313. ΠΕ. Ὑπερασπίζοντα.

315. ΗΦΥ. Διεῖλεν, ἔκοψεν. ΑΓΟ. Ἀγκῶνι, πήχει.

Ἀργεῖοι δέ κε κῦδος ἕλον, καὶ ὑπὲρ Διὸς αἶσαν,
Κάρτεϊ καὶ θένεϊ σφετέρῳ· ἀλλ' αὐτὸς Ἀπόλλων
Αἰνείαν ὤτρυνε, δέμας Περίφαντι ἐοικώς,
Κήρυκ' Ἠπυτίδῃ, ὅς οἱ παρὰ πατρὶ γέροντι
Κηρύσσων γήρασκε, φίλα φρεσὶ μήδεα εἰδώς· 325
Τῷ μιν ἐεισάμενος προσέφη Διὸς υἱὸς Ἀπόλλων·
'Αἰνεία, πῶς ἂν καὶ ὑπὲρ θεὸν εἰρύσαιθε
'Ἴλιον αἰπεινήν; ὡς δὴ ἴδον ἀνέρας ἄλλους
'Κάρτεί τε θένεί τε πεποιθότας, ἠνορέῃ τε,
'Πλήθεί τε σφετέρῳ, καὶ ὑπερδέα δῆμον ἔχοντας· 330
'Ἡμῖν δὲ Ζεὺς μὲν πολὺ βέλεται ἢ Δαναοῖσι
'Νίκην· ἀλλ' αὐτοὶ τρεῖτ' ἄσπετον, οὐδὲ μάχεσθε.'
Ὣς ἔφατ'· Αἰνείας δ' ἑκατηβόλον Ἀπόλλωνα
Ἔγνω ἐσάντα ἰδών· μέγα δ' Ἕκτορα εἶπε βοήσας·
'Ἕκτορ τ', ἠδ' ἄλλοι Τρώων ἀγοὶ, ἠδ' ἐπικούρων, 335
'Αἰδὼς μὲν νῦν ἥδε γ' ἀρηϊφίλων ὑπ' Ἀχαιῶν
'Ἴλιον εἰσαναβῆναι, ἀναλκείῃσι δαμέντας.
'Ἀλλ' ἔτι γάρ τίς φησι θεῶν, ἐμοὶ ἄγχι παραστὰς,
'Ζῆν', ὕπατον μήστωρα, μάχης ἐπιτάρροθον εἶναι·
'Τῷ ῥ' ἰθὺς Δαναῶν ἴομεν, μηδ' εἴγε ἕκηλοι 340
'Πάτροκλον νηυσὶν πελασάτω τεθνειῶτα.'
Ὣς φάτο· καί ῥα πολὺ προμάχων ἐξάλμενος ἔστη.
Οἱ δ' ἐλελίχθησαν, καὶ ἐναντίοι ἔσαν Ἀχαιῶν.

321. ΚΑΙ. Καὶ παρὰ τὴν τοῦ Διὸς γνώμην.

324. ΗΠ. Ἠπύτου παιδὶ, ἢ φωνητικῷ.

327. ΥΠ. Ὁ νοῦς, πῶς ἂν καὶ παρὰ τὴν θείαν βουλὴν ῥύσαιθε τὴν πόλιν, ὅτε, τοῦ Διὸς συμπράττοντος ὑμῖν, διὰ τὴν ἰδίαν ἀσθένειαν λείπεσθε. ΥΠ. Καὶ παρὰ τὴν γνώμην τοῦ θεοῦ.

329. ΚΑΡ. Καὶ τῷ κράτει ἡμῶν καὶ τῇ δυνάμει θαρροῦντας.

330. ΠΛΗ. Τῷ πλήθει τοῦ λαοῦ, καὶ περ ἐλαττωμένους, ἀλλὰ περιόντας τῶν πολεμίων διὰ τὴν ἀνδρείαν. ΥΠΕΡ. Ὑπερδέοντα· ὅ ἐστι γενναῖοι, καὶ ὑπεράγοντα τῇ δυνάμει τοὺς ἀντιτεταγμένους ἔχοντας πλείονας.

332. ΤΡΕΙ. Δεδίοισθε, φοβεῖσθε.

Ἔνθ' αὖτ' Αἰνείας Λειόκριτον ἔτασε δουρὶ,
Υἱὸν Ἀρίσβαντος, Λυκομήδεος ἐσθλὸν ἑταῖρον. 348
Τὸν δὲ πεσόντ' ἐλέησεν ἀρηΐφιλος Λυκομήδης·
Στῆ δὲ μάλ' ἐγγὺς ἰὼν, καὶ ἀκόντισε δουρὶ φαεινῷ,
Καὶ βάλεν Ἱππασίδην Ἀπισάονα, ποιμένα λαῶν,
Ἧπαρ ὑπὸ πραπίδων, εἶθαρ δ' ὑπὸ γούνατ' ἔλυσεν·
Ὃς ῥ' ἐκ Παιονίης ἐριβώλακος εἰληλούθει, 350
Καὶ δὲ μετ' Ἀστεροπαῖον ἀριστεύεσκε μάχεσθαι.
Τὸν δὲ πεσόντ' ἐλέησεν ἀρήϊος Ἀστεροπαῖος,
Ἴθυσεν δὲ καὶ ὁ πρόφρων Δαναοῖσι μάχεσθαι·
Ἀλλ' ἄπρηκτος ἔτι εἶχε· σάκεσσι γὰρ ἔρχατο πάντη
Ἑστάότες περὶ Πατρόκλῳ, πρὸ δὲ δούρατ' ἔχοντο. 355
Αἴας γὰρ μάλα πάντας ἐπώχετο, πολλὰ κελεύων·
Οὔτε τιν' ἐξοπίσω νεκροῦ χάζεσθαι ἀνώγει,
Οὔτε τινὰ προμάχεσθαι Ἀχαιῶν ἔξοχον ἄλλων,
Ἀλλὰ μάλ' ἀμφ' αὐτῷ βεβάμεν, κεδόθεν δὲ μάχεσθαι.
Ὡς Αἴας ἐπέτελλε πελώριος· αἵματι δὲ χθὼν 360
Δεύετο πορφυρέῳ· τοὶ δ' ἀγχησῖνοι ἔπιπτον
Νεκροὶ ὁμοῦ Τρώων καὶ ὑπερμενέων ἐπικούρων,
Καὶ Δαναῶν· οὐδ' οἱ γὰρ ἀναιμωτί γ' ἐμάχοντο·
Παυρότεροι δὲ πολὺ φθίνυθον· μέμνηντο γὰρ αἰεὶ
Ἀλλήλοις ἀν' ὅμιλον ἀλεξέμεναι πόνον αἰπύν. 365
Ὡς οἱ μὲν μάρναντο δέμας πυρός· οὐδέ κε φάσης
Οὔτε ποτ' ἠέλιον σόον ἔμμεναι, οὔτε σελήνην·
Ἠέρι γὰρ κατέχοντο μάχης ἔπι, ὅσσοι ἄριστοι

354. ΕΡ. Πεφραγμένοι ἦσαν.
355. ΠΡΟ. Προεῖχον δὲ αὐτοῦ τὰ δόρατα.
359. ΑΜΦ. Περιβεβηκέναι καὶ ὑπερασπίζειν.
361. ΑΓ. Ἐπάλληλοι, πυκνοί.
362. ΥΠΕΡ. Ὑπερεχόμενον τῇ δυνάμει, ἀνδρείων.
363. ΑΝΑΙ. Ἄνευ αἵματος καὶ φόνου.
364. ΦΘΙ. Ἐφθείροντο, ἀπηλοῦντο.
366. ΔΕ. Τρόπον καιομένου πυρός· θερμῶ. ΟΥ. Εἴποι δ' ἄν τις ἀμφότερα τὰ στοιχεῖα, ἥλιον, καὶ σελήνην, ἐκλελοιπότα ἀπὸ τῆς πολλῆς ἀχλύος.

Ἕςασαν ἀμφὶ Μενοιτιάδῃ κατατεθνειῶτι.
Οἱ δ' ἄλλοι Τρῶές τε καὶ εὐκνήμιδες Ἀχαιοὶ 370
Εὔκηλοι πολέμιζον ὑπ' αἰθέρι· πέπλατο δ' αὐγὴ
Ἠελίου ὀξεῖα, νέφος δ' οὐ φαίνετο πάσης
Γαίης, ἠδ' ὀρέων· μεταπαυόμενοι δὲ μάχοντο,
Ἀλλήλων ἀλεείνοντες βέλεα τανύοντα,
Πολλὸν ἀφεςάοτες· τοὶ δ' ἐν μέσῳ ἄλγε' ἔπαςχον 375
Ἤρι καὶ πολέμῳ· τείροντο δὲ νηλέϊ χαλκῷ,
Ὅσσοι ἄριςοι ἔσαν· δύο δ' ὄπω φῶτε πεπύθην,
Ἀνέρε κυδαλίμω, Θρασυμήδης, Ἀντίλοχός τε,
Πατρόκλοιο θανόντος ἀμύμονος, ἀλλ' ἔτ' ἔφαντο
Ζωὸν ἐνὶ πρώτῳ ὁμάδῳ Τρώεσσι μάχεσθαι. 380
Τὼ δ', ἐπιοσσομένω θάνατον καὶ φῦζαν ἑταίρων,
Νόσφιν ἐμαρνάσθην, ἐπεὶ ὣς ἐπετέλλετο Νέςωρ,
Ὀτρύνων πόλεμόνδε μελαινάων ἀπὸ νηῶν.
Τοῖς δὲ πανημερίοις ἔριδος μέγα νεῖκος ὀρώρει
Ἀργαλέης· καμάτῳ δὲ καὶ ἱδρῷ νωλεμὲς αἰεὶ 385
Γένατά τε, κνῆμαί τε, πόδες θ' ὑπένερθεν ἑκάςου,
Χεῖρές τ', ὀφθαλμοί τε, πελάσσετο μαρναμένοιϊν,
Ἀμφ' ἀγαθὸν θεράποντα πολώκεος Αἰακίδαο.
Ὡς δ' ὅτ' ἀνὴρ τάυροιο βοὸς μεγάλοιο βοείην
Λαοῖσιν δίπη τανύειν, μεθύουσαν ἀλοιφῇ· 390
Δεξάμενοι δ' ἄρα τοίγε διαςάντες τανύουσι
Κυκλόσ', ἄφαρ δέ τε ἰκμὰς ἕβη, δύνει δέ τ' ἀλοιφὴ,
Πολλῶν ἑλκόντων, τάνυται δέ τε πᾶσα διαπρό·

371. ΕΥ. Ἥσυχοι, εὐδιάδοχοι· ἐπιφέρει γὰρ, μεταπαυόμενοι δ' ἐμάχοντο· ὅ ἐςιν, οἱ μὲν ἀναπαυόμενοι, οἱ δὲ μαχόμενοι ἐκ διαδοχῆς καὶ ἀναπαύσεως. ΠΕΠ. Ἐξήπλωτο ἡ λαμπηδών.

373. ΓΑΙ. Οὔτε ἀπὸ γῆς, οὔτε ἀπὸ τῶν ὀρῶν.

384. ΠΑΝ. Δι' ὅλης τῆς ἡμέρας.

392. ΑΦΑΡ. Ταχέως δὲ ἡ ὑγρασία διέρχεται τοῦ τέατος, οὖσα ἐλαιώδης.

393. ΤΑ. Διατείνεται, διαχεῖται.

Ὣς οἶγ' ἔνθα καὶ ἔνθα νέκυν ὀλίγῃ ἐνὶ χώρῃ
Εἵλκεον ἀμφότεροι· μάλα γὰρ σφισιν ἤλπετο θυμὸς, 395
Τρωσὶν μὲν, ἐρύειν προτὶ Ἴλιον, αὐτὰρ Ἀχαιοῖς,
Νῆας ἐπι γλαφυράς· περὶ δ' αὐτῷ μῶλος ὀρώρει
Ἄγριος· ἠδέ κ' Ἄρης λαοσσόος, ἠδέ κ' Ἀθήνη
Τόνγε ἰδοῦσ' ὀνόσαιτ', ἠδ' εἰ μάλα μιν χόλος ἴκοι·
Τοῖον Ζεὺς ἐπὶ Πατρόκλῳ ἀνδρῶν τε καὶ ἵππων 400
Ἤματι τῷ ἐτάνυσσε κακὸν πόνον. Οὐδ' ἄρα πώ τι
Ἤδεε Πάτροκλον τεθνηότα δῖος Ἀχιλλεύς·
Πολλὸν γὰρ ἀπάνευθε νεῶν μάρναντο θοάων,
Τείχει ὕπο Τρώων· τό μιν ἤποτε ἤλπετο θυμῷ
Τεθνάμεν, ἀλλὰ ζωὸν, ἐνιχριμφθέντα πύλῃσιν, 405
Ἀψ ἀπονοσήσειν· ἐπεὶ ἠδὲ τὸ ἤλπετο πάμπαν,
Ἐκπέρσειν πολίεθρον ἄνευ ἔθεν, ἠδὲ σὺν αὐτῷ.
Πολλάκι γὰρ τόγε μητρὸς ἐπεύθετο, νόσφιν ἀκούων,
Ἥ οἱ ἀπαγγέλλεσκε Διὸς μεγάλοιο νόημα.
Δὴ τότε γ' οὔ οἱ ἔειπε κακὸν τόσον, ὅσσον ἐτύχθη, 410
Μήτηρ, ὅτι ῥά οἱ πολὺ φίλτατος ὤλεθ' ἑταῖρος.
Οἱ δ' αἰεὶ περὶ νεκρὸν ἀκαχμένα δούρατ' ἔχοντες,
Νωλεμὲς ἐγχρίμπτοντο, καὶ ἀλλήλους ἐνάριζον.
Ὧδε δέ τις ἔειπεσκεν Ἀχαιῶν χαλκοχιτώνων·
«Ὦ φίλοι, οὐ μὰν ἧμιν ἐϋκλεὲς ἀπονέεσθαι 415
«Νῆας ἐπι γλαφυρὰς, ἀλλ' αὐτῷ γαῖα μέλαινα
«Πᾶσι χάνοι· τό κεν ἧμιν ἄφαρ πολὺ κέρδιον εἴη,
«Εἰ τῶτον Τρώεσσι μεθήσομεν ἱπποδάμοισιν
«Ἄγυ πότι σφέτερον ἐρύσαι, καὶ κῦδος ἀρέσθαι,»

398. ΛΑ. Ὁ τῶν λαῶν τὸ πλῆθος ἀοικῶν καὶ σώζων· ὁτὶ δὶ εἰς φυγὴν τρέπων.
404. ΤΟ. Διά.
415. ΕΥ. Ἔνδοξον.
416. ΑΛΛ. Ἀλλ' ἐν τῷ αὐτῷ τόπῳ πάντες γῆς χάσματι διχθεῖεν.
418. ΜΕ. Ἀμυνόσεμεν.

Ὧδε δέ τις Τρώων μεγαθύμων αὐδήσασκεν· 420
Ὦ φίλοι, εἰ καὶ μοῖρα παρ' ἀνέρι τῷδε δαμῆναι
Πάντας ὁμῶς, μήπω τις ἐρωείτω πολέμοιο.
Ὡς ἄρα τις εἴπεσκε, μένος δ' ὄρσασκεν ἑταίρῳ.
Ὡς οἱ μὲν μάρναντο· σιδήρειος δ' ὀρυμαγδὸς
Χάλκεον οὐρανὸν ἶκε δι' αἰθέρος ἀτρυγέτοιο. 425
Ἵπποι δ' Αἰακίδαο, μάχης ἀπάνευθεν ἐόντες,
Κλαῖον, ἐπειδὴ πρῶτα πυθέσθην ἡνιόχοιο
Ἐν κονίῃσι πεσόντος ὑφ' Ἕκτορος ἀνδροφόνοιο.
Ἡ μὰν Αὐτομέδων, Διώρεος ἄλκιμος υἱὸς,
Πολλὰ μὲν ἂρ μάστιγι θοῇ ἐπεμαίετο θείνων, 430
Πολλὰ δὲ μειλιχίοισι προσηύδα, πολλὰ δ' ἀρειῇ·
Τὼ δ' ὅτ' ἂψ ἐπὶ νῆας ἐπὶ πλατὺν Ἑλλήσποντον
Ἠθελέτην ἰέναι, ὅτ' ἐς πόλεμον μετ' Ἀχαιοὺς·
Ἀλλ' ὥστε σήλη μένει ἔμπεδον, ἥτ' ἐπὶ τύμβῳ
Ἀνέρος εἱστήκει τεθνηότος, ἠὲ γυναικός· 435
Ὡς μένον ἀσφαλέως περικαλλέα δίφρον ἔχοντες,
Οὔδει ἐνισκίμψαντε καρήατα· δάκρυα δέ σφιν
Θερμὰ κατὰ βλεφάρων χαμάδις ῥέε μυρομένοισιν,
Ἡνιόχοιο πόθῳ· θαλερὴ δὲ μιαίνετο χαίτη,
Ζεύγλης ἐξεριπεῦσα παρὰ ζυγὸν ἀμφοτέροισι. 440
Μυρομένω δ' ἄρα τώγε ἰδὼν ἐλέησε Κρονίων,
Κινήσας δὲ κάρη, προτὶ ὃν μυθήσατο θυμόν·
Ἆ δειλὼ, τί σφῶϊ δόμεν Πηλῆϊ ἄνακτι

422. ΕΡΩ. Ἀμελείτω, ὑποχωρείτω.
424. ΣΙ. Ἤτοι σιδηρὸς, ἢ ἀπὸ ὅπλων τοῦ σιδήρου ψόφος.
427. ΗΝ. Ἡνίοχος γὰρ ἦν Πάτροκλος Ἀχιλλέως· Πατρόκλου δὲ, Αὐτομέδων· Αὐτομέδοντος δὲ, Ἀλκιμέδων.
429. ΜΑΝ. Καίτοι δή.
430. ΘΕΙ. Τύπτων, ὅθεν καὶ θὶς ὁ αἰγιαλὸς, παρ' ὅσον τύπτεται ὑπὸ τῶν κυμάτων.
431. ΑΡΕΙ. Ἀπειλῇ.
436. ΑΣ. Ἀσφαλῶς, παραμόνως.
437. ΕΝΙ. Ἐμπελάσαντες, ἐμπεσόντες.
440. ΖΕΥ. Ζεύγεσι, ζυγοῦ. ΕΞ. Πεσοῦσα.
443. ΔΕΙ. Ὦ δειλότατοι, καὶ ἐλεεινότατοι.

Θνητῷ, ὑμεῖς δ' ἐσὸν ἀγήρω τ', ἀθανάτω τε·
Ἦ ἵνα δυσήνοισι μετ' ἀνδράσιν ἄλγε' ἔχητον; 445
Οὐ μὲν γάρ τί πή ἐστιν ὀϊζυρώτερον ἀνδρὸς
Πάντων, ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.
Ἀλλ' οὐ μὰν ὑμῖν γε κὴ ἅρμασι δαιδαλέοισιν
Ἕκτωρ Πριαμίδης ἐποχήσεται· οὐ γὰρ ἐάσω.
Ἦ οὐχ ἅλις, ὡς κὴ τεύχε' ἔχει, καὶ ἐπεύχεται αὔτως; 450
Σφῶϊν δ' ἐν γένασσι βαλὼ μένος ἠδὲ ἑνὶ θυμῷ,
Ὄφρα καὶ Αὐτομέδοντα σαώσετον ἐκ πολέμοιο
Νῆας ἔπι γλαφυράς· ἔτι γὰρ σφισι κῦδος ὀρέξω,
Κτείνειν, εἰσόκε νῆας ἐϋσσέλμους ἀφίκωνται,
Δύῃ τ' ἠέλιος, καὶ ἔπι κνέφας ἱερὸν ἔλθῃ.' 455
Ὣς εἰπὼν, ἵπποισιν ἐνέπνευσεν μένος ἠΰ.
Τὼ δὲ ἀπὸ χαιτάων κονίην ἔδάσθε βαλόντε,
Ῥίμφ' ἔφερον θοὸν ἅρμα μετὰ Τρῶας κὴ Ἀχαιούς.
Τοῖσι δ' ἐπ' Αὐτομέδων μάχετ', ἀχνύμενός περ ἑταίρου,
Ἵππῃς ἀΐσσων, ὥς' αἰγυπιὸς μετὰ χῆνας· 460
Ῥεῖα μὲν γὰρ φεύγεσκεν ὑπ' ἐκ Τρώων ὁρυμαγδοῦ,
Ῥεῖα δ' ἐπαΐξασκε πολὺν καθ' ὅμιλον ὀπάζων.
Ἀλλ' οὐχ ἥρει φῶτας, ὅτ' ἐσσεύαιτο διώκειν·
Οὐ γάρ πως ἦν, οἷον ἐόνθ' ἱερῷ ἐνὶ δίφρῳ,
Ἔγχει ἐφορμᾶσθαι, καὶ ἐπίχειν ὠκέας ἵππους. 465
Ὀψὲ δὲ δή μιν ἑταῖρος ἀνὴρ ἴδεν ὀφθαλμοῖσιν
Ἀλκιμέδων, υἱὸς Λαέρκεος Αἰμονίδαο·
Στῆ δ' ὄπιθεν δίφροιο, κὴ Αὐτομέδοντα προσηύδα·
Αὐτόμεδον, τίς τοί νυ θεῶν νηκερδέα βελὴν

446. ΟΙ. Ταλαιπωρότερον.
447. ΟΣ. Ὅσα ζῶα ἐπὶ τῆς γῆς ἕρπει καὶ κινεῖται βαδίζοντα.
460. ΙΠ. Σὺν τοῖς ἵπποις ὁρμῶν.
463. ΕΣ, Ὁρμᾶσθαι.
464. ΙΕ. Ἤτοι μεγάλῳ· ἢ ἱεροὺς ἐλαύνοντι ἵππους.
465. ΕΠΙ. Ἐπέχειν, κωλύειν.
469. ΝΗ. Ἀκερδῆ, βλαβερά.

‘ Ἐν στήθεσσιν ἔθηκε, καὶ ἐξέλετο φρένας ἐσθλάς; 470
‘ Οἷον πρὸς Τρῶας μάχεται πρώτῳ ἐν ὁμίλῳ
‘ Μᾶνος· ἀτὰρ τοι ἑταῖρος ἀπέκτατο· τεύχεα δ᾽ Ἕκτωρ
‘ Αὐτὸς ἔχων ὤμοισιν ἀγάλλεται Αἰακίδαο.’
Τὸν δ᾽ αὖτ᾽ Αὐτομέδων προσέφη, Διώρεος υἱός·
‘ Ἀλκίμεδον, τίς γάρ τοι Ἀχαιῶν ἄλλος ὁμοῖος, 475
‘ Ἵππων ἀθανάτων ἐχέμεν δμῆσίν τε μένος τε,
‘ Εἰ μὴ Πάτροκλος, θεόφιν μήστωρ ἀτάλαντος,
‘ Ζωὸς ἐών; νῦν δ᾽ αὖ θάνατος καὶ μοῖρα κιχάνει.
‘ Ἀλλὰ σὺ μὲν μάστιγα καὶ ἡνία σιγαλόεντα
‘ Δέξαι, ἐγὼ δ᾽ ἵππων ἀποβήσομαι, ὄφρα μάχωμαι.’ 480
Ὣς ἔφατ᾽· Ἀλκιμέδων δὲ βοηθόον ἄρμ᾽ ἐπορέσσας,
Καρπαλίμως μάστιγα καὶ ἡνία λάζετο χερσίν·
Αὐτομέδων δ᾽ ἀπόρουσε· νόησε δὲ Φαίδιμος Ἕκτωρ,
Αὐτίκα δ᾽ Αἰνείαν προσεφώνεεν ἐγγὺς ἐόντα·
‘ Αἰνεία, Τρώων βουληφόρε χαλκοχιτώνων, 485
‘ Ἵππω τώδ᾽ ἐνόησα ποδώκεος Αἰακίδαο
‘ Ἐς πόλεμον προφανέντε σὺν ἡνιόχοισι κακοῖσι·
‘ Τῷ κεν ἐελπόμην αἱρησέμεν, εἰ σύγε θυμῷ
‘ Σῷ ἐθέλεις· ἐπεὶ οὐκ ἂν ἐφορμηθέντε γε νῶϊν
‘ Τλαῖεν ἐναντίβιον στάντες μαχέσασθαι ἀρηϊ.’ 490
Ὣς ἔφατ᾽· ἠδ᾽ ἀπίθησεν ἑοῦς παῖς Ἀγχίσαο.
Τὼ δ᾽ ἰθὺς βήτην, βοέης εἰλυμένω ὤμους
Αὔησι, στερεῇσι· πολὺς δ᾽ ἐπελήλατο χαλκός.
Τοῖσι δ᾽ ἅμα Χρόμιός τε, καὶ Ἄρητος θεοειδής,
Ἤϊσαν ἀμφότεροι· μάλα δέ σφισιν ἤλπετο θυμὸς 495

476. ΔΜΗ. Καταπόησιν, ὑποταγήν.
481. ΒΟ. Ἐν πολέμῳ ταχύν.
488. ΑΙ. Λήψεσθαι.
492. ΒΟ. Ἀσπίσιν.
493. ΑΥ. Ξηραῖς, κούφαις. ΕΠΕ. Ἐπιπήγει.

Αὐτώ τε κτενέειν, ἐλάαν τ' ἐριαύχενας ἵππους·
Νήπιοι, ὐδ' ἄρ' ἔμελλον ἀναιμωτί γε νέεσθαι
Αὖτις ἀπ' Αὐτομέδοντος· ὁ δ', εὐξάμενος Διὶ πατρὶ,
Ἀλκῆς καὶ θένεος πλῆτο φρένας ἀμφιμελαίνας·
Αὐτίκα δ' Ἀλκιμέδοντα προσηύδα, πιστὸν ἑταῖρον· 500
'Ἀλκίμεδον, μὴ δή μοι ἀπόπροθεν ἰσχέμεν ἵππους,
'Ἀλλὰ μάλ' ἐμπνείοντε μεταφρένῳ· οὐ γὰρ ἔγωγε
"Εκτορα Πριαμίδην μένεος ἀχήσεσθαι ὀΐω,
Πρίν γ' ἐπ' Ἀχιλλῆος καλλίτριχε βήμεναι ἵππω,
Νῶϊ κατακτείναντα, φοβήσαι δὲ στίχας ἀνδρῶν 505
'Αργείων· ἤ κ' αὐτὸς ἐνὶ πρώτοισιν ἁλώῃ.'
Ὣς εἰπὼν, Αἴαντε καλέσσατο, καὶ Μενέλαον·
'Αἴαντ', 'Αργείων ἡγήτορε, καὶ Μενέλαε,
'Ἤτοι μὲν τὸν νεκρὸν ἐπιτράπεθ', ὅσσοι ἄριστοι,
'Αμφ' αὐτῷ βεβάμεν, καὶ ἀμύνεσθαι στίχας ἀνδρῶν· 510
Νῶϊν δὲ ζωοῖσιν ἀμύνετε νηλεὲς ἦμαρ.
Τῆδε γὰρ ἔβρισαν πόλεμον κάτα δακρυόεντα
"Εκτωρ, Αἰνείας θ', οἳ Τρώων εἰσὶν ἄριστοι·
'Αλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται·
"Ησω γὰρ καὶ ἐγώ· τὰ δέ κεν Διὶ πάντα μελήσει.' 515
Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
Καὶ βάλεν Ἀρήτοιο κατ' ἀσπίδα πάντοσε ἴσην·
Ἡ δ' οὐκ ἔγχος ἔρυτο, διὰ πρὸ δὲ εἴσατο χαλκὸς,
Νειαίρῃ δ' ἐν γαστρὶ διὰ ζωστῆρος ἔλασσεν.

501. ΑΠΟ. Χωρὶς, ἄποθεν. ΙΣ. Κατίχειν.

502. ΕΜΠ. Καταπνείοντες· ὅ ἐστι, καταφυσῶντες αὐτοῦ τὸ μετάφρενον· ὅ ἐστιν, ἐγγὺς ὄντες τοῦ νώτου.

503. ΣΧΗ. Ἀποσχῆσαι, παῦσαι.

506. ΑΛΩ. Ληφθείη.

509. ΕΠΙ. Ἐν ἐπιτροπῇ ἔσται.

510. ΒΕ. Ἐμβεβηκέναι, ὑπερασπίζειν.

511. ΝΩ. Ἡμῖν δὲ ἐν τοῖς ζῶσιν.

514. ΚΕΙ. Οἰονεὶ παράκειται· ἤ, ἐν ἐξουσίᾳ τῶν Θεῶν ἐστίν.

515. ΗΣΩ. Ἀκοντίσω, πέμψω.

518. ΕΡΥ. Ἐφύλαξεν, ἐκώλυσεν.

Ὡς δ' ὅταν ὀξὺν ἔχων πέλεκυν αἰζήϊος ἀνὴρ, 520
Κόψας ἐξόπιθεν κεράων βοὸς ἀγραύλοιο,
Ἵνα τάμῃ διὰ πᾶσαν, ὁ δὲ προθορὼν ἐρίπησιν·
Ὡς ἄρ' ὄγε προθορὼν πέσεν ὕπιος· ἐν δέ οἱ ἔγχος
Νηδυίοισι μάλ' ὀξὺ κραδαινόμενον λύε γυῖα.
Ἕκτωρ δ' Αὐτομέδοντος ἀκόντισε δεξὶ φαεινῷ· 525
Ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος·
Πρόσσω γὰρ κατέκυψε· τὸ δ' ἐξόπιθεν δόρυ μακρὸν
Οὔδει ἐνισκίμφθη, ἐπὶ δ' ἐρίαχος πελεμίχθη
Ἔγχεος· ἐνθάδ' ἔπειτ' ἀφίει μένος ὄβριμος ἄρης.
Καί νύ κε δὴ ξιφέεσσ' αὐτοχεδὸν ὡρμηθήτην, 530
Εἰ μή σφω Αἴαντε διέκριναν μεμαῶτε,
Οἵ ῥ' ἦλθον καθ' ὅμιλον, ἑταίρῳ κικλήσκοντος.
Τὼς δ' ὑποταρβήσαντες ἐχώρησαν πάλιν αὖτις
Ἕκτωρ, Αἰνείας τ', ἠδὲ Χρόμιος θεοειδής·
Ἄρηιον δὲ κατ' αὖθι λίπον, δεδαϊγμένον ἦτορ, 535
Κείμενον· Αὐτομέδων δὲ, θοῷ ἀτάλαντος Ἄρηϊ,
Τεύχεά τ' ἐξενάριζε, καὶ εὐχόμενος ἔπος ηὔδα·
Ἦ δὴ μὰν ὀλίγον γε Μενοιτιάδαο θανόντος
Κῆρ ἄχεος μεθέηκα, χερείονά περ καταπέφνων.
Ὡς εἰπὼν, ἐς δίφρον ἑλὼν ἔναρα βροτόεντα 540
Θῆκ', ἂν δ' αὐτὸς ἔβαινε, πόδας καὶ χεῖρας ὕπερθεν
Αἱματόεις, ὥς τίς τε λέων κατὰ ταῦρον ἐδηδώς.
Ἂψ δ' ἐπὶ Πατρόκλῳ τέτατο κρατερὴ ὑσμίνη,

520. ΑΙ. Ἀκμαῖος, νέος.
521. ΚΕ. Κεράων. ΑΓΡΑΥ. Ἐν ἀγρῷ αὐλιζομένου, ἢ ὑπαιθρίου, ἀγρίου.
522. ΙΝ. Ὅλην ἀποτάμοι τὴν νωτιαίαν φλέβα. ΕΡΙ. Πίσῃ.
524. ΝΗΔ. Τοῖς ἐντοσθίοις, τοῖς ἐντέροις· ὅ ἐστι, σπλάγχνοις· ηδὺς γὰρ ἡ κοιλία. ΚΡΑ. Σειόμενον.
528. ΕΝΙ. Ἐνερείσθη, ἔπεσεν. ΟΥ. Τὸ ἄκρον μέρος τοῦ δόρατος, τὸ ὄπισθεν.
530. ΑΥ. Ἐκ τοῦ σύνεγγυς.
531. ΔΙΕ. Διεχώρισαν.
535. ΔΕ. Μεμερισμένον.
539. ΜΕ. Μικρὸν δέ τι τῆς ἐπὶ Πατρόκλῳ λύπης κεκόφισμαι τὴν ψυχήν.
542. ΕΔΗ. Καταβεβρωκώς.
543. ΤΕ. Ηὔξετο.

Ἀργαλέη, πολύδακρυς· ἔγειρε δὲ νεῖκος Ἀθήνη,
Οὐρανόθεν καταβᾶσα· προῆκε γὰρ εὐρυόπα Ζεὺς 545
Ὀρνύμεναι Δαναούς· δὴ γὰρ νόος ἐτράπετ' αὐτοῦ.
Ἠΰτε πορφυρέην ἶριν θνητοῖσι τανύσσῃ
Ζεὺς ἐξ οὐρανόθεν, τέρας ἔμμεναι ἢ πολέμοιο,
Ἢ κ' χειμῶνος δυσθαλπέος· ὅς ῥά τε ἔργων
Ἀνθρώπους ἀνέπαυσεν ἐπὶ χθονί, μῆλα δὲ κήδει· 550
Ὡς ἥ, πορφυρέῃ νεφέλῃ πυκάσασά ἑ αὐτὴν,
Δύσετ' Ἀχαιῶν ἔθνος, ἔγειρε δὲ φῶτα ἕκαστον.
Πρῶτον δ' Ἀτρέος υἱὸν ἐποτρύνασα προσηύδα,
Ἴφθιμον Μενέλαον, ὃ γάρ ῥά οἱ ἐγγύθεν ἦεν,
Εἰσαμένη Φοίνικι δέμας καὶ ἀτειρέα φωνήν· 555
Σοὶ μὲν δή, Μενέλαε, κατηφείη καὶ ὄνειδος
Ἔσσεται, εἴ κ' Ἀχιλῆος ἀγαυοῦ πιστὸν ἑταῖρον
Τείχει ὕπο Τρώων ταχέες κύνες ἑλκύσωσιν·
Ἀλλ' ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα.
Τὴν δ' αὖτε προσέειπε βοὴν ἀγαθὸς Μενέλαος· 560
Φοῖνιξ, ἄτα, γεραιὲ παλαιγενές, εἰ γὰρ Ἀθήνη
Δοίη κάρτος ἐμοὶ, βελέων δ' ἀπερύκοι ἐρωήν·
Τῷ κεν ἔγωγ' ἐθέλοιμι παρεστάμεναι καὶ ἀμύνειν
Πατρόκλῳ· μάλα γάρ με θανὼν ἐσεμάσσατο θυμόν·
Ἀλλ' Ἕκτωρ πυρὸς αἰνὸν ἔχει μένος, οὐδ' ἀπολήγει 565

546. ΔΗ. Εἰς τοῦτο γὰρ ἐτράπη αὐτῷ ἡ γνώμη.
547. ΠΟΡ. Νῦν, ποικίλην· ἶριν δὲ λέγει νῦν, τὸ γιγνόμενον περὶ τὸν ἀέρα πάθος, ὅ ἐστι, νέφος ὑγρόν.
549. ΔΥΣ. Δυσθερμάντου, ψυχροῦ.
550. ΚΗ. Κακοῖ, βλάπτει, ἀνιᾷ, λυπεῖ.
551 ΠΥ. Σκεπάσασα, καλύψασα.
556. ΚΑ. Στυγνότης, λύπη· ἀπὸ τοῦ πάθους ἔχειν τὰ φάη.
557. ΕΣ. Γενήσεται.
561. ΦΟΙ. Νῦν, ὄνομα κύριον τοῦ Ἀχιλλέως τροφέως. ΑΤ. Τροφεῦ. Ἔστι δὲ νεωτέρου πρὸς πρεσβύτερον ἠθικὴ προσφώνησις. ΠΑ. Πάλαι γεγονὼς, πρεσβύτα.
562. ΑΠΕ. Ἀποκωλύοι.
563. ΤΩ Ὅπως ἄν.
564. ΕΣΕ. Καθῆψε, καὶ ἐλύπησε τὴν ψυχὴν, καὶ ἐπαστιμάξατο.

'Χαλκῷ δηϊόων· τῷ γὰρ Ζεὺς κῦδος ὀπάζει.'
Ὣς φάτο· γήθησεν δὲ θεὰ γλαυκῶπις Ἀθήνη,
Ὅπι ῥά οἱ πάμπρωτα θεῶν ἠρήσατο πάντων·
Ἐν δὲ βίην ὤμοισι καὶ ἐν γύνασσιν ἔθηκε,
Καί οἱ μυίης θάρσος ἐνὶ στήθεσσιν ἐνῆκεν, 570
Ἥτε, κὲ ἐργομένη μάλα περ χροὸς ἀνδρομέοιο,
Ἰχανάα δακέειν, λαρόν τέ οἱ αἷμ' ἀνθρώπου·
Τοίου μιν θάρσευς πλῆσεν φρένας ἀμφιμελαίνας.
Βῆ δ' ἐπὶ Πατρόκλῳ, καὶ ἀκόντισε δουρὶ φαεινῷ.
Ἔσκε δ' ἐνὶ Τρώεσσι Πόδης, υἱὸς Ἠετίωνος, 575
Ἀφνειός τ', ἀγαθός τε· μάλιστα δέ μιν τίεν Ἕκτωρ
Δήμου, ἐπεί οἱ ἑταῖρος ἦν φίλος εἰλαπιναστής·
Τόν ῥα κατὰ ζωστῆρα βάλε ξανθὸς Μενέλαος,
Ἀΐξαντα φόβονδε· διὰ πρὸ δὲ χαλκὸν ἔλασσε·
Δούπησεν δὲ πεσών· ἀτὰρ Ἀτρείδης Μενέλαος 580
Νεκρὸν ὑπ' ἐκ Τρώων ἕρυσεν μετὰ ἔθνος ἑταίρων.
Ἕκτορα δ' ἐγγύθεν ἱστάμενος ὤτρυνεν Ἀπόλλων,
Φαίνοπι Ἀσιάδῃ ἐναλίγκιος, ὅς οἱ ἀπάντων
Ξείνων φίλτατος ἔσκεν, Ἀβυδόθι οἰκία ναίων·
Τῷ μιν ἐεισάμενος προσέφη ἑκάεργος Ἀπόλλων· 585
'Ἕκτορ, τίς κέ σ' ἔτ' ἄλλος Ἀχαιῶν ταρβήσειεν;
Οἷον δὴ Μενέλαον ὑπέτρεσας, ὃς τὸ πάρος περ
Μαλθακὸς αἰχμητής, νῦν δ' οἴχεται οἶος ἀείρας

566. ΟΠΑ. Νῦν, κατόπιν διώκει.
568. ΠΑΜ. Πάντων πρώτη.
569. ΒΙ. Δύναμιν.
570. ΜΥ. Τὸ ἐπίμονον τοῦ ἥρωος λέγει· ὕτως γὰρ ἀποτρεπόμενος εἰς ἄλλον τόπον ἵτρεχεν εἰς τὸν αὐτόν.
571. ΕΡ. Κωλυομένη, διωκομένη. ΑΝ. Ἀνθρωπείου.
572. ΙΣ. Ἐπιθυμεῖ. ΛΑ. Προσηνὲς, γλυκύ.
573. ΘΑΡ. Θάρσους. ΑΜ. Νῦν, συνιτάς.
577. ΔΗ. Δημοτῶν. ΕΙ. Ὁμοτράπεζος, συνευωχητής.
579. ΔΙΑ. Διήλασε δὲ τὸ δόρυ, ὥστε διελθεῖν εἰς τοὔμπροσθεν.
584. ΑΒΥ. Ἐν Ἀβύδῳ. Ἄβυδος δὲ πόλις Τροίας ἐπὶ Ἑλλησπόντου.
588. ΜΑ. Πρέποντας πολεμίῳ τοὺς λόγους περιτίθεικεν ὁ Ποιητὴς, ἐπεί τοι

Νεκρὸν ὑπ' ἐκ Τρώων· σὸν δ' ἔκτανε πιςὸν ἑταῖρον,
'Εθλὸν, ἐνὶ προμάχοισι, Ποδῆν, υἱὸν Ἠετίωνος.' 590
Ὣς φάτο· τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα·
Βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ.
Καὶ τότ' ἄρα Κρονίδης ἕλετ' Αἰγίδα θυσσανόεσσαν,
Μαρμαρέην, Ἴδην δὲ κατὰ νεφέεσσι κάλυψεν·
Ἀςράψας δὲ, μάλα μεγάλ' ἔκτυπε, τὴν δ' ἐτίναξε· 595
Νίκην δὲ Τρώεσσι δίδω, ἐφόβησε δ' Ἀχαιούς.
Πρῶτος Πηνέλεως Βοιώτιος ἦρξε φόβοιο·
Βλῆτο γὰρ ὦμον δεξὶ, πρόσω τετραμμένος αἰεὶ,
Ἄκρον ἐπιλίγδην· γράψεν δέ οἱ ὀςέον ἄχρις
Αἰχμὴ Πελυδάμαντος· ὁ γάρ ῥ' ἔβαλε χεδὸν ἐλθών. 600
Λήϊτον αὖθ' Ἕκτωρ χεδὸν ἔτασε χεῖρ' ἐπὶ καρπῷ,
Υἱὸν Ἀλεκτρυόνος μεγαθύμου, παῦσε δὲ χάρμης·
Τρέσσε δὲ παπτήνας, ἐπεὶ ἐκέτι ἤλπετο θυμῷ
Ἔγχος ἔχων ἐν χειρὶ μαχήσεσθαι Τρώεσσιν.
Ἕκτορα δ' Ἰδομενεὺς μετὰ Λήϊτον ὁρμηθέντα 605
Βεβλήκει θώρηκα κατὰ ςῆθος παρὰ μαζόν·
Ἐν καυλῷ δ' ἐάγη δολιχὸν δόρυ· τοὶ δ' ἐβόησαν
Τρῶες· ὁ δ' Ἰδομενῆος ἀκόντισε Δευκαλίδαο
Δίφρῳ ἐφεςαότος· τοῦ μέν ῥ' ἀπὸ τυτθὸν ἄμαρτεν·
Αὐτὰρ ὁ Μηριόναο ὀπάονά θ', ἡνιοχόν τε, 610
Κοίρανον, ὅς ῥ' ἐκ Λύκτου εὐκτιμένης ἕπετ' αὐτῷ·

οὐκ οἶδε διιλὸν τὸν Μενέλαον· βοὴν γὰρ ἀγαθὸν πανταχοῦ καλεῖ αὐτόν· ὅ ἐςιν ἐν μάχῃ. ΜΑΛ. Ἀνειμένος τῷ σώματι· ἀσθενής.

591. ΝΕ. Πύκνωμα τῆς λύπης, περιφραςικῶς· πολῆθος λύπης.

594. ΜΑΡ. Ἀντὶ τοῦ, λαμπράν.

597. ΦΟ. Φόβου. Φόβος δὲ νῦν, ἡ συνδιωξις.

599. ΕΠΙ. Οὐ κατὰ βάθος, ἀλλ' ὅσον ἐπιψαῦσαι ἐξ ἐπιπολαίου τὴν ἐπιφάνειαν. ΓΡΑ. Ἐπέξεισιν. ΑΧΡΙ. Ἕως τέλους.

601. ΧΕΙΡ. Πρὸς τῇ χειρί.

607. ΚΑΥ. Τὸ ἄκρον τοῦ δόρατος, τὸ ἐμβαλλόμενον τῇ αἰχμῇ· ὅ ἐςι, τῇ ἐπιδορατίδι.

Πεζὸς γὰρ τὰ πρῶτα λιπὼν νέας ἀμφιελίσσας
Ἦλυθε, καί κεν Τρωσὶ μέγα κράτος ἐγγυάλιξεν,
Εἰ μὴ Κοίρανος ὦκα ποδώκεας ἤλασεν ἵππους·
Καὶ τῷ μὲν φάος ἦλθεν, ἄμυνε δὲ νηλεὲς ἦμαρ· 615
Αὐτὸς δ' ὤλεσε θυμὸν ὑφ' Ἕκτορος ἀνδροφόνοιο·
Τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ ἔατος, ἐκ δ' ἄρ' ὀδόντας
Ὤσε δόρυ πρυμνὸν, διὰ δὲ γλῶσσαν τάμε μέσσην·
Ἤριπε δ' ἐξ ὀχέων, κατὰ δ' ἡνία χεῦεν ἔραζε.
Καὶ τάγε Μηριόνης ἔλαβεν χείρεσσι φίλῃσι 620
Κύψας ἐκ πεδίοιο, καὶ Ἰδομενῆα προσηύδα·
Μάστιε νῦν, εἴως κε θοὰς ἐπὶ νῆας ἵκηαι·
Γινώσκεις δὲ καὶ αὐτὸς, ὅτ' ἐκέτι κάρτος Ἀχαιῶν.
Ὣς ἔφατ'· Ἰδομενεὺς δ' ἵμασεν καλλίτριχας ἵππους
Νῆας ἐπι γλαφυράς· δὴ γὰρ δέος ἔμπεσε θυμῷ. 625
Οὐδ' ἔλαθ' Αἴαντα μεγαλήτορα καὶ Μενέλαον
Ζεὺς, ὅτε δὴ Τρώεσσι δίδοι ἐτεραλκέα νίκην.
Τοῖσι δὲ μύθων ἦρχε μέγας Τελαμώνιος Αἴας·
Ὦ πόποι, ἤδη μέν γε καὶ ὃς μάλα νήπιός ἐστι,
Γνοίη, ὅτι Τρώεσσι πατὴρ Ζεὺς κῦδος ὀπάζει. 630
Τῶν μὲν γὰρ πάντων βέλε' ἅπλετα, ὅστις ἀφείη,
Ἢ κακὸς, ἢ ἀγαθός· Ζεὺς δ' ἔμπης πάντ' ἰθύνει·
Ἡμῖν δ' αὖτως πᾶσιν ἐτώσια πίπτει ἔραζε.
Ἀλλ' ἄγετ', αὐτοί περ φραζώμεθα μῆτιν ἀρίστην,
Ἡμὲν ὅπως τὸν νεκρὸν ἐρύσσομεν, ἠδὲ καὶ αὐτοὶ 635
Χάρμα φίλοις ἑτάροισι γενώμεθα νοστήσαντες·
Οἵ πᾶν δεῦρ' ὁρόωντες ἀκηχέδατ', οὐδ' ἔτι φασὶν
Ἕκτορος ἀνδροφόνοιο μένος καὶ χεῖρας ἀάπτους

612. ΠΒ. Ὁ Μηριόνης δηλονότι πεζὸς παρεγίνετο ἀπὸ τῆς ναυσάθμου.
614. ΚΟΙ. Νῦν, ὄνομα κύριον.
621. ΚΥ. Ὡς πεζός.
637. ΑΚΗ. Λυποῦντες.

Σχήσεθ', ἀλλ' ἐν νηυσὶ μελαίνῃσιν πεσέεσθαι.
Εἴη δ' ὅστις ἑταῖρος ἀπαγγείλειε τάχιστα 640
Πηλείδῃ· ἐπεὶ οὔ μιν ὀίομαι ἠδὲ πεπύσθαι
Λυγρῆς ἀγγελίης, ὅτι οἱ φίλος ὤλετ' ἑταῖρος.
Ἀλλ' ἤπη δύναμαι ἰδέειν τοιοῦτον Ἀχαιῶν·
Ἠέρι γὰρ κατέχονται ὁμῶς αὐτοί τε καὶ ἵπποι.
Ζεῦ πάτερ, ἀλλὰ σὺ ῥῦσαι ὑπ' ἠέρος υἷας Ἀχαιῶν, 645
Ποίησον δ' αἴθρην, δὸς δ' ὀφθαλμοῖσιν ἰδέσθαι·
Εἰ δὲ φάει κε ὄλεσσον, ἐπεί νύ τοι εὔαδεν ἔτως.
Ὣς φάτο· τὸν δὲ πατὴρ ὀλοφύρατο δακρυχέοντα·
Αὐτίκα δ' ἠέρα μὲν σκέδασεν, καὶ ἀπῶσεν ὀμίχλην·
Ἠέλιος δ' ἐπέλαμψε, μάχη δ' ἐπὶ πᾶσα φαάνθη. 650
Καὶ τότ' ἄρ' Αἴας εἶπε βοὴν ἀγαθὸν Μενέλαον·
Σκέπτεο νῦν, Μενέλαε διοτρεφές, αὖ κεν ἴδηαι
Ζωὸν ἔτ' Ἀντίλοχον, μεγαθύμου Νέστορος υἱόν·
Ὄτρυνον δ' Ἀχιλῆϊ δαΐφρονι θᾶσσον ἰόντα
Εἰπεῖν, ὅτι ῥά οἱ πολὺ φίλτατος ὤλετ' ἑταῖρος. 655
Ὣς ἔφατ'· οὐδ' ἀπίθησε βοὴν ἀγαθὸς Μενέλαος.
Βῆ δ' ἰέναι, ὥς τίς τε λέων ἀπὸ μεσσαύλοιο,
Ὅς τ' ἐπεὶ ἂρ κεκάμῃσι κύνας τ' ἄνδρας τ' ἐρεθίζων,
Οἵτε μιν οὐκ εἰῶσι βοῶν ἐκ πῖαρ ἑλέσθαι,
Πάννυχοι ἐγρήσσοντες· ὁ δὲ κρειῶν ἐρατίζων 660
Ἰθύει, ἀλλ' ὅτι πρήσσει· θαμέες γὰρ ἄκοντες
Ἀντίοι αἰΐσσουσι θρασειάων ἀπὸ χειρῶν,
Καιόμεναί τε δεταί, τάς τε τρεῖ ἐσσύμενός περ·
Ἠῶθεν δ' ἀπονόσφιν ἔβη τετιηότι θυμῷ·

641. ΠΕ. Ἀκηκοίναι, ἐγνωκέναι.
646. ΑΙ. Αἴθρη, ὁ ἀνέφελος, καὶ εὔδιος αἴθρα.
647. ΦΑ. Φωτί· τὸ αὐτὸ δὲ δηλοῖ τὸ σίλας. ΕΥ. Ἤρεσε.
652. ΣΚΕΠ. Σκέψαι, ἄρα.
659. ΒΟ. Ἐξαρπάσαι τὴν λειαρὸν τάτην τῶν βοῶν.

Ὡς ἀπὸ Πατρόκλοιο βοὴν ἀγαθὸς Μενέλαος 665
Ἤϊε πόλλ' ἀέκων· περὶ γὰρ δίε, μή μιν Ἀχαιοὶ
Ἀργαλέῳ πρὸ φόβοιο ἕλωρ δηΐοισι λίποιεν.
Πολλὰ δὲ Μηριόνῃ τε καὶ Αἰάντεσσι κέλευεν·
Αἴαντ', Ἀργείων ἡγήτορε, Μηριόνη τε,
Νῦν τις ἐνηείης Πατροκλῆος δειλοῖο 670
Μνησάσθω· πᾶσιν γὰρ ἐπίστατο μείλιχος εἶναι
Ζωὸς ἐών· νῦν δ' αὖ θάνατος καὶ μοῖρα κιχάνει.
Ὡς ἄρα φωνήσας ἀπέβη ξανθὸς Μενέλαος,
Πάντοσε παπταίνων, ὥς τ' αἰετὸς, ὅν ῥά τέ φασιν
Ὀξύτατον δέρκεσθαι ὑπουρανίων πετεηνῶν, 675
Ὅν τε, καὶ ὑψόθ' ἐόντα, πόδας ταχὺς ἐκ ἔλαθε πτώξ,
Θάμνῳ ὑπ' ἀμφικόμῳ κατακείμενος· ἀλλά τ' ἐπ' αὐτῷ
Ἔσσυτο, καί τέ μιν ὦκα λαβὼν ἐξείλετο θυμόν·
Ὡς τότε σοι, Μενέλαε διοτρεφὲς, ὄσσε φαεινὼ
Πάντοσε δινέεσθην, πολέων κατὰ ἔθνος ἑταίρων, 680
Εἴ πού Νέστορος υἱὸν ἔτι ζώοντα ἴδοιο.
Τὸν δὲ μάλ' αἶψ' ἐνόησε μάχης ἐπ' ἀριστερὰ πάσης,
Θαρσύνονθ' ἑτάρους, καὶ ἐποτρύνοντα μάχεσθαι·
Ἀγχοῦ δ' ἱστάμενος προσέφη ξανθὸς Μενέλαος·
Ἀντίλοχ', εἶδ' ἄγε δεῦρο, διοτρεφὲς, ὄφρα πύθηαι 685
Λυγρῆς ἀγγελίης, ἣ μὴ ὤφελλε γενέσθαι.

667. ΠΡΟ. Ἀντὶ τοῦ, ὑπὸ φόβου· ἢ περὶ τοῦ ἀναγκαδῆναι φεύγειν. ΕΛΩΡ. Ἔλκυσμα.

670. ΕΝΗ. Πραότητος, προσηνείας. ΔΕΙ. Δειλοῦ, ἀθλίου.

674. ΑΙ. Ὄρνις διορατικὸς καὶ ὀξὺς ἐν τῷ ὁρᾶν, καὶ ἵπταθαι· φησὶ γὰρ Ἀριστοτέλης, ὡς ἴστησιν τοὺς νεοσσοὺς πρὸς τὸν ἥλιον, ἀναγκάζων βλέπειν· καὶ ὁ δυνηθεὶς ὁρᾶν, τοῦ αἰετοῦ ἐστιν υἱός· ὁ δὲ μὴ, ἐκβάλληται, καὶ γίγονεν ἀλιαίετος.

675. ΔΕΡ. Ὁρᾶν, βλέπειν. ΥΠΟΥ. Μεγάλων.

676. ΠΤΩΞ. Λαγωός· ἀπὸ τοῦ πτώσσειν.

677. ΘΑΜ. Συμφύτῳ τόπῳ. ΑΜ. Πανταχόθεν κομώσῃ.

680. ΔΙ. Ἐδινοῦντο· ὅ ἐστι περιστρέφοντο.

Ἤδη μέν σε καὶ αὐτὸν ὀΐομαι εἰσορόωντα
Γινώσκειν, ὅτι πῆμα θεὸς Δαναοῖσι κυλίνδει,
Νίκη δὲ Τρώων· τέθναται δ' ἄριστος Ἀχαιῶν,
Πάτροκλος, μεγάλη δὲ ποθὴ Δαναοῖσι τέτυκται. 690
Ἀλλὰ σύ γ' αἶψ' Ἀχιλῆϊ, θεῶν ἐπὶ νῆας Ἀχαιῶν,
Εἰπεῖν, αἴ κε τάχιστα νέκυν ἐπὶ νῆα σαώσῃ
Γυμνόν· ἀτὰρ τάγε τεύχε' ἔχει κορυθαίολος Ἕκτωρ.
Ὣς ἔφατ'· Ἀντίλοχος δὲ κατέστυγε, μῦθον ἀκούσας·
Δὴν δέ μιν ἀμφασίη ἐπέων λάβε· τὼ δέ οἱ ὄσσε 695
Δακρυόφιν πλῆθεν, θαλερὴ δέ οἱ ἔχετο φωνή.
Ἀλλ' ὅδ' ὡς Μενελάου ἐφημοσύνης ἀμέλησε·
Βῆ δὲ θέειν, τὰ δὲ τεύχε' ἀμύμονι δῶκεν ἑταίρῳ
Λαοδόκῳ, ὅς οἱ ὀχέδον ἔστρεφε μώνυχας ἵππους.
Τὸν μὲν δακρυχέοντα πόδες φέρον ἐκ πολέμοιο, 700
Πηλείδῃ Ἀχιλῆϊ κακὸν ἔπος ἀγγελέοντα.
Οὐδ' ἄρα σοι, Μενέλαε διοτρεφὲς, ἤθελε θυμὸς
Τειρομένοις ἑτάροισιν ἀμυνέμεν, ἔνθεν ἀπῆλθεν
Ἀντίλοχος, μεγάλη δὲ ποθὴ Πυλίοισιν ἐτύχθη·
Ἀλλ' ὅγε τοῖσιν μὲν Θρασυμήδεα δῖον ἀνῆκεν, 705
Αὐτὸς δ' αὖτ' ἐπὶ Πατρόκλῳ ἥρωϊ βεβήκει·
Στῆ δὲ παρ' Αἰάντεσσι θεόν, εἶθαρ δὲ προσηύδα·
Κεῖνον μὲν δὴ νηυσὶν ἐπιπροέηκα θοῇσιν,
Ἐλθεῖν εἰς Ἀχιλῆα πόδας ταχύν· ὅδε μιν οἴω
Νῦν ἱέναι, μάλα περ κεχολωμένον Ἕκτορι δίῳ· 710
Οὐ γάρ πως ἂν γυμνὸς ἐὼν Τρώεσσι μάχοιτο.
Ἡμεῖς δ' αὐτοί περ φραζώμεθα μῆτιν ἀρίστην,

693. ΓΥΜ. Ἄνευ τῶν ὅπλων.
694. ΚΑ. Κατεστυγνασεν, ἰν συγκόπτει καὶ κατηφείᾳ ἐγένετο.
695. ΑΜ. Ἀφωνία, ἀφασία, ἔκπληξις.
696. ΕΣ. Ἐπιχέθη.
697. ΕΦΗ. Ἐντολῆς.
702. ΗΘΕ. Ἠδύνατο.
705. ΑΝΗ. Ἤτοι ἀνέπεισεν, ἢ ἐκβαλὼν ἀφηγεῖσθαι τὴν μάχην.

‘ Ἠμὲν ὅπως τὸν νεκρὸν ἐρύσσομεν, ἠδὲ καὶ αὐτοὶ
‘ Τρώων ἐξ ἐνοπῆς θάνατον καὶ κῆρα φύγωμεν.’
Τὸν δ’ ἠμείβετ’ ἔπειτα μέγας Τελαμώνιος Αἴας· 715
‘ Πάντα κατ’ αἶσαν ἔειπες, ἀγακλεὲς ὦ Μενέλαε·
‘ Ἀλλὰ σὺ μὲν, καὶ Μηριόνης, ὑποδύντε μάλ’ ὦκα,
‘ Νεκρὸν ἀείραντες φέρετ’ ἐκ πόνου· αὐτὰρ ὀπίσσω
‘ Νῶϊ μαχησόμεθα Τρωσίν τε καὶ Ἕκτορι δίῳ,
‘ Ἶσον θυμὸν ἔχοντες, ὁμώνυμοι, οἳ τὸ πάρος περ 720
‘ Μίμνομεν ὀξὺν ἄρηα παρ’ ἀλλήλοισι μένοντες.’
Ὣς ἔφαθ’· οἱ δ’ ἄρα νεκρὸν ἀπὸ χθονὸς ἀγκάζοντο
Ὑψι μάλα μεγάλως· ἐπὶ δ’ ἴαχε λαὸς ὄπισθε
Τρωϊκὸς, ὡς ἔιδοντο νέκυν αἴροντας Ἀχαιοὺς·
Ἴθυσαν δὲ, κύνεσσιν ἐοικότες, οἵτ’ ἐπὶ κάπρῳ 725
Βλημένῳ αἰΐξωσι πρὸ κοῦρων θηρητήρων·
Ἕως μὲν γάρ τε θέουσι, διαῤῥαῖσαι μεμαῶτες,
Ἀλλ’ ὅτε δή ῥ’ ἐν τοῖσιν ἐλίξεται, ἀλκὶ πεποιθὼς,
Ἄψ τ’ ἀνεχώρησαν, διά τ’ ἔτρεσαν ἄλλυδις ἄλλος·
Ὣς Τρῶες, εἴως μὲν ὁμιλαδὸν αἰὲν ἕποντο, 730
Νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν·
Ἀλλ’ ὅτε δή ῥ’ Αἴαντε μετατρεφθέντε κατ’ αὐτοὺς
Στάησαν, τῶν δὲ τρέπετο χρὼς, οὐδέ τις ἔτλη
Πρόσσω αἰΐξας περὶ νεκρῷ δηριάασθαι.
Ὣς οἵγ’ ἐμμεμαῶτε νέκυν φέρον ἐκ πολέμοιο 735
Νῆας ἐπι γλαφυράς· ἐπὶ δὲ πτόλεμος τέτατο σφιν
Ἄγριος, ἠΰτε πῦρ, τό, τ’ ἐπεσσύμενον πόλιν ἀνδρῶν

714. ΕΝΟ. Ἀθρόας μάχης.
716. ΑΓΑ. Λίαν ἔνδοξε.
720. ΙΣ. Ὅμοιον.
722. ΑΓ. Εἰς τὰς ἀγκάλας ἱλάμβανον.
723. ΛΑ. Οἱ πολλοὶ Τρῶες.
726. ΚΟΥ. Πρὸ νέων θηρατῶν.
728. ΕΛΙΞ. Ἐπιστρέφεται.
733. ΤΡΕ. Ἠλλάσσετο ἡ ἰδέα τοῦ προσώπου.
734. ΔΗ. Μάχεσθαι, φιλονεικεῖν.

Ὄρμενον ἐξαίφνης φλεγέθει, μινύθουσι δὲ οἶκοι
Ἐν σέλαϊ μεγάλῳ· τὸ δ' ἐπιβρέμει ἰς ἀνέμοιο·
Ὣς μὲν τοῖς ἵππων τε καὶ ἀνδρῶν αἰχμητάων 740
Ἀζηχὴς ὀρυμαγδὸς ἐπήϊεν ἐρχομένοισιν.
Οἱ δ' ὥθ' ἡμίονοι, κρατερὸν μένος ἀμφιβαλόντες,
Ἕλκωσ' ἐξ ὄρεος κατὰ παιπαλόεσσαν ἀταρπὸν,
Ἢ δοκὸν, ἠὲ δόρυ μέγα νήϊον· ἐν δέ τε θυμὸς
Τείρεθ' ὁμῶς καμάτῳ τε καὶ ἱδρῷ σπευδόντεσσιν· 745
Ὣς οἵγ' ἐμμεμαῶτε νέκυν φέρον· αὐτὰρ ὄπισθεν
Αἴαντ' ἰσχανέτην, ὥστε πρὼν ἰσχάνει ὕδωρ
Ὑλήεις, πεδίοιο διαπρύσιον τετυχηκώς·
Ὅστε καὶ ἰφθίμων ποταμῶν ἀλεγεινὰ ῥέεθρα
Ἴσχει, ἄφαρ δέ τε πᾶσι ῥόον πεδίονδε τίθησι 750
Πλάζων, ὐδέ τί μιν θένεϊ ῥηγνῦσι ῥέοντες·
Ὣς αἰεὶ Αἴαντε μάχην ἀνέεργον ὀπίσσω
Τρώων· οἱ δ' ἅμ' ἕποντο, δύω δ' ἐν τοῖσι μάλιστα,
Αἰνείας τ' Ἀγχισιάδης, καὶ φαίδιμος Ἕκτωρ.
Τῶν δ', ὥστε ψαρῶν νέφος ἔρχεται, ἠὲ κολοιῶν, 755
Οὖλον κεκλήγοντες, ὅτε πρὸ ἑδῶσιν ἰόντα
Κίρκον, ὅ, τε σμικρῇσι φόνον φέρει ὀρνίθεσσιν·

738. ΟΡ. Ὁρμώμενον, διεγειρόμενον. ΦΛΕ. Φλέγει. ΜΙ. Ἐλατῖνται, ἀφθείρονται.

739. ΕΠΙ. Ἐπηχεῖ, ψοφεῖ.

742. ΑΜΦ. Περιβαλόντες καὶ ἀντερείσαντες ἀλλήλοις τὰς ἑαυτῶν δυνάμεις· ὅ ἐστι, συνάψαντες καὶ ἰσώσαντες.

743. ΠΑΙ. Δυσπρόσβατον, τραχεῖαν. ΑΤΑΡ. Ἀντὶ τοῦ, ἄτροπον ὁδόν.

744. ΔΟ. Οὖλον.

747. ΙΣ. Ἐπεῖχον τὴν ὁρμὴν, καὶ ἐπεκώλυον. ΠΡΩΝ. Ὑλώδης τόπος, ἐξοχὴ ὄρους.

748. ΥΛΗ. Ὑλώδης, ξυλώδης. ΔΙΑ. Παρ' ὅλον τὸ πεδίον παρατεταμένως διήκων.

751. ΠΛΑ. Πλανῶν· νῦν δὲ, ἀνακόπτων, καὶ ἀνακρούων.

752. ΑΝΕ. Ἀνέστελλον.

755. ΨΑ. Συναγελαστικὸν δὲ ὁ κολοιὸς καὶ φιλάλληλον· ὡς ἡ παροιμία, αἰεὶ κολοιὸς πρὸς κολοιὸν ἰζάνει· φασὶ δὲ οὕτως φιλαλλήλους εἶναι, ὡς εἴτις ἔλαιον ἀπόθηται, ἀφορῶντας εἰς τὴν σκιὰν καὶ κατιόντας δῆθεν πρὸς τοὺς ἑταίρους ἐλαιοῦσθαι καὶ ἁλίσκεσθαι· εἶδος ὀρνέων. ΝΕ. Νῦν, τὸ πολὺ τῶν ὀρνέων πλῆθος.

756. ΟΥ. Ὀξὺ βοῶντες, ἢ πυκνόν.

757. ΚΙΡ. Εἶδος ἀετοῦ, ὁ λαγόμενος

Ὣς ἄρ' ὑπ' Αἰνείᾳ τε καὶ Ἕκτορι κῦροι Ἀχαιῶν
Οὖλον κεκλήγοντες ἴσαν, λήθοντο δὲ χάρμης.
Πολλὰ δὲ τεύχεα καλὰ πέσον περί τ' ἀμφί τε τάφρον, 760
Φευγόντων Δαναῶν· πολέμου δ' οὐ γίνετ' ἐρωή.

ἱέραξ· ὁ γὰρ αὐτὸς τὰ μεγάλα φονεύει. 761. ΕΡΩ. Ὁρμὴ, δίωξις.
ΣΜΙ. Σμικραῖς· ἡ λέξις Ἰώνων.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΙΛΙΑΔΟΣ Σ.

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

ΑΧΙΛΛΕΥΣ τὸν Πατρόκλου θάνατον ἐπιγνοὺς ὀδύρεται· ἀνελθοῦσα δὲ ἡ Θέτις ἐκ τῆς θαλάσσης, παρηγορεῖ αὐτὸν, καὶ παραινεῖ ἀπέχεσθαι τοῦ πολέμου, ἕως ἂν αὐτῷ ὅπλα κομίσῃ παρὰ τοῦ Ἡφαίστου· κελευσάσης δὲ Ἥρας, ἄοπλος προσελθὼν ἐπὶ τὴν τάφρον, ἐπιφαίνεται τοῖς πολεμίοις, οἳ καὶ αὐτὸν ἐκπλαγέντες φεύγουσι· καὶ κατὰ τὴν φυγὴν πολλοὶ διαφθείρονται· τὸ δὲ τοῦ Πατρόκλου σῶμα διασώσαντες οἱ Μυρμιδόνες λούσιν. Ἥφαιστος δὲ Ἀχιλλεῖ πανοπλίαν κατασκευάζει.

Ὁπλοποιΐα.

Σῖγμα, Θέτις Ἀχιλῆϊ παρ' Ἡφαίστου φέρεν ὅπλα.
Σίγματι, τεύχεα τεῦξε καμὼν Ἥφαιστος Ἀχιλλεῖ.

Ὡς οἱ μὲν μάρναντο δέμας πυρὸς αἰθομένοιο·
Ἀντίλοχος δ' Ἀχιλῆϊ πόδας ταχὺς ἄγγελος ἦλθε.
Τὸν δ' εὗρε προπάροιθε νεῶν ὀρθοκραιράων,
Τὰ φρονέοντ' ἀνὰ θυμὸν, ἃ δὴ τετελεσμένα ἦεν·
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν· 5
Ὤ μοι ἐγὼ, τί τ' ἄρ' αὖτε κεκηκομόωντες Ἀχαιοὶ
Νηυσὶν ἔπι κλονέονται, ἀτυζόμενοι πεδίοιο;

1. ΩΣ. Οὕτως μὲν δὴ ὅτοι ἰμάχοντο δίκην θερμῷ πυρός.
3. ΟΡ. Ὀρθὰς κεραίας ἐχουσῶν, ὀρθοτρόμων· καλεῖται δ κεραία τὸ ἐπάνω τοῦ ἱστοῦ διεδιμένον πλάγιον ξύλον, οὗ ἐξάπτεται ἡ ὀθόνη.
5. ΟΧ. Στενάξας.
7. ΑΤΥ. Φοβούμενοι.

‘ Μὴ δή μοι τελέσωσι θεοὶ κακὰ κήδεα θυμῷ,
‘ Ὡς ποτέ μοι μήτηρ διεπέφραδε, καί μοι ἔειπε,
‘ Μυρμιδόνων τὸν ἄριστον, ἔτι ζώοντος ἐμεῖο, 10
‘ Χερσὶν ὕπο Τρώων λείψειν φάος ἠελίοιο.
‘ Ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός·
‘ Σχέτλιος· ἦτ' ἐκέλευον, ἀπωσάμενον δηΐον πῦρ,
‘ Ἂψ ἐπὶ νῆας ἴμεν, μηδ' Ἕκτορι ἶφι μάχεσθαι.’
Ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν, 15
Τόφρα οἱ ἐγγύθεν ἦλθεν ἀγαυοῦ Νέστορος υἱὸς,
Δάκρυα θερμὰ χέων, φάτο δ' ἀγγελίην ἀλεγεινήν·
‘ Ὦ μοι, Πηλέος υἱὲ δαΐφρονος, ἦ μάλα λυγρῆς
‘ Πεύσεαι ἀγγελίης, ἣ μὴ ὤφελλε γενέσθαι.
‘ Κεῖται Πάτροκλος· νέκυος δὲ δὴ ἀμφιμάχονται 20
‘ Γυμνοῦ· ἀτὰρ τάγε τεύχε' ἔχει κορυθαίολος Ἕκτωρ.’
Ὣς φάτο· τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα·
Ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν,
Χεύατο κακκεφαλῆς, χαρίεν δ' ἤχυνε πρόσωπον·
Νεκταρέῳ δὲ χιτῶνι μέλαιν' ἀμφίζανε τέφρη. 25
Αὐτὸς δ' ἐν κονίῃσι μέγας μεγαλωστὶ τανυσθεὶς

9. ΔΙΕ. Διεσάφησεν. ΕΕΙ. Ἐζήτηται δὲ, πῶς οὐκ ἔστιν Αὐτομέδων μηνυτὴς τῆς τοῦ Πατρόκλου ἀναιρέσεως, ἀλλ' Ἀντίλοχος, καὶ διατὶ γυμνὸς τρέχει· ῥητέον οὖν, ὅτι Αὐτομέδοντα μὲν αἰσχρὸν ἦν μετὰ τῶν ἵππων ἔρχεσθαι πρὸς Ἀχιλλέα ἄπρακτον, τῶν ἄλλων ἀγωνιζομένων περὶ τοῦ σώματος. Ἀντίλοχος δὲ ταχύτατος ὢν τῶν ἄλλων προεκρίθη· καὶ γυμνὸς ἄπεισι, μετὰ τῶν ὅπλων τὰς συμφορὰς ἐκπομπεύειν παραιτούμενος· ἢ διὰ τὸ μὴ βαρούμενον τοῖς ὅπλοις χρονίσαι τῇ ὁδῷ.

10. ΜΥΡ. Ἄκτωρ γένει μὲν ἦν Λοκρός· γήμας δὲ Αἴγιναν, τὴν Ἀσωποῦ τοῦ Θηβαίου ποταμοῦ θυγατέρα, μετὰ τὴν Διὸς μίξιν, καὶ καταμείνας ἐν Οἰνώνῃ, ἐγέννησε Μενοίτιον· ὃς ἀκηλθὼν ἐπὶ τὴν πατρῴαν Οπῦντα, Πάτροκλον ἐγέννησεν· ὃν εἰκότως Μυρμιδόνα εἶπε, διὰ τὸ γεννηθῆναι τὸν πατέρα αὐτοῦ ἐν Αἰγίνῃ.

12. ΜΑ. Ἀκριβῶς δή.

13. ΣΧΕΤ. Ἀντὶ τοῦ, σχετλιασμοῦ ἄξιος καὶ ἀγνώμων· ὡς πρὸς ἑαυτὸν δέ.

19. ΠΕΥ. Ἀκούσοις, μάθοις.

20. ΚΕΙ. Νῦν, ἀντὶ τοῦ ἀνῄρηται, τέθνηκεν.

22. ΑΧΕ. Πλῆθος λύπης· ὅ ἐστι, πολλὴ λύπη.

23. ΚΟ. Τὴν κόνιν, τὴν σποδόν· παρὰ τὸ ἐκκεκαῦσθαι.

25. ΝΕΚ. Θείῳ, καθαρῷ. ΑΜ. Περιεκάθητο.

26. ΜΕ. Πολὺν τόπον κρατῶν.

Κεῖτο, φίλῃσι δὲ χερσὶ κόμην ἤχυνε δαΐζων.
Δμωαὶ δ', ἃς Ἀχιλεὺς λῃΐσσατο, Πάτροκλός τε,
Θυμὸν ἀκηχέμεναι μεγάλ' ἴαχον, ἐκ δὲ θύραζε
Ἕδραμον ἀμφ' Ἀχιλῆα δαΐφρονα· χερσὶ δὲ πᾶσαι
Στήθεα πεπλήγοντο, λύθεν δ' ὑπὸ γυῖα ἑκάστης.
Ἀντίλοχος δ' ἑτέρωθεν ὀδύρετο, δάκρυα λείβων,
Χεῖρας ἔχων Ἀχιλῆος· ὁ δ' ἔστενε κυδάλιμον κῆρ·
Δείδιε γὰρ μὴ λαιμὸν ἀποτμήξειε σιδήρῳ.
Σμερδαλέον δ' ὤμωξεν· ἄκουσε δὲ πότνια μήτηρ,
Ἡμένη ἐν βένθεσσιν ἁλὸς παρὰ πατρὶ γέροντι,
Κώκυσέν τ' ἄρ' ἔπειτα· θεαὶ δέ μιν ἀμφαγέροντο
Πᾶσαι, ὅσαι κατὰ βένθος ἁλὸς Νηρηΐδες ἦσαν.
Ἔνθ' ἄρ' ἔην Γλαύκη τε, Θάλειά τε, Κυμοδόκη τε,
Νησαίη, Σπειώ τε, Θόη θ', Ἁλίη τε βοῶπις,
Κυμοθόη τε, καὶ Ἀκταίη, καὶ Λιμνώρεια,
Καὶ Μελίτη, καὶ Ἴαιρα, καὶ Ἀμφιθόη, καὶ Ἀγαυή,
Δωτώ τε, Πρωτώ τε, Φέρουσά τε, Δυναμένη τε,
Δεξαμένη τε, καὶ Ἀμφινόμη, καὶ Καλλιάνειρα,
Δωρὶς, καὶ Πανόπη, καὶ ἀγακλειτὴ Γαλάτεια,
Νημερτής τε, καὶ Ἀψευδὴς, καὶ Καλλιάνασσα·
Ἔνθα δὲ ἦν Κλυμένη, Ἰάνειρά τε, καὶ Ἰάνασσα,
Μαῖρα, καὶ Ὠρείθυια, εὔπλοκαμός τ' Ἀμάθεια·
Ἄλλαι θ', αἳ κατὰ βένθος ἁλὸς Νηρηΐδες ἦσαν.
Τῶν δὲ καὶ ἀργύφεον πλῆτο σπέος· αἱ δ' ἅμα πᾶσαι
Στήθεα πεπλήγοντο· Θέτις δ' ἐξῆρχε γόοιο·

27. ΗΣ. Καθύβρισε. ΔΑΙ. Διακόπτων, σπαράσσων.
28. ΛΗΙ. Ἐκ λαφύρων ἐκτήσατο.
29. ΑΚΗ. Λυπούμεναι.
31. ΠΕ. Ἔπλησσον.
33. ΚΥ. Ἔνδοξον.
34. ΑΠΟΤ. Ἀποτίμοι.
37. ΚΩ. Ἀνέκλαυσεν. ΑΜ. Περὶ αὐτὴν ἠθροίζοντο.
48. ΕΥ. Εὔκοσμος, καλή.
50. ΑΡ. Μέγα, ἢ λαμπρόν. ΠΛΗ. Ἐπληρῶτο.

‘ Κλῦτε, κασίγνηται Νηρηΐδες, ὄφρ᾽ εὖ πᾶσαι
‘ Εἴδετ᾽ ἀκούουσαι, ὅσ᾽ ἐμῷ ἔνι κήδεα θυμῷ.
‘ Ὤ μοι ἐγὼ δειλὴ, ὦ μοι δυσαριστότοκεια,
‘ Ἣ τ᾽ ἐπεὶ ἄρ τέκεν υἱὸν ἀμύμονά τε, κρατερόν τε, 55
‘ Ἔξοχον ἡρώων, ὁ δ᾽ ἀνέδραμεν ἔρνεϊ ἶσος,
‘ Τὸν μὲν ἐγὼ θρέψασα, φυτὸν ὡς γουνῷ ἀλωῆς,
‘ Νηυσὶν ἐπιπροέηκα κορωνίσιν Ἴλιον εἴσω,
‘ Τρωσὶ μαχησόμενον· τὸν δ᾽ οὐχ ὑποδέξομαι αὖτις
‘ Οἴκαδε νοστήσαντα, δόμον Πηλήϊον εἴσω. 60
‘ Ὄφρα δέ μοι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
‘ Ἀχνυται, οὐδέ τί οἱ δύναμαι χραισμῆσαι ἰοῦσα.
‘ Ἀλλ᾽ εἶμ᾽, ὄφρα ἴδω τε φίλον τέκος, ἠδ᾽ ἐπακούσω,
‘ Ὅ, τι μιν ἵκετο πένθος, ἀπὸ πολέμοιο μένοντα.’
Ὣς ἄρα φωνήσασα λίπε σπέος· αἱ δὲ σὺν αὐτῇ 65
Δακρυόεσσαι ἴσαν, περὶ δέ σφισι κῦμα θαλάσσης
Ῥήγνυτο. Ταὶ δ᾽ ὅτε δὴ Τροίην ἐρίβωλον ἵκοντο,
Ἀκτὴν εἰσανέβαινον ἐπιχερώ, ἔνθα θαμειαὶ
Μυρμιδόνων εἴρυντο νέες ταχὺν ἀμφ᾽ Ἀχιλῆα.
Τῷ δὲ βαρυστενάχοντι παρίστατο πότνια μήτηρ, 70
Ὀξὺ δὲ κωκύσασα κάρη λάβε παιδὸς ἑοῖο·
Καί ῥ᾽ ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
‘ Τέκνον, τί κλαίεις; τί δέ σε φρένας ἵκετο πένθος;
‘ Ἐξαύδα, μὴ κεῦθε· τὰ μὲν δή τοι τετέλεσται
‘ Ἐκ Διὸς, ὡς ἄρα δὴ πρίν γ᾽ εὔχεο, χεῖρας ἀνασχών, 75
‘ Πάντας ἐπὶ πρύμνησιν ἀλήμεναι υἷας Ἀχαιῶν,

53. ΕΙ. Ἀντὶ τοῦ, εἴδητε, ἢ γνώσεσθε.
54. ΔΥ. Ἐπὶ κακῷ τὸν ἄριστον τετοκυῖα.
56. ΑΝΕ. Ἠξήθη. ΕΡ. Φυτῷ.
57. ΓΟΥ. Ἐν τῷ γονιμωτάτῳ τόπῳ τῆς γῆς.
64. ΑΠΟ. Χωρὶς ὄντα τοῦ πολέμου.
66. ΠΕ. Περιεῤῥήγνυτο ᾗ αὐταῖς τὰ τῆς θαλάσσης κύματα.
68. ΑΚ. Παραθαλάσσιον τόπον, αἰγιαλόν. ΕΠΙΣ. Ἐφεξῆς.
76. ΑΛΗ. Συναθροισθῆναι, συγκλεισθῆναι.

'Σεῦ ἐπιδευομένους, παθέειν τ' ἀεκήλια ἔργα.'
Τὴν δὲ βαρυστενάχων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
'Μῆτερ ἐμή, τὰ μὲν ἄρ μοι Ὀλύμπιος ἐξετέλεσσεν·
'Ἀλλὰ τί μοι τῶν ἦδος, ἐπεὶ φίλος ὤλεθ' ἑταῖρος 80
'Πάτροκλος; τὸν ἐγὼ περὶ πάντων τῖον ἑταίρων,
'Ἴσον ἐμῇ κεφαλῇ, τὸν ἀπώλεσα· τεύχεα δ' Ἕκτωρ
'Δηώσας ἀπέδυσε πελώρια, θαῦμα ἰδέσθαι,
'Καλά· τὰ μὲν Πηλῆϊ θεοὶ δόσαν, ἀγλαὰ δῶρα,
'Ἤματι τῷ, ὅτε σε βροτῷ ἀνέρος ἔμβαλον εὐνῇ. 85
'Ὡς ὄφελες σὺ μὲν αὖθι μετ' ἀθανάτῃς ἁλίῃσι
'Ναίειν, Πηλεὺς δὲ θνητὴν ἀγαγέσθαι ἄκοιτιν.
'Νῦν δ' ἵνα κ' σοὶ πένθος ἐνὶ φρεσὶ μυρίον εἴη,
'Παιδὸς ἀποφθιμένοιο, τὸν οὐχ ὑποδέξεαι αὖτις
'Οἴκαδε νοστήσαντ'· ἐπεὶ ἤδη ἐμὲ θυμὸς ἄνωγε 90
'Ζώειν, ἠδ' ἄνδρεσσι μετέμμεναι, αἴ κε μὴ Ἕκτωρ
'Πρῶτος ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσῃ,
'Πατρόκλοιο δ' ἕλωρα Μενοιτιάδεω ἀποτίσῃ.'
Τὸν δ' αὖτε προσέειπε Θέτις κατὰ δάκρυ χέουσα·
'Ὠκύμορος δή μοι, τέκος, ἔσσεαι, οἷ' ἀγορεύεις· 95
'Αὐτίκα γάρ τοι ἔπειτα μετ' Ἕκτορα πότμος ἑτοῖμος.'
Τὴν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
'Αὐτίκα τεθναίην, ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἑταίρῳ
'Κτεινομένῳ ἐπαμῦναι· ὁ μὲν μάλα τηλόθι πάτρης
'Ἔφθιτ'· ἐμεῖο δὲ δῆσεν ἀρῆς ἀλκτῆρα γενέσθαι. 100

77. ΕΠΙ. Προσδεομένους, χρήζοντας. ΑΕΚ. Δεινά· ἢ τὰ μὴ ἡσυχίας ἄξια, παρεχώδη.
80. ΗΔ. Ἡδονή, ὠφέλεια, ὄφελος.
82. ΙΣ. Ἐπίσης ἐμαυτῷ.
86. ΑΛΙ. Ταῖς παραθαλασσίαις Νηρηΐσιν.
92. ΤΥ. Πεσὼν, πληγείς.
93. ΠΑ. Τιμωρίαν δὲ παράσχῃ ἀξίαν ὑπὲρ τῆς Πατροκλου ἀναιρέσεως.
100. ΔΗ. Ἐπιπόδισιν. ΑΙΗΣ. Βλάβης καὶ κακώσεως ἀποτριπτικόν· ὅ ἐστι, κωλυτὴν καὶ βοηθόν· οἱ δὲ, Ἄρεος ἀλκτῆρα, ἀποτριπτικὸν πολέμου. Παρμενίσκος μὲν οὖν βαρυτόνως, τὸ ἔδησεν ἀποδιδόασιν οὕτως· ὁ δὲ πόλεμος τὴν ἐμὴν ἀφιλόμαχον

‘ Κλῦτε, κασίγνηται Νηρηΐδες, ὄφρ᾽ εὖ πᾶσαι
‘ Εἴδετ᾽ ἀκούσαι, ὅσ᾽ ἐμῷ ἔνι κήδεα θυμῷ.
‘ Ὦ μοι ἐγὼ δειλή, ὦ μοι δυσαριστότοκεια,
‘ Ἣ τ᾽ ἐπεὶ ἄρ τέκον υἱὸν ἀμύμονά τε, κρατερόν τε, 55
‘ Ἔξοχον ἡρώων, ὁ δ᾽ ἀνέδραμεν ἔρνεϊ ἶσος,
‘ Τὸν μὲν ἐγὼ θρέψασα, φυτὸν ὡς γουνῷ ἀλωῆς,
‘ Νηυσὶν ἐπιπροέηκα κορωνίσιν Ἴλιον εἴσω,
‘ Τρωσὶ μαχησόμενον· τὸν δ᾽ οὐχ ὑποδέξομαι αὖτις
‘ Οἴκαδε νοστήσαντα, δόμον Πηλήϊον εἴσω. 60
‘ Ὄφρα δέ μοι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
‘ Ἄχνυται, οὐδέ τί οἱ δύναμαι χραισμῆσαι ἰοῦσα.
‘ Ἀλλ᾽ εἶμ᾽, ὄφρα ἴδω τε φίλον τέκος, ἠδ᾽ ἐπακούσω,
‘ Ὅ, τι μιν ἵκετο πένθος, ἀπὸ πολέμοιο μένοντα.’
Ὣς ἄρα φωνήσασα λίπε σπέος· αἱ δὲ σὺν αὐτῇ 65
Δακρυόεσσαι ἴσαν, περὶ δέ σφισι κῦμα θαλάσσης
Ῥήγνυτο. Ταὶ δ᾽ ὅτε δὴ Τροίην ἐρίβωλον ἵκοντο,
Ἀκτὴν εἰσανέβαινον ἐπιχερώ, ἔνθα θαμειαὶ
Μυρμιδόνων εἴρυντο νέες ταχὺν ἀμφ᾽ Ἀχιλῆα.
Τῷ δὲ βαρυστενάχοντι παρίστατο πότνια μήτηρ, 70
Ὀξὺ δὲ κωκύσασα κάρη λάβε παιδὸς ἑοῖο·
Καί ῥ᾽ ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
‘ Τέκνον, τί κλαίεις; τί δέ σε φρένας ἵκετο πένθος;
‘ Ἐξαύδα, μὴ κεῦθε· τὰ μὲν δή τοι τετέλεσται
‘ Ἐκ Διὸς, ὡς ἄρα δὴ πρίν γ᾽ εὔχεο, χεῖρας ἀνασχών, 75
‘ Πάντας ἐπὶ πρύμνησιν ἀλήμεναι υἷας Ἀχαιῶν,

53. ΕΙ. Ἀντὶ τοῦ, εἴδητε, ἢ γνώσεσθε.
54. ΔΥ. Ἐπὶ κακῷ τὸν ἄριστον τετοκυῖα.
56. ΑΝΕ. Ἠύξήθη. ΕΡ. Φυτῷ.
57. ΓΟΥ. Ἐν τῷ γονιμωτάτῳ τόπῳ τῆς γῆς.
64. ΑΠΟ. Χωρὶς ὄντα τοῦ πολέμου.
66. ΠΕ. Περιερρήγνυτο ὑ αὐταῖς τὰ τῆς θαλάσσης κύματα.
68. ΑΚ. Παραθαλάσσιοι τόποι, αἰγιαλόν. ΕΠΙΣ. Ἐφεξῆς.
76. ΑΛΗ. Συναθροισθῆναι, συγκλεισθῆναι.

'Σεῦ ἐπιδευομένους, παθέειν τ' ἀεκήλια ἔργα.'
Τὴν δὲ βαρυστενάχων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
'Μῆτερ ἐμή, τὰ μὲν ἄρ μοι Ὀλύμπιος ἐξετέλεσσεν·
'Ἀλλὰ τί μοι τῶν ἦδος, ἐπεὶ φίλος ὤλεθ' ἑταῖρος 80
'Πάτροκλος; τὸν ἐγὼ περὶ πάντων τῖον ἑταίρων,
'Ἴσον ἐμῇ κεφαλῇ, τὸν ἀπώλεσα· τεύχεα δ' Ἕκτωρ
'Δηώσας ἀπέδυσε πελώρια, θαῦμα ἰδέσθαι,
'Καλά· τὰ μὲν Πηλῆϊ θεοὶ δόσαν, ἀγλαὰ δῶρα,
'Ἤματι τῷ, ὅτε σε βροτῷ ἀνέρος ἔμβαλον εὐνῇ. 85
'Ὡς ὄφελες σὺ μὲν αὖθι μετ' ἀθανάτῃς ἁλίῃσι
'Ναίειν, Πηλεὺς δὲ θνητὴν ἀγαγέσθαι ἄκοιτιν.
'Νῦν δ' ἵνα κ' σοὶ πένθος ἐνὶ φρεσὶ μυρίον εἴη,
'Παιδὸς ἀποφθιμένοιο, τὸν οὐχ ὑποδέξεαι αὖτις
'Οἴκαδε νοστήσαντ'· ἐπεὶ ἤδη ἐμὲ θυμὸς ἄνωγε 90
'Ζώειν, ἠδ' ἄνδρεσσι μετέμμεναι, αἴ κε μὴ Ἕκτωρ
'Πρῶτος ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσῃ,
'Πατρόκλοιο δ' ἕλωρα Μενοιτιάδεω ἀποτίσῃ.'
Τὸν δ' αὖτε προσέειπε Θέτις κατὰ δάκρυ χέουσα·
'Ὠκύμορος δή μοι, τέκος, ἔσσεαι, οἷ' ἀγορεύεις· 95
'Αὐτίκα γάρ τοι ἔπειτα μετ' Ἕκτορα πότμος ἑτοῖμος.'
Τὴν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
'Αὐτίκα τεθναίην, ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἑταίρῳ
'Κτεινομένῳ ἐπαμῦναι· ὁ μὲν μάλα τηλόθι πάτρης
'Ἔφθιτ'· ἐμεῖο δὲ δῆσεν ἀρῆς ἀλκτῆρα γενέσθαι. 100

77. ΕΠΙ. Προσδευομένους, χρήζοντας. ΑΕΚ. Δεινά· ἢ τὰ μὴ ἡσυχίας ἄξια, παρεχώδη.
80. ΗΔ. Ἡδονή, ὠφέλεια, ὤφελος.
82. ΙΣ. Ἐπίσης ἐμαυτῷ.
86. ΑΛΙ. Ταῖς παραθαλασσίαις Νηρηΐσιν.
92. ΤΥ. Πεσὼν, πληγείς.
93. ΠΑ. Τιμωρίαν δὲ παράσχῃ ἀξίαν ὑπὲρ τῆς Πατροκλου ἀναιρέσεως.
100. ΔΗ. Ἐπιπόδισιν. ΑΙΗΣ. Βλάβης καὶ κακώσεως ἀποτρεπτικόν· ὅ ἐστι, κωλυτὴν καὶ βοηθόν· οἱ δὲ, Ἄρεος ἀλκτῆρα, ἀποτρεπτικὸν πολέμου. Παρμενίσκος μὲν οὖν βαρυτόνως, τὸ ἔδησεν ἀποδιδόασιν οὕτως· ὁ δὲ πόλεμος τὴν ἐμὴν ὠφελήσειος

‘ Νῦν δ᾽ ἐπεὶ οὐ νέομαί γε φίλην ἐς πατρίδα γαῖαν,
‘ Οὐδέ τι Πατρόκλῳ γενόμην φάος, ἠδ᾽ ἑτάροισι
‘ Τοῖς ἄλλοις, οἳ δὴ πολέες δάμεν Ἕκτορι δίῳ·
‘ Ἀλλ᾽ ἧμαι παρὰ νηυσὶν ἐτώσιον ἄχθος ἀρούρης,
‘ Τοῖος ἐών, οἷος ὄτις Ἀχαιῶν χαλκοχιτώνων 105
‘ Ἐν πολέμῳ· ἀγορῇ δέ τ᾽ ἀμείνονές εἰσι καὶ ἄλλοι·
‘ Ὡς ἔρις ἔκ τε θεῶν, ἔκ τ᾽ ἀνθρώπων ἀπόλοιτο,
‘ Καὶ χόλος, ὅς τ᾽ ἐφέηκε πολύφρονά περ χαλεπῆναι·
‘ Ὅς τε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο
‘ Ἀνδρῶν ἐν στήθεσσιν ἀέξεται, ἠΰτε καπνός· 110
‘ Ὡς ἐμὲ νῦν ἐχόλωσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
‘ Ἀλλὰ τὰ μὲν πρότετύχθαι ἐάσομεν, ἀχνύμενοί περ,
‘ Θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκῃ.
‘ Νῦν δ᾽ εἶμ᾽, ὄφρα φίλης κεφαλῆς ὀλετῆρα κιχείω
‘ Ἕκτορα· κῆρα δ᾽ ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ 115
‘ Ζεὺς ἐθέλῃ τελέσαι, ἠδ᾽ ἀθάνατοι θεοὶ ἄλλοι.
‘ Οὐδὲ γὰρ ἠδὲ βίη Ἡρακλῆος φύγε κῆρα,
‘ Ὅσπερ φίλτατος ἔσκε Διὶ Κρονίωνι ἄνακτι.
‘ Ἀλλά ἑ μοῖρα δάμασσε καὶ ἀργαλέος χόλος Ἥρης.
‘ Ὡς καὶ ἐγών, εἰ δή μοι ὁμοίη μοῖρα τέτυκται, 120
‘ Κείσομαι, ἐπεί κε θάνω· νῦν δὲ κλέος ἐσθλὸν ἀροίμην,
‘ Καί τινα Τρωϊάδων καὶ Δαρδανίδων βαθυκόλπων,
‘ Ἀμφοτέρῃσιν χερσὶ παρειάων ἁπαλάων
‘ Δάκρυ᾽ ὀμορξαμένην, ἀδινὸν στοναχήσαι ἐφείην·

παυοπλίαν, ἔδησεν ἐμοῦ τὴν ἔξοδον, ὥστε ἀλκτῆρα μὴ γενέσθαι Πατρόκλου, ὅπερ ἐστὶ, βοηθόν. Πτολεμαῖος δὲ ὁ Ἀσκαλωνίτης περισσὸν τὸ ἔδησε φησίν.

101. ΝΕ. Οὐ παραγενήσομαι, οὐχ ὑποστρέψω.

104. ΕΤΩ. Μάταιον βάρος τῆς γῆς.

108. ΕΦΕ. Παρώξυνε, παρώρμησε.

ΠΟ. Τὸν πάνυ σώφρονα, καὶ συνετόν.

109. ΚΑ. Καταχεομένου, γάζοντος.

111. ΕΧΟ. Εἰς ὀργὴν ἤγαγε.

112. ΠΡΟ. Προγεγονέναι συμβάλλα.

114. ΦΙ. Προσφιλεστάτης κεφαλῆς.

124. ΟΜΟΡ. Ἀποψησαμένην. ΑΔΙ. Ἐλεεινὸν, οἰκτρόν. ΣΤΟ. Στενάξαι. ΕΦΕΙ. Ἀναγκάσαιμι.

‘ Γνοῖεν δ᾽, ὡς δὴ δηρὸν ἐγὼ πολέμοιο πέπαυμαι. 125
‘ Μὴ δέ μ᾽ ἔρυκε μάχης, φιλέουσά περ· οὐδέ με πείσεις.’
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπεια θεὰ Θέτις ἀργυρόπεζα·
‘ Ναὶ δὴ τοῦτό γε, τέκνον, ἐτήτυμον· οὐ κακόν ἐστι
‘ Τειρομένοις ἑτάροισιν ἀμυνέμεν αἰπὺν ὄλεθρον·
‘ Ἀλλά τοι ἔντεα καλὰ μετὰ Τρώεσσιν ἔχονται, 130
‘ Χάλκεα, μαρμαίροντα· τὰ μὲν κορυθαίολος Ἕκτωρ
‘ Αὐτὸς ἔχων ὤμοισιν ἀγάλλεται· οὐδέ ἔ φημι
‘ Δηρὸν ἐπαγλαϊεῖσθαι, ἐπεὶ φόνος ἐγγύθεν αὐτῷ.
‘ Ἀλλὰ σὺ μὲν μήπω καταδύσεο μῶλον Ἄρηος,
‘ Πρίν γ᾽ ἐμὲ δεῦρ᾽ ἐλθοῦσαν ἐν ὀφθαλμοῖσιν ἴδηαι. 135
‘ Ἠῶθεν γὰρ νεῦμαι, ἅμ᾽ ἠελίῳ ἀνιόντι,
‘ Τεύχεα καλὰ φέρουσα παρ᾽ Ἡφαίστοιο ἄνακτος.’
Ὣς ἄρα φωνήσασα πάλιν τράπετ᾽ υἷος ἑοῖο·
Καὶ τρεφθεῖσ᾽, ἁλίῃσι κασιγνήτῃσι μετηύδα·
‘ Ὑμεῖς μὲν νῦν δῦτε θαλάσσης εὐρέα κόλπον, 140
‘ Ὀψόμεναί τε γέρονθ᾽ ἅλιον καὶ δώματα πατρὸς,
‘ Καί οἱ πάντ᾽ ἀγορεύσατ᾽· ἐγὼ δ᾽ ἐς μακρὸν Ὄλυμπον
‘ Εἶμι παρ᾽ Ἡφαιστον κλυτοτέχνην, αἴ κ᾽ ἐθέλῃσιν
‘ Υἱεῖ ἐμῷ δόμεναι κλυτὰ τεύχεα παμφανόωντα.’
Ὣς ἔφαθ᾽· αἱ δ᾽ ὑπὸ κῦμα θαλάσσης αὐτίκ᾽ ἔδυσαν. 145
Ἡ δ᾽ αὖτ᾽ Οὐλυμπόνδε θεὰ Θέτις ἀργυρόπεζα
Ἤιεν, ὄφρα φίλῳ παιδὶ κλυτὰ τεύχε᾽ ἐνείκοι.
Τὴν μὲν ἄρ᾽ Οὐλυμπόνδε πόδες φέρον· αὐτὰρ Ἀχαιοὶ
Θεσπεσίῳ ἀλαλητῷ ὑφ᾽ Ἕκτορος ἀνδροφόνοιο
Φεύγοντες, νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο. 150
Οὐδέ κε Πάτροκλόν περ ἐϋκνήμιδες Ἀχαιοὶ

132. ΑΓΑΛ. Χαίρει.
133. ΕΠΑ. Ἀγαλλιᾶσθαι, γαυριᾶν.
134. ΜΩ. Τὸν μολυσμὸν τ᾽ μάχης.
136. ΗΩ. Ἕωθεν, ὄρθρου, πρὸ δ᾽ τὸν ἥλιον ἀνατεῖλαι.

Ἐκ βελέων ἐρύσαντο νέκυν, θεράποντ' Ἀχιλῆος·
Αὖτις γὰρ δὴ τόνγε κίχον λαός τε καὶ ἵπποι,
Ἕκτωρ τε, Πριάμοιο πάϊς, φλογὶ εἴκελος ἀλκήν.
Τρὶς μέν μιν μετόπισθε ποδῶν λάβε φαίδιμος Ἕκτωρ, 155
Ἑλκέμεναι μεμαώς, μέγα δὲ Τρώεσσιν ὁμόκλα·
Τρὶς δὲ δύ' Αἴαντες, θοῦριν ἐπιειμένοι ἀλκήν,
Νεκρῷ ἀπεσυφέλιξαν· ὁ δ' ἔμπεδον ἀλκὶ πεποιθὼς,
Ἄλλοτ' ἐπαΐξασκε κατὰ μόθον, ἄλλοτε δ' αὖτε
Στάσκε μέγα ἰάχων· ὀπίσω δ' οὐ χάζετο πάμπαν. 160
Ὡς δ' ἀπὸ σώματος ἔτι λέοντ' αἴθωνα δύναται
Ποιμένες ἄγραυλοι μέγα πεινάοντα διέσθαι·
Ὡς ῥα τὸν οὐκ ἐδύναντο δύω Αἴαντε κορυστὰ
Ἕκτορα Πριαμίδην ἀπὸ νεκρῷ δειδίξασθαι.
Καί νύ κεν εἴρυσσέν τε, καὶ ἄσπετον ἤρατο κῦδος, 165
Εἰ μὴ Πηλέωνι ποδήνεμος ὠκέα Ἶρις
Ἄγγελος ἦλθε θέουσ' ἀπ' Ὀλύμπου θωρήσσεσθαι,
Κρύβδα Διὸς, ἄλλων τε θεῶν· πρὸ γὰρ ἦκέ μιν Ἥρη·
Ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·
Ὄρσεο, Πηλεΐδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν· 170
Πατρόκλῳ ἐπάμυνον, οὗ εἵνεκα φύλοπις αἰνὴ
Ἕστηκε πρὸ νεῶν· οἱ δ' ἀλλήλους ὀλέκουσιν,
Οἱ μὲν, ἀμυνόμενοι νέκυος πέρι τεθνειῶτος,
Οἱ δὲ ἐρύσσασθαι ποτὶ Ἴλιον ἠνεμόεσσαν
Τρῶες ἐπιθύουσι· μάλιστα δὲ φαίδιμος Ἕκτωρ 175
Ἑλκέμεναι μέμονεν· κεφαλὴν δέ ἑ θυμὸς ἀνώγει

156. ΟΜΟ. Ἠπείλει, παρικελεύετο.
158. ΑΠΕ. Ἀπεκίνησαν, διέσεισαν.
161. ΣΩ. Ἀπό τινος ζῶν· νεκρὸ γάρ φασι μὴ ἅπτεσθαι λέοντα. ΑΙΘΩ. Διάπυρον, θερμόν.
162. ΔΙ. Διῶξαι.
168. ΚΡΥΒ. Λαθραίως.
170. ΟΡ. Διεγείρε.
174. ΕΡΥ. Ἑλκύσαι.
175. ΕΠΙ. Ἐπ' εὐθείας ὁρμῶσι.

‘ Πῆξαι ἀνὰ σκολόπεσσι, ταμόνθ' ἁπαλῆς ἀπὸ δειρῆς.
‘ Ἀλλ' ἄνα, μηδ' ἔτι κεῖσο· σέβας δέ σε θυμὸν ἰκέσθω,
‘ Πάτροκλον Τρωῇσι κυσὶν μέλπηθρα γενέσθαι·
‘ Σοὶ λώβη, αἴ κέν τι νέκυς ἠρχυμμένος ἔλθῃ.’ 180
Τὴν δ' ἠμείβετ' ἔπειτα ποδάρκης δῖος Ἀχιλλεύς·
‘ Ἶρι θεὰ, τίς γάρ σε θεῶν ἐμοὶ ἄγγελον ἧκε;’
Τὸν δ' αὖτε προσέειπε ποδήνεμος ὠκέα Ἶρις·
‘ Ἥρη με προέηκε, Διὸς κυδρὴ παράκοιτις·
‘ Οὐδ' οἶδε Κρονίδης ὑψίζυγος, ὐδέ τις ἄλλος 185
‘ Ἀθανάτων, οἳ Ὄλυμπον ἀγάννιφον ἀμφινέμονται.’
Τὴν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
‘ Πῶς τ' ἄρ' ἴω μετὰ μῶλον; ἔχουσι δὲ τεύχε' ἐκεῖνοι·
‘ Μήτηρ δ' ἔ με φίλη πρίν γ' εἴα θωρήσσεσθαι,
‘ Πρίν γ' αὐτὴν ἐλθοῦσαν ἐν ὀφθαλμοῖσιν ἴδωμαι· 190
‘ Στεῦτο γὰρ Ἡφαίστοιο παρ' οἰσέμεν ἔντεα καλά.
‘ Ἄλλου δ' ὅ τιν οἶδα, τεῦ ἂν κλυτὰ τεύχεα δύω,
‘ Εἰ μὴ Αἴαντός γε σάκος Τελαμωνιάδαο.
‘ Ἀλλὰ κ' αὐτὸς ὅγ', ἔλπομ', ἐνὶ πρώτοισιν ὁμιλεῖ,
‘ Ἔγχεϊ δηϊόων περὶ Πατρόκλοιο θανόντος.’ 195
Τὸν δ' αὖτε προσέειπε ποδήνεμος ὠκέα Ἶρις·
‘ Εὖ νυ καὶ ἡμεῖς ἴδμεν, ὅ τοι κλυτὰ τεύχε' ἔχονται·
‘ Ἀλλ' αὔτως ἐπὶ τάφρον ἰὼν, Τρώεσσι φάνηθι,
‘ Αἴ κέ σ' ὑποδδείσαντες ἀπόσχωνται πολέμοιο

177. ΠΗΞ. Ἀνασκολοπίσαι.
178. ΑΝΑ. Ἀνάστηθι. ΚΕΙ. Ἀργὸς ἀλιτίλει. ΣΕ. Αἰδοῦς καὶ σεβασμοῦ ἄξιον.
180. ΛΩ. Αἰσχύνη. ΗΣ. Καθυβρισμένος.
184. ΚΥ. Ἔνδοξος, σεμνή.
191. ΗΦΑΙ. Παρὰ Ἡφαίστῳ κ' ἴσιν ὁ τρόπος, ἀνάστροφή.
192. ΑΔΗ. Ἀλλ' οὐδενὸς οἶδα ἁρμόζουσάν μοι πανοπλίαν· διατὶ δέ φησι, τὴν Πατρόκλου πανοπλίαν οὐκ ἀναλαμβάνει ὁ Ἀχιλλεὺς, ἐπειδὴ κ' Πατρόκλῳ τὰ αὐτῷ ἥρμοσε; καί φασί τινες, ὅτι καταγέλαστον ἦν ταπεινὸν φανῆναι τοῖς τεθαρρηκόσιν· οἱ δὲ, ὅτι τὰ τοῦ Πατρόκλου Αὐτομέδων εἶχεν, ἵνα ἀθραυστὸς Ἀχιλλέως ἡνίοχος νομίζηται.
198. ΑΥ. Οὕτως, ὡς ἔχεις.

‘ Τρῶες, ἀναπνεύσωσι δ᾽ ἀρήϊοι υἷες Ἀχαιῶν 200
‘ Τειρόμενοι· ὀλίγη δέ τ᾽ ἀνάπνευσις πολέμοιο.’
Ἦ μὲν ἄρ᾽ ὣς εἰποῦσ᾽ ἀπέβη πόδας ὠκέα Ἶρις.
Αὐτὰρ Ἀχιλλεὺς ὦρτο Διῒ φίλος· ἀμφὶ δ᾽ Ἀθήνη
Ὤμοις ἰφθίμοισι βάλ᾽ Αἰγίδα θυσσανόεσσαν·
Ἀμφὶ δέ οἱ κεφαλῇ νέφος ἔστεφε δῖα θεάων 205
Χρύσεον, ἐκ δ᾽ αὐτοῦ δαῖε φλόγα παμφανόωσαν.
Ὡς δ᾽ ὅτε καπνὸς ἰὼν ἐξ ἄστεος αἰθέρ᾽ ἵκηται
Τηλόθεν ἐκ νήσου, τὴν δῆϊοι ἀμφιμάχονται,
Οἵτε πανημέριοι στυγερῷ κρίνονται ἄρηϊ
Ἄστεος ἐκ σφετέρου· ἅμα δ᾽ ἠελίῳ καταδύντι 210
Πυρσοί τε φλεγέθουσιν ἐπήτριμοι, ὑψόσε δ᾽ αὐγὴ
Γίγνεται αἴσσουσα, περικτιόνεσσιν ἰδέσθαι,
Αἴ κέν πως σὺν νηυσὶν ἄρεως ἀλκτῆρες ἵκωνται·
Ὡς ἀπ᾽ Ἀχιλλῆος κεφαλῆς σέλας αἰθέρ᾽ ἵκανε.
Στῆ δ᾽ ἐπὶ τάφρον ἰὼν ἀπὸ τείχεος· οὐδ᾽ ἐς Ἀχαιοὺς 215
Μίσγετο· μητρὸς γὰρ πυκινὴν ὠπίζετ᾽ ἐφετμήν.
Ἔνθα στὰς ἤυσ᾽· ἀπάτερθε δὲ Παλλὰς Ἀθήνη
Φθέγξατ᾽· ἀτὰρ Τρώεσσιν ἐν ἄσπετον ὦρσε κυδοιμόν.
Ὡς δ᾽ ὅτ᾽ ἀριζήλη φωνὴ, ὅτε τ᾽ ἴαχε σάλπιγξ
Ἄστυ περιπλομένων δηΐων ὕπο θυμοραϊστέων· 220
Ὡς τότ᾽ ἀριζήλη φωνὴ γένετ᾽ Αἰακίδαο.

205. ΑΜ. Τὴν κεφαλὴν αὐτοῦ νέφει ἐκάλυπτεν.

207. ΩΣ. Ἔθος τοῖς ἀρχαίοις, τοὺς πολεμουμένους τῇ μὲν ἡμέρᾳ καπνὸν ἀπὸ τῶν τειχῶν διεγείρειν, τῇ δὲ νυκτὶ φλόγα, τὴν ἀπὸ τῶ περιοίκων βοήθειαν καὶ συμμαχίαν ἐπικαλουμένους· οὐδέπω γὰρ ἦν εὑρεθεῖσα σάλπιγξ.

211. ΕΠΗ. Ἐπάλληλοι, πυκνοί.

212. ΠΕ. Τοῖς περιοίκοις.

213. ΑΡΕ. Ἀποτρεπτικοὶ τοῦ πολέμου.

214. ΣΕ. Λαμπρότης.

216. ΩΠΙ. Ἐπεστρέφετο, φροντίδα ἐποιεῖτο.

219. ΣΑΛ. Ἀπὸ τῶν ἰδίων χρόνων ὁ Ποιητὴς ὠνόμασε τὴν σάλπιγγα, ἐπεὶ οὐδέπω εὕρητο παρὰ τοῖς παλαιοῖς· κόχλῳ γὰρ θαλασσίῳ ἐσάλπιζον. ΑΡΙ. Μεγάλως ἤκουσας.

220. ΠΕ. Περιερχομένων. ΘΥ. Τῶν ψυχῆς φθαρτικῶν.

Οἱ δ' ὡς ἓν ἄϊον ὄπα χάλκεον Αἰακίδαο,
Πᾶσιν ὀρίνθη θυμός· ἀτὰρ καλλίτριχες ἵπποι
Ἄψ ὄχεα τρόπεον· ὄσσοντο γὰρ ἄλγεα θυμῷ.
Ἡνίοχοι δ' ἔκπληγεν, ἐπεὶ ἴδον ἀκάματον πῦρ 225
Δεινὸν ὑπὲρ κεφαλῆς μεγαθύμου Πηλέωνος
Δαιόμενον· τὸ δ' ἔδαιε θεὰ γλαυκῶπις Ἀθήνη.
Τρὶς μὲν ὑπὲρ τάφρου μεγάλ' ἴαχε δῖος Ἀχιλλεύς·
Τρὶς δ' ἐκυκήθησαν Τρῶες, κλειτοί τ' ἐπίκουροι.
Ἔνθα δὲ κ' τότ' ὄλοντο δυώδεκα φῶτες ἄριστοι 230
Ἀμφὶ σφοῖς ὀχέεσσι καὶ ἔγχεσιν· αὐτὰρ Ἀχαιοὶ
Ἀσπασίως Πάτροκλον ὑπ' ἐκ βελέων ἐρύσαντες,
Κάτθεσαν ἐν λεχέεσσι· φίλοι δ' ἀμφέσαν ἑταῖροι
Μυρόμενοι· μετὰ δέ σφι ποδώκης εἵπετ' Ἀχιλλεὺς,
Δάκρυα θερμὰ χέων, ἐπεὶ ὄσσε δε πιστὸν ἑταῖρον 235
Κείμενον ἐν φερέτρῳ, δεδαϊγμένον ὀξέϊ χαλκῷ·
Τόν ῥ' ἤτοι μὲν ἔπεμπε σὺν ἵπποισιν καὶ ὄχεσφιν
Ἐς πόλεμον, ἀδ', αὖτις ἐδέξατο νοστήσαντα.
Ἠέλιον δ' ἀκάμαντα βοῶπις πότνια Ἥρη
Πέμψεν ἐπ' Ὠκεανοῖο ῥοὰς ἀέκοντα νέεσθαι· 240
Ἠέλιος μὲν ἔδυ, παύσαντο δὲ δῖοι Ἀχαιοὶ
Φυλόπιδος κρατερῆς καὶ ὁμοιΐου πολέμοιο.
Τρῶες δ' αὖθ' ἑτέρωθεν, ἀπὸ κρατερῆς ὑσμίνης
Χωρήσαντες, ἔλυσαν ὑφ' ἅρμασιν ὠκέας ἵππους·
Ἐς δ' ἀγορὴν ἀγέροντο, πάρος δόρποιο μέδεσθαι· 245

222. ΑΙ. Ἤκουον. ΟΠΑ. Στερεὰν φωνήν.
224. ΑΥ. Εἰς τὐπίσω περιέγριφον τὰ ἅρματα. ΟΣ. Προεώρων· κατὰ διάνοιαν προέβλεπον.
228. ΕΚ. Ἐξεπλάγησαν.
229. ΕΚΥ. Ἐταράχθησαν.
233. ΑΜ. Περὶ τοῖς ἰδίοις.
234. ΜΥ. Ὀδυρόμενοι, κλαίοντες.
236. ΦΕ. Νεκροφόρῳ, κλινιδίῳ, ἢ φορείῳ.
239. ΑΚΑ. Μηδέποτε κοπιῶντα.
245. ΕΣ. Εἰς τὴν ἐκκλησίαν συνηθροίζοντο· πρὸς τί φησιν ἐκκλησίαν ἀθροίζει; τινὲς μὲν οὖν τὸν Ποιητὴν φασι μετάγειν τὴν μάχην εἰς λόγους ἀεὶ θηρώμενον τὸ ποικίλον· οἱ δὲ, διὰ δίκας τοὺς Τρῶας αὐτομάτους συνδραμεῖν καὶ ἀπαγ-

Ὀρθῶν δ' ἑσαότων ἀγορὴ γένετ', οὐδέ τις ἔτλη
Ἕζεσθαι· πάντας γὰρ ἔχε τρόμος, οὕνεκ' Ἀχιλλεὺς
Ἐξεφάνη, δηρὸν δὲ μάχης ἀπέπαυτ' ἀλεγεινῆς.
Τοῖσι δὲ Πυλυδάμας πεπνυμένος ἦρχ' ἀγορεύειν
Πανθοίδης· ὃ γὰρ οἶος ὅρα πρόσσω καὶ ὀπίσσω· 250
Ἕκτορι δ' ἦεν ἑταῖρος, ἰῇ δ' ἐν νυκτὶ γένοντο·
Ἀλλ' ὁ μὲν ἂρ μύθοισιν, ὁ δ' ἔγχεϊ πολλὸν ἐνίκα·
Ὅς σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
Ἀμφὶ μάλα φράζεσθε, φίλοι· κέλομαι γὰρ ἔγωγε
Ἄστυδε νῦν ἰέναι, μὴ μίμνειν ἠῶ δῖαν 255
Ἐν πεδίῳ παρὰ νηυσίν· ἑκὰς δ' ἀπὸ τείχεος εἰμέν.
Ὄφρα μὲν ἧτος ἀνὴρ Ἀγαμέμνονι μήνιε δίῳ,
Τόφρα δὲ ῥηΐτεροι πολεμίζειν ἦσαν Ἀχαιοί.
Χαίρεσκον γὰρ ἔγωγε θοῆς ἐπὶ νηυσὶν ἰαύων,
Ἐλπόμενος νῆας γ' αἱρησέμεν ἀμφιελίσσας· 260
Νῦν δ' αἰνῶς δείδοικα ποδώκεα Πηλείωνα·
Οἷος ἐκείνου θυμὸς ὑπέρβιος, οὐκ ἐθελήσει
Μίμνειν ἐν πεδίῳ, ὅθι περ Τρῶες καὶ Ἀχαιοὶ
Ἐν μέσῳ ἀμφότεροι μένος Ἄρηος δατέονται,
Ἀλλὰ περὶ πτόλιός τε μαχήσεται, ἠδὲ γυναικῶν. 265
Ἀλλ' ἴομεν προτὶ ἄστυ, πίθεσθέ μοι, ὧδε γὰρ ἔσται·
Νῦν μὲν νὺξ ἀπέπαυσε ποδώκεα Πηλείωνα
Ἀμβροσίη· εἰ δ' ἄμμε κιχήσεται ἐνθάδ' ἐόντας
Αὔριον ὁρμηθεὶς σὺν τεύχεσιν, εὖ νύ τις αὐτὸν
Γνώσεται· ἀσπασίως γὰρ ἀφίξεται Ἴλιον ἱρὴν, 270

καθῆναι δημηγορεῖν τὰς ἡγεμόνας. ΜΕ. Ἐπιμελεῖσθαι.

250. ΠΡΟ. Εἰς τὸ παρωχηκὸς καὶ τὸ μέλλον.

254. ΑΜ. Ἐπιμελῶς βελεύεσθε.

258. ΡΗΙ. Εὐκολώτεροι ἐν τῷ πολέμῳ, εὐκατηγώνιστοι. ΠΟ. Ἀντὶ τοῦ πολεμίζεσθαι, μάχεσθαι. Περίφρασις, ὁ τρόπος.

259. ΙΑΥ. Ἐπαυλιζόμενος ταῖς ναυσί καθεύδων.

264. ΜΕ. Τὸν πόλεμον, καθ' ὅσον ὅτε μὲν ἔφευγον, ὅτε δὲ ἐδίωκον. ΔΑΤ. Μερίζονται τὸν τοῦ πολέμου κίνδυνον.

Ὃς κε φύγῃ· πολλὰς δὲ κύνες καὶ γῦπες ἔδονται
Τρώων· αἰ γὰρ δή μοι ἀπ' ὄατος ὧδε γένοιτο·
Εἰ δ' ἂν ἐμοῖς ἐπέεσσι πιθώμεθα, κηδόμενοί περ,
Νύκτα μὲν εἰν ἀγορῇ θένος ἔξομεν, ἄστυ δὲ πύργοι,
Ὑψηλαί τε πύλαι, σανίδες τ' ἐπὶ τῇς ἀραρυῖαι 275
Μακραὶ, ἐΰξεστοι, ἐξευγμέναι εἰρύσονται.
Πρωῒ δ' ὑπ' ἠοῖοι σὺν τεύχεσι θωρηχθέντες
Στησόμεθ' ἀμπύργας· τῷ δ' ἄλγιον, αἴ κ' ἐθέλῃσιν
Ἐλθὼν ἐκ νηῶν περὶ τείχεος ἄμμι μάχεσθαι.
Ἀψ πάλιν εἶσ' ἐπὶ νῆας, ἐπεί κ' ἐριαύχενας ἵππους 280
Παντοίους δρόμους ἄσῃ ὑπὸ πτόλιν ἠλασκάζων.
Εἴσω δ' ἔ μιν θυμὸς ἐφορμηθῆναι ἐάσει,
Οὐδέ ποτ' ἐκπέρσει· πρίν μιν κύνες ἀργοὶ ἔδονται.'
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη κορυθαίολος Ἕκτωρ·
Πολυδάμα, σὺ μὲν ἔκ ἔτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις, 285
Ὃς κέλευς κατὰ ἄστυ ἀλήμεναι αὖτις ἰόντας.
Ἦ ἔπω κεκόρησθε ἐελμένοι ἔνδοθι πύργων;
Πρὶν μὲν κὸ Πριάμοιο πόλιν μέροπες ἄνθρωποι
Πάντες μυθέσκοντο πολύχρυσον, πολύχαλκον·
Νῦν δὲ δὴ ἐξαπόλωλε δόμων κειμήλια καλά· 290
Πολλὰ δὲ δὴ Φρυγίην καὶ Μηονίην ἐρατεινὴν
Κτήματα περνάμεν' ἵκει, ἐπεὶ μέγας ὠδύσατο Ζεύς.
Νῦν δ' ὅτε πέρ μοι ἔδωκε Κρόνος παῖς ἀγκυλομήτεω

272. ΑΙ. Ὤφελεν κὸ ἀπὸ τῆς ἐμῆς ἀκοῆς γενέσθαι· τοῦτ' ἔστιν· εἴθε γὰρ μὴ ἀκούσαιμι· τινὶς δὲ ἀπέατον, τὸν κακόν· ἔν' ἢ τὸν Ἀχιλλέα· ἀντὶ ᾧ, εἴθε κὸ κακὸς ἐγένετο· τοῦτ' ἔστι, δοῦλος.

274. ΣΘ. Τῇς βουλῆς ἐπικρατήσωμεν καὶ κατισχύσωμεν· ὅ ἐστι, βουλευσώμεθα, τοῦτ' ἔστι, συναθροισθῶμεν.

276. ΕΖΕΥΓ. Ἡρμοσμένας.

281. ΑΣΗ. Πληρώσῃ, κορέσῃ. ΗΛΑΣ. Πλανώμενος, περιερχόμενος, ἢ ἐκκλίνων, ἢ ἐλαύνων.

287. ΚΕ. Ἐκορέσθητε, ἐπληρώθητε. ΕΕΛ. Συγκεκλεισμένοι, συνηγμένοι.

289. ΜΥ. Ἔλεγον.

291. ΜΗ. Λυθέν· ὅτω κὸ πρότερον ἐκαλεῖτο.

292. ΠΕΡ. Πιπρασκόμενα. ΙΚ. Ἀφικνεῖται, ἢ ἀπέρχε. ΩΔΥ. Ἐχθρὸν ἐγένετο, ὠργίσθη.

‘ Κῦδος ἀρέσθ’ ἐπὶ νηυσὶ, θαλάσσῃ τ’ ἕλσαι Ἀχαιοὺς,
‘ Νήπιε, μηκέτι ταῦτα νοήματα φαῖν’ ἐνὶ δήμῳ· 295
‘ Οὐ γάρ τις Τρώων ἐπιπείσεται· οὐ γὰ ἐάσω.
‘ Ἀλλ’ ἄγεθ’, ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες.
‘ Νῦν μὲν δόρπον ἕλεσθε κατὰ στρατὸν ἐν τελέεσσι,
‘ Καὶ φυλακῆς μνήσασθε, καὶ ἐγρήγορθε ἕκαστος·
‘ Τρώων δ’ ὃς κτεάτεσσιν ὑπερφιάλως ἀνιάζει, 300
‘ Συλλέξας, λαοῖσι δότω καταδημοβορῆσαι,
‘ Τῶν τινα βέλτερόν ἐστιν ἐπαυρέμεν, ἤπερ Ἀχαιοὺς.
‘ Πρωὶ δ’ ὑπ’ ἠοῖοι σὺν τεύχεσι θωρηχθέντες,
‘ Νηυσὶν ἔπι γλαφυρῇσιν ἐγείρομεν ὀξὺν Ἄρηα.
‘ Εἰ δ’ ἐτεὸν παρὰ ναῦφιν ἀνέσῃ δῖος Ἀχιλλεὺς, 305
‘ Ἄλγιον, αἴ κ’ ἐθέλῃσι, τῷ ἔσσεται· οὔ μιν ἔγωγε
‘ Φεύξομαι ἐκ πολέμοιο δυσηχέος, ἀλλὰ μάλ’ ἄντην
‘ Στήσομαι, ἤ κε φέρῃσι μέγα κράτος, ἤ κε φεροίμην·
‘ Ξυνὸς Ἐνυάλιος, καί τε κτανέοντα κατέκτα.’
Ὣς Ἕκτωρ ἀγόρευ· ἐπὶ δὲ Τρῶες κελάδησαν, 310
Νήπιοι· ἐκ γὰρ σφέων φρένας εἵλετο Παλλὰς Ἀθήνη·
Ἕκτορι μὲν γὰρ ἐπῄνησαν κακὰ μητιόωντι,
Πολυδάμαντι δ’ ἄρ’ οὔτις, ὃς ἐσθλὴν φράζετο βουλήν.
Δόρπον ἔπειθ’ εἵλοντο κατὰ στρατόν· αὐτὰρ Ἀχαιοὶ
Παννύχιοι Πάτροκλον ἀνεστενάχοντο γοῶντες· 315
Τοῖσι δὲ Πηλείδης ἀδινὸν ἐξῆρχε γόοιο,

295. ΝΟ. Βουλεύματα. ΦΑΙ. Διαφανῆ ποίησον.

298. ΤΕ. Ἐν τοῖς τάγμασιν.

300. ΤΡΩ. Καὶ τὰ ἑξῆς. Τῶν δὲ Τρώων ὅστις ἂν ὑπερβαλλόντως ἀνιᾶται ἐπὶ τοῖς χρήμασιν, ὡς μέλλων ἀπολλύειν αὐτὰ ὑπὸ τῶν πολεμίων· τοῦτο γὰρ ἐλλεῖπον προσυπακούεται, συναγαγὼν αὐτὰ, δότω τοῖς πολίταις· βέλτιον γάρ ἐστιν ὑπὸ τούτων αὐτὰ δαπανηθῆναι.

301. ΚΑ. Δότω αὐτὰ τῷ πλήθει καταναλῶσαι.

302. ΕΠΑΥ. Ἀπόνασθαι, ἀπολαῦσαι.

309. ΣΥ. Κοινὴ ἡ ἐν πολέμῳ τύχη. ΚΤΑ. Ἐλπίζοντα ἀνιλεῖν τὸν πλησίον, συμβαίνει πολλάκις ὑπ’ ἐκείνου ἀναιρεθῆναι.

316. ΑΔΙ. Ὀξίνω, ὀίκτῳ.

Χεῖρας ἐπ' ἀνδροφόνυς θέμενος ςήθεσσιν ἑταίρυ,
Πυκνὰ μάλα ςενάχων· ὥςε λῖς ἠϋγένειος,
Ὧ ῥά θ' ὑπὸ σκύμνυς ἐλαφηβόλος ἁρπάσῃ ἀνὴρ
Ὕλης ἐκ πυκινῆς· ὁ δέ τ' ἄχνυται ὕςερος ἐλθών· 320
Πολλὰ δέ τ' ἄγκε' ἐπῆλθε μετ' ἀνέρος ἴχνι' ἐρευνῶν,
Εἴ ποθεν ἐξεύροι· μάλα γὰρ δριμὺς χόλος αἱρεῖ.
Ὡς ὁ βαρυςενάχων μετεφώνεε Μυρμιδόνεσσιν·
Ὦ πόποι, ἦ ῥ' ἄλιον ἔπος ἐκβαλον ἤματι κείνῳ,
Θαρσύνων ἥρωα Μενοίτιον ἐν μεγάροισι· 325
Φῆν δέ οἱ εἰς Ὀπόεντα περικλυτὸν υἱὸν ἀπάξειν,
Ἴλιον ἐκπέρσαντα, λαχόντα τε ληΐδος αἶσαν.
Ἀλλ' οὐ Ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾷ·
Ἀμφω γὰρ πέπρωται ὁμοίην γαῖαν ἐρεῦσαι
Αὐτῇ ἐνὶ Τροίῃ· ἐπεὶ ἠδέ με νοςήσαντα 330
Δέξεται ἐν μεγάροισι γέρων ἱππηλάτα Πηλεύς,
Οὐδὲ Θέτις μήτηρ, ἀλλ' αὐτῇ γαῖα καθέξει.
Νῦν δ' ἐπεὶ οὖν, Πάτροκλε, σεῦ ὕςερος εἶμ' ὑπὸ γαῖαν,
Οὔ σε πρὶν κτεριῶ, πρίν γ' Ἕκτορος ἐνθάδ' ἐνείκαι
Τεύχεα καὶ κεφαλὴν, μεγαθύμυ σεῖο φονῆος· 335
Δώδεκα δὲ προπάροιθε πυρῆς ἀποδειροτομήσω
Τρώων ἀγλαὰ τέκνα, σέθεν κταμένοιο χολωθείς.
Τόφρα δέ μοι παρὰ νηυσὶ κορωνίσι κείσεαι αὔτως·
Ἀμφὶ δέ σε Τρῳαὶ καὶ Δαρδανίδες βαθύκολποι

317. ΧΕΙ. Ἀμφίβολον πότερον τὰς ἑαυτῶν ἀνδροφόνυς χεῖρας ὁ Ἀχιλλεὺς ἐπιθεὶς τῷ τοῦ ἑταίρυ ςήθει, ἢ τὰς τοῦ ἀνδροφόνου Πατρόκλυ ἐπιθεὶς τῷ ἰδίῳ ςήθει· βέλτιον δὲ τὸ πρότερον.

319. ΣΚΥΜ. Ὀξυτονυμένης μὲ τῆς πρώτης συλλαβῆς, τὸ δὲ λέοντος ἔκγονον· βαρυνομένης δὲ, τὰ τῶν ἄλλων ζώων. ΕΔΑ. Κυνηγός.

321. ΑΓ. Τοὺς συνδώδυς τόπους ἱερῶν.

324. ΕΚ. Μάτην προηκάμην.

326. ΟΠΟ. Ὀπῶντα· πόλις τῆς Λοκρίδος.

329. ΠΕ. Εἴμαρται. ΕΡΕΥ. Ἐρυθρὰν τῷ αἵματι ποιῆσαι.

334. ΚΤΕ. Θάψω.

336. ΑΠΟ. Τοὺς τραχήλους ἀποτεμῶ.

'Κλαύσονται, νύκτας τε καὶ ἤματα δακρυχέουσαι· 340
'Τὰς αὐτοὶ καμόμεσθα, βίηφί τε δουρί τε μακρῷ,
'Πείρας πέρθοντες πόλεις μερόπων ἀνθρώπων.'
Ὣς εἰπὼν, ἑτάροισιν ἐκέκλετο δῖος Ἀχιλλεὺς
Ἀμφὶ πυρὶ σῆσαι τρίποδα μέγαν, ὄφρα τάχιστα
Πάτροκλον λύσειαν ἄπο βρότον αἱματόεντα. 345
Οἱ δὲ λοετροχόον τρίποδ' ἵσασαν ἐν πυρὶ κηλέῳ,
Ἐν δ' ἄρ' ὕδωρ ἔχεαν, ὑπὸ δὲ ξύλα δαῖον ἐλόντες·
Γάστρην μὲν τρίποδος πῦρ ἄμφεπε, θέρμετο δ' ὕδωρ.
Αὐτὰρ ἐπειδὴ ζέσσεν ὕδωρ ἐνὶ ἤνοπι χαλκῷ,
Καὶ τότε δὴ λοῦσάν τε, καὶ ἤλειψαν λίπ' ἐλαίῳ· 350
Ἐν δ' ὠτειλὰς πλῆσαν ἀλείφατος ἐννεώροιο·
Ἐν λεχέεσσι δὲ θέντες, ἑανῷ λιτὶ κάλυψαν
Ἐς πόδας ἐκ κεφαλῆς· καθύπερθε δὲ, φάρεϊ λευκῷ.
Παννύχιοι μὲν ἔπειτα πόδας ταχὺν ἀμφ' Ἀχιλῆα
Μυρμιδόνες Πάτροκλον ἀνεστενάχοντο γοῶντες. 355
Ζεὺς δ' Ἥρην προσέειπε κασιγνήτην, ἄλοχόν τε·
'Ἔπρηξας καὶ ἔπειτα, βοῶπις πότνια Ἥρη,
'Ἀνστήσασ' Ἀχιλῆα πόδας ταχύν· ἦ ῥά νυ σεῖο
'Ἐξ αὐτῆς ἐγένοντο καρηκομόωντες Ἀχαιοί.'
Τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη· 360
'Αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες;
'Καὶ μὲν δή πού τις μέλλει βροτὸς ἀνδρὶ τελέσσαι,

341. ΚΑ. Μετὰ κακοπαθείας, καὶ πόνου ἐκτησάμεθα.

342. ΠΙ. Πλουσίας, εὐδαίμονας.

344. ΑΜ. Ἐν τῷ πυρὶ θερμαῖναι τὸ ὕδωρ.

345. ΒΡΟ. Τὸν τῆς μάχης μολυσμόν.

346. ΛΟ. Ἐξ οὗ τὰ λουτρὰ καὶ καθάρσια γίγνονται.

348. ΓΑ. Χώρημα, τὸ πλάτος τοῦ λέβητος. ΑΜ. Περιέλαβε, περιεῖχεν.

351. ΑΛΕΙ. Ἀπὸ ἀλείμματος ἐλαίου. ΕΝ. Ἐνιαυτοῦς. Ὥρος γὰρ ὁ χρόνος.

352. ΕΑ. Λεπτῷ πέπλῳ, παρὰ τὸ ἔννυσθαι. ΛΙ. Λιτῷ, καὶ ἀποικίλῳ τῷ ὑφάσματι.

357. ΕΠΡΗΞ. Ἀντὶ τοῦ, ἐξεπίλησας δὴ καὶ ἤνυσας ἐπιβουλήθης, ὦ Ἥρα, ἀναστήσασα τὸν Ἀχιλλέα.

362. ΚΑΙ. Προσληπτέον τελέσαι, ἢ

Ὅσσον θνητός τ' ἐστὶ, καὶ οὐ τόσα μήδεα οἶδε·
Πῶς δὴ ἔγωγ', ἤ φημι θεάων ἔμμεν' ἀρίστη,
Ἀμφότερον, γενεῇ τε, καὶ ἕνεκα σὴ παράκοιτις 365
Κέκλημαι, σὺ δὲ πᾶσι μετ' ἀθανάτοισιν ἀνάσσεις,
Οὐκ ὄφελον Τρώεσσι κοτεσσαμένη κακὰ ῥάψαι;
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Ἡφαίστου δ' ἵκανε δόμον Θέτις ἀργυρόπεζα
Ἄφθιτον, ἀστερόεντα, μεταπρεπέ' ἀθανάτοισι, 370
Χάλκεον, ὅν ῥ' αὐτὸς ποιήσατο Κυλλοποδίων.
Τὸν δ' εὗρ' ἱδρώοντα, ἑλισσόμενον περὶ φύσας,
Σπεύδοντα· τρίποδας γὰρ ἐείκοσι πάντας ἔτευχεν,
Ἑστάμεναι περὶ τοῖχον ἐϋσταθέος μεγάροιο.
Χρύσεα δέ σφ' ὑπὸ κύκλα ἑκάστῳ πυθμένι θῆκεν, 375
Ὄφρα οἱ αὐτόματοι θεῖον δυσαίατ' ἀγῶνα,
Ἠδ' αὖτις πρὸς δῶμα νεοίατο, θαῦμα ἰδέσθαι.
Οἱ δ' ἤτοι τόσσον μὲν ἔχον τέλος, ἤατα δ' ἤπω
Δαιδάλεα προσέκειτο, τά ῥ' ἤρτυε, κόπτε δὲ δεσμούς.
Ὄφρ' ὅγε ταῦτ' ἐπονεῖτο ἰδυίῃσι παραπίδεσσι, 380
Τόφρα οἱ ἐγγύθεν ἦλθε θεὰ Θέτις ἀργυρόπεζα.
Τὴν δὲ ἴδε προμολοῦσα Χάρις λιπαροκρήδεμνος,
Καλὴ, τὴν ὤπυιε περικλυτὸς Ἀμφιγυήεις,
Ἓν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·

ἢ, καὶ μὴν ἄνθρωπος ἀνθρώπῳ κακὸν κατασκευάσει.

367. ΡΑ. Μηχανήσασθαι, κατασκευασαι.

371. ΚΥΛ. Χωλός.

372. ΕΛΙΣ. Νῦν, κακοπαθεῖα, ἐνεργοῦντα.

373. ΕΕΙ. Περισσὸν τὸ πάντας· εἴκοσι δέ.

374. ΕΥ. Εὐποιήτου, ἑδραίου.

375. ΧΡΥ. Ἑκάστῳ δὲ πυθμένι χρυσοῦς κύκλους ὑπέβαλλε.

376. ΘΕΙ. Εἰς τὰ τῶν θεῶν κατελύσονται τιμένη καὶ ἀθροίσματα.

378. ΤΟΣ. Τὸ μὲ λοιπὸν παντελῶς ἔχον· ὅ ἐστι, τετελείωντο.

379. ΗΡ. Κατεσκεύαζον. ΚΟΠ. Κατεσκεύασεν, ἐχάλκευε. ΔΕΣ. Ἥλους, καθ' ὃ συμβάλλουσι καὶ συνδεσμοῦσι τὰ ὦτα τοῦ τρίποδος.

382. ΠΡΟ. Προελθοῦσα. ΑΙ. Ἤτοι λαμπρὰ ἔχουσα περιβόλαια τῇ κεφαλῇ· ἐξ οὗ εὐσταλὴς καὶ κοσμία· ἢ, λιπαρὰ, ἀπὸ τοῦ ἐλαίου.

‘ Τίπτε, Θέτι τανύπεπλε, ἱκάνεις ἡμέτερον δῶ, 385
‘ Αἰδοίη τε, φίλη τε; πάρος γε μὲν ἔτι θαμίζεις·
‘ Ἀλλ᾽ ἕπεο προτέρω, ἵνα τοι παρ ξείνια θείω.’
Ὣς ἄρα φωνήσασα πρόσω ἄγε δῖα θεάων·
Τὴν μὲν ἔπειτα καθεῖσεν ἐπὶ θρόνου ἀργυροήλου,
Καλοῦ, δαιδαλέου· ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν· 390
Κέκλετο δ᾽ Ἡφαιστον κλυτοτέχνην, εἶπέ τε μῦθον·
‘ Ἡφαιστε, πρόμολ᾽ ὧδε, Θέτις νύ τι σεῖο χατίζει.’
Τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα περικλυτὸς Ἀμφιγυήεις·
‘ Ἦ ῥά νύ μοι δεινή τε καὶ αἰδοίη θεὸς ἔνδον,
‘ Ἣ μ᾽ ἐσάωσ᾽, ὅτε μ᾽ ἄλγος ἀφίκετο, τῆλε πεσόντα, 395
‘ Μητρὸς ἐμῆς ἰότητι κυνώπιδος, ἥ μ᾽ ἐθέλεσκε
‘ Κρύψαι χωλὸν ἐόντα· τότ᾽ ἂν πάθον ἄλγεα θυμῷ,
‘ Εἰ μή μ᾽ Εὐρυνόμη τε, Θέτις θ᾽ ὑπεδέξατο κόλπῳ,
‘ Εὐρυνόμη θυγάτηρ ἀψορρόου Ὠκεανοῖο.
‘ Τῇσι παρ᾽ εἰνάετες χάλκευον δαίδαλα πολλὰ, 400
‘ Πόρπας τε, γναμπτάς θ᾽ ἕλικας, κάλυκάς τε, καὶ ὅρμους,
‘ Ἐν σπῆϊ γλαφυρῷ· περὶ δὲ ῥόος Ὠκεανοῖο
‘ Ἀφρῷ μορμύρων ῥέεν ἄσπετος· οὐδέ τις ἄλλος
‘ Ἤδεεν, οὔτε θεῶν, οὔτε θνητῶν ἀνθρώπων,
‘ Ἀλλὰ Θέτις τε, καὶ Εὐρυνόμη ἔσαν, αἳ μ᾽ ἐσάωσαν. 405
‘ Ἦ νῦν ἡμέτερον δόμον ἥκει· τῷ με μάλα χρεὼ

385. ΤΑ. Τίλαμένον ἔχουσα τ᾽ πέπλον, κοσμία.
386. ΟΥ. Πυκνῶς οὐ παρεγένου.
390. ΘΡΗ. Ὑποπόδιον.
392. ΠΡΟ. Πρόιλθε. ΩΔΕ. Οὕτως, ὡς ἔχεις.
394. ΔΕΙ. Νῦν, ἡ θαυμασή.
399. ΑΨΟ. Εἰς τοὐπίσω ῥέοντος, ὑποχωρεῦνος, ἢ, καὶ ταχέως ῥέοντος, καθ᾽ ὃ περιέχει τὴν γῆν.
400. ΤΗ. Παρ᾽ αἷς· ἀναστροφὴ, ὁ τρόπος.
401. ΠΟ. Αἷς αἱ χλανίδες καταβάλλονται, περόνας δηλαδή. ΓΝΑΜΠ. Ἐπικαμπεῖς· λέγει δὲ τὰ ψέλλια καλούμενα. ΚΑ. Σωληνίσκους· λέγει δὲ τὰς λεγομένας σύριγγας, αἳ περιλαμβάνουσι τοὺς πλοκάμους, ἢ εἰς ἃς κατακλείονται αἱ περόναι. ΟΡ. Περιτραχήλια.
403. ΜΟΡ. Φοβερῶς ζῶν, καὶ οἱονεὶ ἀναζέων.
405. ΕΣΑΝ. Παρεγένοντο.

‘ Πάντα Θέτι καλλιπλοκάμῳ ζωάγρια τίνειν.
‘ Ἀλλὰ σὺ μὲν νῦν οἱ παράθες ξεινήϊα καλὰ,
‘ Ὄφρ᾽ ἂν ἐγὼ φύσας ἀποθείομαι, ὅπλα τε πάντα.’
Ἦ, καὶ ἀπ᾽ ἀκμοθέτοιο πέλωρ αἴητον ἀνέστη, 410
Χωλεύων, ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί.
Φύσας μέν ῥ᾽ ἀπάνευθε τίθει πυρὸς, ὅπλα τε πάντα
Λάρνακ᾽ ἐς ἀργυρέην συλλέξατο, τοῖς ἐπονεῖτο·
Σπόγγῳ δ᾽ ἀμφὶ πρόσωπα καὶ ἄμφω χεῖρ᾽ ἀπομόργνυ,
Αὐχένα τε στιβαρὸν, καὶ στήθεα λαχνήεντα· 415
Δῦ δὲ χιτῶν᾽· ἕλε δὲ σκῆπτρον παχύ· βῆ δὲ θύραζε
Χωλεύων· ὑπὸ δ᾽ ἀμφίπολοι ῥώοντο ἄνακτι,
Χρύσειαι, ζωῇσι νεήνισιν εἰοικυῖαι.
Τῇς ἐν μὲν νόος ἐστὶ μετὰ φρεσὶν, ἐν δὲ καὶ αὐδὴ,
Καὶ σθένος, ἀθανάτων δὲ θεῶν ἄπο ἔργα ἴσασιν. 420
Αἱ μὲν ὕπαιθα ἄνακτος ἐποίπνυον· αὐτὰρ ὁ ἕῤῥων,
Πλησίον, ἔνθα Θέτις περ, ἐπὶ θρόνου ἷζε φαεινοῦ,
Ἓν τ᾽ ἄρα οἱ φῦ χειρὶ, ἔπος τ᾽ ἔφατ᾽, ἔκ τ᾽ ὀνόμαζε·
‘ Τίπτε, Θέτι τανύπεπλε, ἱκάνεις ἡμέτερον δῶ,
‘ Αἰδοίη τε, φίλη τε; πάρος γε μὲν ἔτι θαμίζεις. 425
‘ Αὖδα ὅ, τι φρονέεις· τελέσαι δέ με θυμὸς ἄνωγεν,

407. ΖΩΑ. Τὰ τῆς ζωῆς χαριστήρια.

410. ΑΚ. Τόπῳ ᾧ ἁρμόζεται ὁ ἄκμων τῷ κορμῷ. ΠΕ. Μέγιστον. ΑΙ. Μέγα· πέλωρ αἴητον, πέλωρ μέγιστον· αἴητον δὲ τὸ μέγα· ἢ πελώριος ὁ μετέωρος· ἀπὸ μεταφορᾶς δὲ τὸ αἴητον ἀπὸ τῆ αἰετῶν· κατὰ γὰρ τὴν πτῆσιν οἱ αἰετοὶ πολύ τι ἑαυτὸς βαστάζουσι· κακῶς ἓν ὑφ᾽ ἓν μέρος ἀναγνόντες πελωραίητον ἀποδιδοῦσι· τὸ μέγα, ἀπὸ τοῦ μεγέθους.

411. ΑΡ. Αἱ δὲ ἀσθενεῖς καὶ λεπταὶ αὐτοῦ κνῆμαι ὑπερεκινοῦντο μετὰ κακοπαθείας.

412. ΟΠΛΑ. Νῦν, τὰ χαλκευτικὰ ἐργαλεῖα.

413. ΛΑΡ. Κιβωτόν. ΤΟΙΣ. Οἷς εἰργάζετο, καὶ ἐνήργει.

415. ΛΑΧ. Τετριχωμένα.

416. ΣΚΗΠ. Τὴν βακτηρίαν.

417. ΡΩ. Συνεξώρμων δὲ αὐτῷ.

418. ΝΕ. Νεανίαις.

420. ΑΘΑ. Παρὰ δὲ τῶν θεῶν τὰ ἔργα εἰσὶ διδιδαγμένα.

421. ΥΠΑΙ. Εἰς τὔμπροσθεν. ΕΠΟΙ. Ἐνήργων. ΕΡ. Κυρίως μὲν, μετὰ κακοπαθείας καὶ φθορᾶς παραγινόμενος· νῦν δὲ, μάλις, διὰ τὴν χρηστότητα.

Εἰ δύναμαι τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐστί·
Τὸν δ' ἠμείβετ' ἔπεπα Θέτις κατὰ δάκρυ χέουσα·
Ἤφαιστ', ἦ ἄρα δή τις, ὅσαι θεαί εἰσ' ἐν Ὀλύμπῳ,
Τοσσάδ' ἐνὶ φρεσὶν ἧσιν ἀνέσχετο κήδεα λυγρὰ, 430
Ὅσσ' ἐμοὶ ἐκ πασέων Κρονίδης Ζεὺς ἄλγε' ἔδωκεν;
Ἐκ μέν μ' ἀλλάων ἁλιάων ἀνδρὶ δάμασσεν,
Αἰακίδῃ Πηλῆϊ, καὶ ἔτλην ἀνέρος εὐνὴν,
Πολλὰ μάλ' οὐκ ἐθέλουσα· ὁ μὲν δὴ γήραϊ λυγρῷ
Κεῖται ἐνὶ μεγάροις ἀρημένος· ἄλλα δέ μοι νῦν. 435
Υἱὸν ἐπεί μοι δῶκε γενέσθαι τε, τραφέμεν τε,
Ἔξοχον ἡρώων, ὁ δ' ἀνέδραμεν ἔρνεϊ ἴσος·
Τὸν μὲν ἐγὼ θρέψασα, φυτὸν ὡς γουνῷ ἀλωῆς,
Νηυσὶν ἐπιπροέηκα κορωνίσιν Ἴλιον εἴσω,
Τρωσὶ μαχησόμενον· τὸν δ' οὐχ ὑποδέξομαι αὖτις 440
Οἴκαδε νοστήσαντα, δόμον Πηλήϊον εἴσω·
Ὄφρα δέ μοι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
Ἀχνυται, οὐδέ τί οἱ δύναμαι χραισμῆσαι ἰοῦσα.
Κούρην ἣν ἄρα οἱ γέρας ἔξελον υἷες Ἀχαιῶν,
Τὴν αὖ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων. 445
Ἤτοι ὁ τῆς ἀχέων φρένας ἔφθιεν· αὐτὰρ Ἀχαιοὺς
Τρῶες ἐπὶ πρύμνῃσιν ἐείλεον, οὐδὲ θύραζε
Εἴων ἐξιέναι· τὸν δὲ λίσσοντο γέροντες
Ἀργείων, καὶ πολλὰ περικλυτὰ δῶρ' ὀνόμαζον.
Ἔνθ' αὐτὸς μὲν ἔπειτ' ἠνήνατο λοιγὸν ἀμῦναι· 450
Αὐτὰρ ὁ Πάτροκλον περὶ μὲν τὰ ἃ τεύχεα ἔσσε,

430. ΑΝΕ. Ὑπέμεινεν, ἀνεδέξατο.
435. ΑΡΗ. Παρειμένος, βεβλαμμένος. ΑΛ. Ἀπὸ κοινοῦ προσληπτέον τὸ, ἔδωκε κακά.
438. ΓΟΥ. Τῷ γονίμῳ τόπῳ τῆς γῆς.
444. ΕΞ. Ἐξαίρετον ἔδωκαν.
446. ΑΧΕ. Λυπούμενος. ΕΦ. Ἀντὶ τοῦ, τέτηκεν.
447. ΕΕΙ. Συνείλεν, συνέκλεισαν.

'Πέμπε δέ μιν πόλεμόνδε, πολὺν δ' ἅμα λαὸν ὄπασσε.
'Πᾶν δ' ἦμαρ μάρναντο περὶ Σκαιῇσι πύλῃσι·
'Καί νύ κεν αὐτῆμαρ πόλιν ἔπραθον, εἰ μὴ Ἀπόλλων
'Πολλὰ κακὰ ῥέξαντα Μενοιτίου ἄλκιμον υἱὸν 455
'Ἕκταν' ἐνὶ προμάχοισι, καὶ Ἕκτορι κῦδος ἔδωκε.
'Τοὔνεκα νῦν τὰ σὰ γούνατ' ἱκάνομαι, αἴ κ' ἐθέλῃθα
'Υἷ' ἐμῷ ὠκυμόρῳ δόμεν ἀσπίδα καὶ τρυφάλειαν,
'Καὶ καλὰς κνημῖδας, ἐπισφυρίοις ἀραρυίας,
'Καὶ θώρηκ'· ὃ γὰρ ἦν οἱ, ἀπώλεσε πιστὸς ἑταῖρος, 460
'Τρωσὶ δαμείς· ὁ δὲ κεῖται ἐπὶ χθονὶ θυμὸν ἀχεύων.'
Τὴν δ' ἠμείβετ' ἔπεια περικλυτὸς Ἀμφιγυήεις·
'Θάρσει, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.
'Αἴ γάρ μιν θανάτοιο δυσηχέος ὧδε δυναίμην
'Νόσφιν ἀποκρύψαι, ὅτε μιν μόρος αἰνὸς ἱκάνοι· 465
'Ὡς οἱ τεύχεα καλὰ παρέσσεται, οἷά τις αὖτε
'Ἀνθρώπων πολέων θαυμάσσεται, ὅς κεν ἴδηται.'
Ὡς εἰπὼν, τὴν μὲν λίπεν αὐτοῦ, βῆ δ' ἐπὶ φύσας·
Τὰς δ' ἐς πῦρ ἔτρεψε, κέλευσέ τε ἐργάζεσθαι·
Φῦσαι δ' ἐν χοάνοισιν ἐείκοσι πᾶσαι ἐφύσων, 470
Παντοίην εὔπρηστον ἀϋτμὴν ἐξανιεῖσαι,
Ἄλλοτε μὲν σπεύδοντι παρέμμεναι, ἄλλοτε δ' αὖτε,
Ὅππως Ἥφαιστός τ' ἐθέλοι, καὶ ἔργον ἄνοιτο.
Χαλκὸν δ' ἐν πυρὶ βάλλεν ἀτειρέα, κασσίτερόν τε,
Καὶ χρυσὸν τιμῆντα, καὶ ἄργυρον· αὐτὰρ ἔπειτα 475
Θῆκεν ἐν ἀκμοθέτῳ μέγαν ἄκμονα· γέντο δὲ χειρὶ

460. ΓΑΡ. Οὕτως γὰρ ἦν αὐτῷ.
461. ΤΡΩ. Ἀντὶ τοῦ, ὑπὸ τῶν Τρώων ἀναιρεθείς.
470. ΧΟ. Χώνοις πηλίνοις, ἐν οἷς χωνεύεται τὰ μέταλλα.
471. ΕΥ. Εὐφύστατον. ΑΥΤ. Πνοήν. ΕΞ. Ἀφιεῖσαι.
472. ΠΑ. Παρεῖναι.
473. ΑΝΟΙ. Ἀνύοιτο, τελειοῖτο.
474. ΑΤΕΙ. Ἀκαταπόνητον.

Ῥαιςῆρα κρατερὸν, ἑτέρῃφι δὲ γέντο πυράγρην.
Ποίει δὲ πρώτιςα σάκος μέγα τε, ςιβαρόν τε,
Πάντοσε δαιδάλλων, περὶ δ' ἄντυγα βάλλε φαεινὴν,
Τρίπλακα, μαρμαρέην, ἐκ δ' ἀργύρεον τελαμῶνα· 480
Πέντε δ' ἄρ' αὐτῇ ἔσαν σάκεος πτύχες· αὐτὰρ ἐν αὐτῷ
Ποίει δαίδαλα πολλὰ ἰδυίῃσι πραπίδεσσιν.
Ἐν μὲν γαῖαν ἔτευξ', ἐν δ' οὐρανὸν, ἐν δὲ θάλασσαν,
Ἠέλιόν τ' ἀκάμαντα, σελήνην τε πλήθουσαν,
Ἐν δὲ τὰ τείρεα πάντα, τά τ' οὐρανὸς ἐςεφάνωται, 485
Πληϊάδας θ', Ὑάδας τε, τό τε σθένος Ὠρίωνος,

477. ΡΑΙ. Σφύραν σιδηρᾶν· παρὰ τὸ ῥαίζειν. ΓΕΝ. Ἔλαβε. ΠΥ. Τὸν χαλκευτικὸν καρκίνον, τ' ὀξύλαβον· παρὰ τὸ τὰ ἐν τῷ πυρὶ ἀγρεύειν.

479. ΠΑΝ. Εἰς πᾶν μέρος δαίδαλα ἐνθεὶς· ὅ ἐςι, ποικίλλων αὐτό. ΑΝ. Τὸν ἔξωθεν τ' ἀσπίδος κύκλον.

480. ΤΡΙ. Τριπλῆν, τρίπτυχον· πτύχας γὰρ, τὰ ἐλάσματα τ' ἀσπίδος.

482. ΙΔΥΙ. Ἐμπείροις.

483. ΕΝ. Ἐγκατεσκεύασε δὲ τῇ ἀσπίδι, οὐρανὸν καὶ γῆν.

484. ΑΚΑ. Τὸν ἀκατάπονον, καὶ ἄοκνον. ΠΛΗ. Τὴν οἷον πεπληρωμένην, καὶ ἐγκύμονα τοῦ ἡλιακοῦ φωτός· λέγει δὲ τὴν πανσέληνον· εἴρηται δὲ σελήνη, οἱονεὶ σέλας νέον.

485. ΤΕΙ. Τὰ ἄςρα· παρὰ τὸ τετατῶσθαι, καὶ σημειοῦσθαι ταῦτα εἶναι. ΕΣ. Οἷς κεκόσμηται ὁ οὐρανός.

486. ΠΛΗ. Ἑπτὰ ἀςέρες εἰσὶ κείμενοι ἐπὶ τὴν πλευρὰν τοῦ Ταύρου· ὁ γὰρ Ταῦρος σῶος οὐκ ἀνιςόρηται, ἀλλ' ἕως τῆς ἰσχίων· αὗται δέ εἰσιν Ἄτλαντος, καὶ Πληϊόνης θυγατέρες· ἓν τὰ ὀνόματα, Μαῖα, Ταϋγέτη, Κελαινὼ, Μερόπη, Ἠλέκτρα, Στερόπη, Ἀλκυόνη. Ἄτλας, εἷς τῶν γιγάντων, μιγεὶς Πληϊόνῃ, τῇ Ὠκεανοῦ, ἔσχε θυγατέρας ἑπτὰ, αἳ τὴν παρθενείαν ἀγαπήσασαι, συνεκυνήγουν τῇ Ἀρτέμιδι· θεασάμενος δὲ Ὠρίων, ἠράσθη καὶ ἐδίωκεν αὐτὰς, μιγῆναι βουλόμενος· αἱ δὲ περικαταλήπτοι γιγνόμεναι, θεοῖς ηὔξαντο μεταβαλεῖν τὴν φύσιν. Ζεὺς δὲ ἐλεήσας αὐτὰς Πελειάδας ἐποίησε, καὶ δι' αὐτῶν ἄςρον καθηςέρισεν· ὠνομάσθησαν δὲ Πληϊάδες ἀπὸ Πληϊόνης τῆς μητρὸς αὐτῶν· φασὶ δὲ Ἠλέκτραν, οὐ βουλομένην τὴν Ἰλίου πόρθησιν θεάσασθαι, διὰ τὸ κτίσμα εἶναι τῶν ἀπογόνων, καταλιπεῖν τὸν τόπον ἔνθα κατηςέρισε· διόπερ οὖσας πρότερον ἑπτὰ, γενέσθαι ἕξ· ἡ ἱςορία παρὰ τοῖς Κυκλικοῖς. ΥΑ. Τὰς ἐπὶ τῶν κεράτων τοῦ Ταύρου ἑπτὰ ἀςέρας κειμένους καλεῖται δὲ Ὑάδες, ἤτοι διὰ τὴν πρὸς τὸ υ ςοιχεῖον ὁμοιότητα· ἢ, ἐπειδὴ αἴτιοι ὄμβρων, καὶ ὑετῶν καθίςανται. Ζεὺς ἐκ τοῦ μηροῦ γεννηθέντα Διόνυσον, ταῖς Δωδωνίσι νύμφαις τρέφειν ἔδωκεν, Ἀμβροσία, Κορωνίδι, Εὐδώρῃ, Διώνῃ, Αἰσύλῃ, Πολυξοῖ· αὗται θρέψασαι τ' Διόνυσον, περιήεσαν σὺν αὐτῷ, τὴν εὑρεθεῖσαν ἄμπελον ὑπὸ τοῦ θεοῦ τοῖς ἀνθρώποις χαριζόμεναι. Λυκοῦργος δὲ μέχρι τῆς θαλάσσης συνεδίωξε τ' Διόνυσον· ἐκείνας δὲ ἐλεήσας ὁ Ζεὺς κατηςέρισεν· ἡ ἱςορία παρὰ Φερεκύδῃ. ΠΛΗ. Τὰς μὲ κατηςερισμένας ἐν τῷ μεσόπῳ τοῦ Ταύρου Ὑάδας φασὶν εἰρῆσθαι· τὰς δὲ ἐπὶ τῆς ἡμιτόμου πλευρᾶς, Πλειάδας καλεῖσθαι. Ἄτλαντι γὰρ τοῦ Ἰαπετοῦ, καὶ Αἴθρα τῇ Ὠκεανοῦ, καθά φησι Τίμαιος, θυγατέρες δώδεκα,

Ἄρκτον θ', ἣν καὶ ἅμαξαν ἐπίκλησιν καλέουσιν,

καὶ υἱὸς, Ὕας· τοῦτον ἐν Λιβύῃ κυνηγεῦντα, ὄφις κτείνει· καὶ αἱ μὲ πέντε τὸν ἀδελφὸν θρηνοῦσαι ἀπόλλυται· τὰς δ' λοιπὰς δὴ οἶκτον καταστήσας Ζεὺς, Ὑάδας ἐπωνόμασεν, ἐπωνύμως τοῦ ἀδελφοῦ· αἱ δ' πλείονες ἑπτὰ, βραδέως μὲν, πλὴν ἀποθανοῦσαι, Πληϊάδες εἴρηνται. Φερεκύδης δὲ, καθάπερ εἴρηται, τὰς Ὑάδας Δωδωνίδας νύμφας φησὶν εἶναι, καὶ Διονύσου τροφούς· ἃς παραπαταθέσθαι τὸ Διόνυσον Ἰνοῖ, διὰ τὸν τῆς Ἥρας φόβον· καθ' ὃν καιρὸν καὶ αὐτὰς Λυκοῦργος ἐδίωξε· τὸ δὲ Πληϊάδων ὀνόμα ἐπὶ, πάνυ ἀμαυρὸς ὁ ἑβδομος ἀστήρ· ὡς μὲν Ἄρατος ἐν τῷ περὶ Θεόπρεπον ἐπικηδείῳ φησί. Τρόπον πορθουμένης τὴν Δαρδάνου μητέρα Ἠλέκτραν μίαν οὖσαν τῶν Πληϊάδων, φυγεῖν τε τὴν τοῦ ἀδελφῶν συνοδίαν, καὶ τὰς κόμας λύσασαν, ἐνίοτε κομήτην ἀστέρα φαίνεσθαι· φησὶ δὲ καὶ Ἑλλάνικος ἐν τῷ πρώτῳ τῶν Ἀτλαντιδῶν, τὰς μὲν ἐξ θεοῖς συνελθεῖν, Ταϋγέτην Διὶ, ὧν γενέσθαι Λακεδαίμονα. Μαῖαν Διὶ, ἀφ' ὧν Ἑρμῆς. Ἠλέκτραν Διὶ, ὧν Δάρδανος. Ἀλκυόνην Ποσειδῶνι, ὧν Ὑρεύς. Στερόπην Ἄρει, ὧν Οἰνόμαος. Κελαινὼ Ποσειδῶνι καὶ αὐτὴν συγγενέσθαι, ὧν Λύκος. Μερόπην δὲ Σισύφῳ, θνητῷ ὄντι, ὧν Γλαῦκος, ἢν καὶ ἀμαυραὶ εἶναι. Ὑάδας δὲ εἰρῆσθαι, ἤτοι παρὰ τὸ χῆμα τῆς τῶν ἀστέρων θέσεως· τῷ γὰρ υ τοιχείῳ παραπλήσιόν ἐστιν, ἢ ἐπεὶ ἀνατελλουσῶν αὐτῶν καὶ δυνουσῶν ὕει ὁ Ζεύς· αἱ δὲ Πληϊάδες, ἤτοι ἀπὸ τῆς μητρὸς αὐτῶν Πλειόνης· ἢ ὅτι πλείους ὁμοῦ κατὰ μίαν συναγωγὴν εἰσι, βότρυν γοῦν αὐτὰς λέγουσιν· ἢ ὅτι πλείους μὲν εἶναι δοκοῦσιν, ἐπὶ δὲ τῆς ἀληθείας ἐλάττους εἰσίν· ἢ Πλησιάδας, πλησίον γὰρ κεῖνται· ἢ ὅτι πλείας δ' αὐτὰς αἱ τῶν ὡρῶν ἐπισημασίαι· ἢ ὅτι πλειόνος, ὅ ἐστιν, ἐπιαυτοῦ σημαντικαί· χειμῶνα γὰρ καὶ θέρος διορίζουσιν, καθότι ἐπιφέρονται, καὶ διὰ μόνων αὐτῶν σημειοῦνται τὰς ὥρας ἐπιτολὰς πρὸς θέρος, καὶ τὰς ἐσπερίας πρὸς ἄρετον· ὡς Ἡσίοδος,

Πληϊάδων Ἀτλαγενέων ἐπιτελλομενάων,
Ἄρχεσθ' ἀμητοῦ, ἀρότοιο δὲ, δυσσομενάων.

Τὰς δὲ Ἄτλαντος ἀτυχίας κλαιούσας αὐτὰς κατηστερίσθαι φησὶν Αἰσχύλος. Πληϊάδων δὲ ἀνατολὴ ἑῴα, ἡλίου ὄντος ἐν Διδύμοις· δύσις δὲ ἑῴα, κατὰ τὴν διάμετρον, ἡλίου ὄντος ἐν Σκορπίῳ. Ταύρου δὲ ὄντος, κατὰ τὸ εἰκὸς, ἑκατέρωθεν, ἐπίφασις γίγνεται· καὶ γὰρ τὸν προανατέλλοντα Κρόνον ἐπὶ πέντε ἡμέρας προκαταλάμπει, καταρχὰς ἐγγὺς ὢν αὐτοῦ, καὶ τοὺς προανατέλλοντας Διδύμους ἐπ' ἄλλας ἡμέρας πέντε, ὥσπερ τι καιόμενον πῦρ θέρμης ἀπόρροιαν ἔχει βραχεῖαν καὶ πρὸς τοὺς ἑκατέρωθεν· διὰ τοῦτο καὶ Ἡσίοδος ἔφη.

Αἱ δή τοι νύκτας τε καὶ ἤματα τεσσαράκοντα
Κεκρύφαται· διότι καταυγάζονται.

ΣΘ. Περιφραστικῶς, τὸ Ὠρίωνα· ὁ δὲ Ὠρίων ἐστὶν ἄστρον μέγιστον ἐν τῷ οὐρανῷ, καθηστερισμένον ὕτως. Ὑρεὺς, ὁ Ποσειδῶνος καὶ Ἀλκυόνης, μιᾶς τοῦ Ἀτλαντος θυγατέρων, ᾤκει μὲν ἐν Τανάγρῃ τῇ Βοιωτείας· φιλοξενώτατος δὲ ὢν ὑπεδέχετο ποτὲ καὶ θεούς· Ζεὺς δὲ καὶ Ποσειδῶν, καὶ Ἑρμῆς ἐπιξενωθέντες αὐτῷ, καὶ τὴν φιλοφροσύνην ἀποδεξάμενοι, παρήνεσαν αἰτεῖν ὅτι ἂν βούλοιτο· ὁ δὲ ἄτεκνος ὤν, ἠτήσατο παῖδα· λαβόντες οὖν οἱ θεοὶ τὴν τοῦ ἱερεργηθέντος αὐτοῖς βοὸς βύρσαν, ἀπεσπέρμηναν εἰς αὐτὴν, καὶ ἐκέλευσαν κρύψαι κατὰ γῆν, καὶ μετὰ δέκα μῆνας ἀνελέσθαι· ὃν διελθόντων ἐγένετο ὁ Οὐρίων, ὕτως ὀνομασθεὶς διὰ τὸ οὐρῆσαι ὥσπερ τοὺς θεοὺς, ἔπειτα κατ' εὐφημισμὸν, Ὠρίων· συγκυνηγῶν δὲ ὕτος Ἀρτέμιδι, ἐπεχείρησεν αὐτὴν βιάσασθαι· ὀργισθεῖσα δὲ ἡ θεὸς, ἀνέδωκεν ἐκ τῆς γῆς σκορπίον, ὃς αὐτὸν πλήξας κατὰ τὸ ἀγράγκλον, ἀπέκτεινε. Ζεὺς δὲ συμπαθήσας κατηστέρισεν αὐτόν· διὸ τοῦ Σκορπίου ἀνατέλλοντος, Ὠρίων δύνει· ἡ ἱστορία παρ' Εὐφορίωνι.

487. ΑΡΚ. Ἄρκτοι δύο δίκυνδαι ἐν τῷ βορείῳ κλίματι· αὕτη τε ἡ μεγάλη, ἡ

Ἥτ' αὐτῆ τρέφεται, καί τ' Ὠρίωνα δοκεύει·
Οἴη δ' ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο.
Ἐν δὲ δύο ποίησε πόλεις μερόπων ἀνθρώπων 490
Καλάς· ἐν τῇ μέν ῥα γάμοι τ' ἔσαν, εἰλαπίναι τε·
Νύμφας δ' ἐκ θαλάμων δαΐδων ὕπο λαμπομενάων

καλουμένη καὶ Ἄμαξα, διὰ τὸ εἰς ἁμάξης τύπον κατηστερίσθαι· καὶ ἐγγὺς ἐκείνης ἡ μικρὰ, ἡ Κυνόσουρα καλουμένη, διὰ τὸ ὡς κυνὸς ἔχειν ἀνακεκλασμένην τὴν οὐράν· ἧς Ὅμηρος ὐ μέμνηται· ὡς ὕστερον εὑρεθείσης ὑπὸ Θαλοῦ τοῦ Μιλησίου, ἑνὸς τῶν ἑπτὰ σοφῶν. Ζεὺς Καλλιστῶ τ Λυκάονος ἐρασθεὶς, ἐμίσγετο αὐτῇ, λανθάνων Ἥραν· ἐπιγνοῦσα δὲ ἡ θεὸς μετέβαλλεν αὐτὴν εἰς ἄρκτον, καὶ ὡς θηρίον Ἀρτέμιδι προσέταξε τοξεῦσαι. Ζεὺς δὲ εἰς οὐρανὸν αὐτὴν ἀναγαγὼν, πρώτην κατηστέρισεν· ἡ ἱστορία παρὰ Καλλιμάχῳ.

488. ΗΤ. Ἥτις περὶ τὸν Ἀρκτικὸν καὶ ἀειφαῆ καλούμενον κύκλον, ἤτοι πόλον, τρέφεται, καὶ ἐπιτηρεῖ τὸν Ὠρίωνα, νεύουσα εἰς αὐτὸν, ὡς κυνηγέτην· βλέπει γὰρ ἡ μεγάλη Ἄρκτος πρὸς τὸ Ὠρίωνος ἄστρον. ΑΥ. Ἀντὶ τοῦ, περὶ τὸν αὐτὸν τόπον, ὡς μὴ καταδυομένη.

489. ΟΙΗ. Ἀντὶ τοῦ, μόνη οὐ δύνει εἰς τὸν ὠκεανόν· αἱ γὰρ Ἄρκτοι ὐ δύνουσιν, οὖσαι ἐν τῷ ἀεὶ φανερῷ· αἵ εἰσιν ἀμφότεραι τοῦ ἀπ' αὐτῶν καλουμένου πόλου Ἀρκτικοῦ· μόνη ὂν δηλονότι τῶν κατηστερισμένων ἄμοιρός ἐστι τῶν ὠκεανοῦ ῥείθρων, καὶ ὐ καταδύεται· ἐπεί τοι καὶ ἄλλα τινά ἐστιν ἀειφανῆ, ὅσα ὁ Ἀρκτικὸς ἀποτέμνεται κύκλος· ἔστι δὲ ἥτε Κυνόσουρα καλουμένη Ἄρκτος· καὶ ὁ δι' ἀμφοτέρων τῶ Ἄρκτων Δράκων, καὶ ἡ χεὶρ τοῦ Βοώτου, μέρη τε τοῦ Κηφέως τὰ ἀπὸ ἰξύος μέχρι ποδῶν. ΑΜΜΟ. Ἀμέτοχος, ἄμοιρος. ΛΟ. Ἀντὶ τοῦ, δύσεως.

491. ΕΙ. Θυσίαι, ἑορταί τίνες εἰσὶν αἱ δύο πόλεις, ἃς φησιν ἐν τῇ Ἀστιδοποιΐᾳ, Ἐν ᾗ δύω ποίησε πόλεις; Ἀγαλλίας ὁ Κερκυραῖος, ὁ Ἀριστοφάνους γνώριμος, εἶπε τὰς δύο πόλεις εἶναι Ἀθήνας καὶ Ἐλευσῖνα, κατασκευάζων ὕστως, τὴν μὲν προτέραν, ἐπεὶ κατὰ γένεσιν τοῦ κόσμου πρώτη πόλις Ἀθῆναι· μετὰ δὲ τὴν φύσιν τῶν στοιχείων ὁ θεὸς τὴν πόλιν τειχοποιεῖ· ἐπιφέρει δὲ γάμους καὶ ὑμεναίους· ἐν γὰρ Ἀθήναις ταῦτα πρῶτον ἤχθη· αὐλές τε ἐν τοῖς γάμοις εὗρεν Ἀθηνᾶ· δίκας τε ἐν τῇ πόλει· παρὰ γὰρ Ἀθηναίοις πρῶτον ἐγένετο δικαστήριον ἐπὶ Ἀλιρρόθιῳ τοῦ Ποσειδῶνος· οἱ δὲ δικαστὰ Ἀθήνησι μισθὸν λαμβάνουσι, καὶ ἀρχαῖοι τὸ λέγει κεῖσθαι ἐν τῷ μέσῳ χρυσοῦ δύο τάλαντα. Τὴν δευτέραν πόλιν οὖσαν Ἐλευσῖνα· πόλεμον δὲ Ἀθηναῖοι ἔχον πρὸς Ἐλευσινίους, ὃν ἐπολέμησεν Εὔμολπος, ὁ Ποσειδῶνος· βοηθοὶ ᾗ αὐτοῖς εἰσὶν Ἄρης τε καὶ Ἀθηνᾶ· ὁ μὲ χάριτας ἀποδιδοὺς, ὅτι ἀπελύθη, κριθεὶς ἐν Ἀρείῳ πάγῳ· ἡ δὲ ὅτι τῆς πόλεως, ὡς οἰκείας, ἐκήδετο· καὶ τὰ ἐπαγόμενα δὲ ἴδια Ἐλευσῖνος, εὐρεῖα τρίπολος· ἐπείπερ Ἐλευσῖνι πρῶτον καρπὸς Δημήτηρ ἔδωκεν· ἡ δὲ σαφυλὴ, ἡ κῷ μέγα βρίθουσαν ἀλωὴν, ἐπὶ Ἰκαρίῳ καὶ Διονύσου πορείᾳ· ὁ δὲ ποικιλλόμενος χορὸς, Ἀριάδνης καὶ Θησέως ἔχει πράξεις· ἴδιος δὲ καὶ ὁ τεχνίτης τῶν Ἀθηνῶν Ἥφαιστος. Ἐριχθονίῳ γὰρ τῷ υἱῷ χαριζόμενος βασιλεύοντι Ἀθηνῶν τὴν τοιαύτην κατασκευὴν παρήγαγε· τῇ ᾗ ἱερῷ κύκλῳ τ' Ἄρειον πάγον ἑρμηνεύει, οἵτε δικαστὰ Ἀθηναῖοι· διὰ ποίαν δὲ αἰτίαν μόνος ὁ Ὠκεανὸς πόλαμος ὐ πάρεστι τῇ ἐκκλησίᾳ τῶν θεῶν; ῥητέον, ὅτι ἐπεὶ συνεκτικὸν ἔχει τὸ ᾗ κόσμου ῥεῦμα, κατὰ τὸ,

Ὠκεανὸς, ᾧ πᾶσα περίῤῥυτος ἐνδέδεται χθών.

492. ΝΥΜ. Νῦν, τὰς γαμουμένας. ΔΑΙ. Ἀντὶ τοῦ, μετὰ λαμπάδων.

Ἠγίνεον ἀνὰ ἄστυ· πολὺς δ' ὑμέναιος ὀρώρει·
Κῦροι δ' ὀρχηστῆρες ἐδίνεον, ἐν δ' ἄρα τοῖσιν
Αὐλοὶ, φόρμιγγές τε βοὴν ἔχον· αἱ δὲ γυναῖκες
Ἱστάμεναι θαύμαζον ἐπὶ προθύροισιν ἑκάστη.
Λαοὶ δ' εἰν ἀγορῇ ἔσαν ἀθρόοι· ἔνθα δὲ νεῖκος
Ὠρώρει· δύο δ' ἄνδρες ἐνείκεον εἵνεκα ποινῆς
Ἀνδρὸς ἀποφθιμένου· ὁ μὲν εὔχετο πάντ' ἀποδοῦναι,
Δήμῳ πιφαύσκων· ὁ δ' ἀναίνετο μηδὲν ἑλέσθαι.
Ἄμφω δ' ἱέσθην ἐπὶ ἴστορι πεῖραρ ἑλέσθαι.
Λαοὶ δ' ἀμφοτέροισιν ἐπήπυον, ἀμφὶς ἀρωγοί·
Κήρυκες δ' ἄρα λαὸν ἐρήτυον· οἱ δὲ γέροντες
Εἵατ' ἐπὶ ξεστοῖσι λίθοις, ἱερῷ ἐνὶ κύκλῳ·
Σκῆπτρα δὲ κηρύκων ἐν χέρσ' ἔχον ἠεροφώνων·
Τοῖσιν ἔπειτ' ἤϊσσον, ἀμοιβηδὶς δ' ἐδίκαζον.

493. ΗΓΙ. Ἤγον. ΥΜ. Ἐξῆπλο, διεγείγετο πλείστη γαμήλιος ᾠδή· τὸ δὲ Ὑμέναιον ἐτυμολογοῦσιν, οἱ μὲν, ἀπὸ τοῦ ναίειν ὁμοῦ τὸν νυμφίον, καὶ τὴν νύμφην· ἄλλοι δὲ φυσικῶς, ἐπεὶ ὑμήν ἐστιν ὁ ῥηγνύμενος ἐν τῇ τῶν παρθένων Δ[illegible]κορήσει· οἱ δὲ, ὅτι Ὑμέναιός τις Ἀργεῖος, παρατυλέων τὰς Ἀθήνας, κατέλαβεν Ἀττικὰς παρθένους, ἁρπαζομένας ὑπὸ Πελασγῶν τινῶν, αἷς ἐπιφανεὶς, αἴτιος ἐγένετο τοῦ μὴ βιασθῆναι, ἀποδώξας τοὺς Πελασγούς· διὰ γοῦν τοῦτο νομίμως γαμούμεναι, ὥσπερ προσκαλούμεναι αὐτὸν, ὕμνον τινὰ ἔλεγον εἰς αὐτὸν, ὃν ἐκάλουν Ὑμέναιον.

494. ΕΔΙ. Ἀνεγείροντο, ἐκινοῦντο.

497. ΝΕΙ. Ἐφιλονείκουν, ἠμφισβήτουν· δικαστήριον εἰσάγει δύο τινὰς ἀνδρῶν· ὧν ὁ μὲν ἐγκαλούμενος, ἀποδιδωκέναι λύτρα ὑπὲρ οὗ πεφονευμένου φησίν· ὁ δὲ ἐγκαλῶν, ἔλεγε μὴ εἰληφέναι· δύο δὲ τάλαντα χρυσοῦ κατέθεντο, ὥστε τὸν ἀποδείξαντα τὸ ἀληθὲς λαβεῖν ἀμφότερα· ποινὴν δὲ λέγει τὴν καλουμένην παρὰ τοῖς Ἀττικοῖς, ὑποφόνια· ἃ ἐδίδοσαν τοῖς οἰκείοις τῶν ἀνῃρημένων οἱ ἀνελόντες· λέγεται δὲ κοινῶς πᾶσα ἀντίκτισις, ποινή.

499. ΕΥ. Νῦν, διωρίζετο.

500. ΙΙΙ. Τῷ κοινῷ παντὶ δεικνὺς τὴν ἐμφανίζων. ΑΝΑΙ. Ἀπηρνεῖτο.

501. ΙΕΣ. Προεθυμοῦντο, ἐβούλοντο, ἔσπευδον. ΙΣ. Μάρτυρι, ἢ κριτῇ· ἀμφότεροι δὲ ἐβούλοντο ἐπὶ μάρτυρι δικάσασθαι· τοῦτ' ἔστι παρέχοντες μάρτυρας· ὁ μὲ, τὸ διδωκέναι, ὁ δὲ, οὗ μὴ εἰληφέναι τὰ ὑποφόνια. ΠΕΙ. Πέρας.

502. ΕΠΗ. Ἐνήργουν· τὸ δὲ πλῆθος εἰς τὰς δικάζοντας διῃρημένως ἐβόα. ΑΜ. Χωρὶς ἑκατέρῳ οἱ ἴδιοι βοηθοί.

503. ΓΕ. Οἱ δικασταὶ δηλονότι.

504. ΙΕ. Τῷ μεγίστῳ δικαστηρίῳ· ἐπεὶ τὸ δίκαιον ἀποδιδοῦσιν ἑκάστῳ ἐν ἀφιερωμένῳ τόπῳ.

505. ΗΕ. Μεγαλοφώνων, ἢ τῶν τὸν ἀέρα πληττόντων τῇ φωνῇ· φωνὴ γάρ ἐστιν, ὡς Ἀπολλώνιός φησιν, ἀὴρ πεπληγμένος.

506. ΤΟΙ. Ἀντὶ τοῦ, σὺν οἷς σκήπτροις ἐπὶ τὸ δημηγορεῖν ὥρμων· ἔπειτ δὲ ἤϊσσον, κατεσίγαζον· ἢ ὅτι ἀεὶ συνδι-

Κεῖτο δ' ἄρ' ἐν μέσσοισι δύο χρυσοῖο τάλαντα,
Τῷ δόμεν, ὃς μετὰ τοῖσι δίκην ἰθύνταται ἔπῃ.
Τὴν δ' ἑτέρην πόλιν ἄμφι δύο στρατοὶ εἵατο λαῶν,
Τεύχεσι λαμπόμενοι· δίχα δέ σφισιν ἥνδανε βουλή, 510
Ἠὲ διαπραθέειν, ἢ ἄνδιχα πάντα δάσασθαι,
Κτῆσιν, ὅσην πτολίεθρον ἐπήρατον ἐντὸς ἔεργει.
Οἱ δ' ὄπω πείθοντο, λόχῳ δ' ὑπεθωρήσσοντο.
Τεῖχος μέν ῥ' ἄλοχοί τε φίλαι, καὶ νήπια τέκνα,
Ῥύατ' ἐφεσταότες, μετὰ δ' ἀνέρες, οὓς ἔχε γῆρας. 515
Οἱ δ' ἴσαν· ἦρχε δ' ἄρα σφιν Ἄρης καὶ Παλλὰς Ἀθήνη,
Ἄμφω χρυσείω, χρύσεια δὲ εἵματα ἕσθην,
Καλὼ καὶ μεγάλω σὺν τεύχεσιν, ὥστε θεώ περ,
Ἀμφὶς ἀριζήλω· λαοὶ δ' ὑπολίζονες ἦσαν.
Οἱ δ' ὅτε δή ῥ' ἵκανον, ὅθι σφίσιν εἶκε λοχῆσαι, 520
Ἐν ποταμῷ, ὅθι τ' ἀρδμὸς ἔην πάντεσσι βοτοῖσιν,
Ἔνθ' ἄρα τοίγ' ἵζοντ', εἰλυμένοι αἴθοπι χαλκῷ.
Τοῖσι δ' ἔπειτ' ἀπάνευθε δύω σκοποὶ εἵατο λαῶν,
Δέγμενοι ὁππότε μῆλα ἰδοίατο καὶ ἕλικας βοῦς.
Οἱ δὲ τάχα προγένοντο, δύω δ' ἅμ' ἕποντο νομῆες, 525
Τερπόμενοι σύριγξι· δόλον δ' ὄτι προνόησαν.

τίθεντο τοῖς λόγοις. ΑΜΟΙ. Ἐν μέρει δὲ ἀκούοντες ἐδίκαζον· ὅ ἐστι, κατὰ ἐναλλαγὴν ἀποφαίνων τὴν ἑαυτοῦ γνώμην ἕκαστος.

508. ΙΘΥΝ. Δικαιόταῖα, ὀρθόταῖα.

509. ΔΥΟ. Ἓν στράτευμα νοηθὲν εἰς δύο διῃρημένον· πολιορκία γὰρ ἦν, καὶ οὐ πεδιὰς ἡ μάχη.

510. ΔΙ. Σημειοῦται, ὅτι οἱ ἐπιστρατεύσαντες πόλει τινὶ, καὶ μετὰ σποιδῶν ἀπαλλασσόμενοι, ἐλάμβανον παρὰ τῶν πολεμουμένων τὸ ἥμισυ τῶν ἐν τῇ πόλει κτημάτων.

512. ΕΠΗ. Ἐπίρατον, καλόν. ΕΕΡ. Φυλάττει, ἐπέχει.

513. ΛΟ. Εἰς ἐνέδραν παρεσκευάζοντο.

514. ΤΕΙ. Εἰς τὸ ῥύατο γικτέον· τὸ δὲ ἐφεσταότες, τῷ ἀνέρες συντακτέον.

517. ΕΣ. Περιβεβλημένοι ἦσαν, ὅτι δὲ, ἐκάθευδον.

519. ΑΜ. Χωρὶς ἑκάτεροι διαίδηλοι. ΥΠ. Οἱ δὲ ὄχλοι ἐλάττονες καὶ μικρότεροι ἦσαν.

520. ΕΙ. Ἐνεχώρει, ὥστε ἐνεδρεῦσαι.

521. ΑΡΔ. Ποτισμός· ἀρδμὸς δὲ, ἡ φιλία. ΒΟ. Βοσκήμασιν.

522. ΕΙ. Περιβεβλημένοι, κεκαλυμμένοι.

526. ΠΡΟ. Οὐ προεσκόπησαν.

Οἱ μὲν τὰ πρωϊδόντες ἐπέδραμον, ὦκα δ' ἔπειτα
Τάμνοντ' ἄμφι βοῶν ἀγέλας καὶ πώεα καλὰ
Ἀργεννῶν οἰῶν· κτεῖνον δ' ἐπὶ μηλοβοτῆρας.
Οἱ δ' ὡς ἓν ἐπύθοντο πολὺν κέλαδον παρὰ βυσσῖν, 530
Ἰράων προπάροιθε καθήμενοι, αὐτίκ' ἐφ' ἵππων
Βάντες ἀερσιπόδων μετεκίαθον, αἶψα δ' ἵκοντο.
Στησάμενοι δ' ἐμάχοντο μάχην ποταμοῖο παρ' ὄχθας,
Βάλλον δ' ἀλλήλους χαλκήρεσιν ἐγχείῃσιν.
Ἐν δ' Ἔρις, ἐν δὲ Κυδοιμὸς ὁμίλεον, ἐν δ' ὀλοὴ Κὴρ, 535
Ἄλλον ζωὸν ἔχουσα νεότατον, ἄλλον ἄουτον,
Ἄλλον τεθνειῶτα κατὰ μόθον ἕλκε ποδοῖιν·
Εἷμα δ' ἔχ' ἀμφ' ὤμοισι δαφοινεὸν αἵματι φωτῶν.
Ὡμίλευν δ', ὥςε ζωοὶ βροτοὶ, ἠδ' ἐμάχοντο,
Νεκρούς τ' ἀλλήλων ἔρυον κατατεθνειῶτας. 540
Ἐν δ' ἐτίθει νειὸν μαλακὴν, πίειραν ἄρουραν,
Εὐρεῖαν, τρίπολον· πολλοὶ δ' ἀροτῆρες ἐν αὐτῇ
Ζεύγεα δινεύοντες ἐλάςρεον ἔνθα καὶ ἔνθα.
Οἱ δ' ὁπότε ςρέψαντες ἱκοίατο τέλσον ἀρούρης,
Τοῖσι δ' ἔπειτ' ἐν χερσὶ δέπας μελιηδὲς οἴνου 545
Δόσκεν ἀνὴρ ἐπιών· τοὶ δὲ ςρέψασκον ἀν' ὄγμους,

528. ΤΑΜ. Περιίταμνον, περιήρουν, ἀπεχώριζον. ΠΩ. Τὰ ποίμνια.

529. ΜΗΛΟ. Βοσκήτορας, νομέας.

531. ΙΡΑ. Πρὸ τῶν ἀγορῶν, ὅ ἐςιν, ἐκκλησιῶν· ἀπὸ τοῦ εἴρειν ἐν αὐταῖς καὶ λέγειν· ὅθεν ὁ ἴρος.

532. ΑΕΡ. Αἰρόντων εἰς ὕψος τοὺς πόδας ἐν τῇ πορείᾳ. ΜΕ. Μετήρχοντο.

535. ΟΜΙ. Ἀνεςρίφοντο.

536. ΝΕ. Νεωςὶ τετρωμένον. ΑΟΥ. Ἄτρωτον.

538. ΔΑ. Ἤτοι φοινικῇ χρώματος πεποιημένον· ἢ αἵματι διάβροχον, πεφοινιγμένον.

539. ΩΜΙ. Ἀντὶ Ψ, παριτάσσοντο, συνανεςρέφοντο.

540. ΕΡΥ. Εἵλκον.

541. ΝΕΙ. Τὴν λεγομένην νεατόν· ὅ ἐςι, νεωςὶ ἠροτριασμένην· ἀπαλὴν, καὶ διακεχυμένην· ὡς γὰ νέα φαίνεται ἡ τοιαύτη γῆ. ΠΙ. Λιπαρόγειον χωρίον.

542. ΤΡΙ. Τρὶς ἐςραμμένην, καὶ ἠροτριασμένην.

543. ΔΙ. Στρέφοντες τὴν ἄνω κάτω. ΕΛΑ. Ἤλαυνον.

544. ΤΕΛ. Τέλος, πέρας.

546. ΕΠΙ. Ἐπιρχόμενος. ΟΓ. Τὰς ἐπ' εὐθείας τοῦ ἔργου διεξόδους φασὶ, τὰς αὔλακας.

Κεῖτο δ' ἄρ' ἐν μέσσοισι δύο χρυσοῖο τάλαντα,
Τῷ δόμεν, ὃς μετὰ τοῖσι δίκην ἰθύνταται ἔπῃ.
Τὴν δ' ἑτέρην πόλιν ἄμφι δύο στρατοὶ εἵατο λαῶν,
Τεύχεσι λαμπόμενοι· δίχα δέ σφισιν ἥνδανε βουλή, 510
Ἠὲ διαπραθέειν, ἢ ἄνδιχα πάντα δάσασθαι,
Κτῆσιν, ὅσην πολίεθρον ἐπήρατον ἐντὸς ἔεργει.
Οἱ δ' ὄπω πείθοντο, λόχῳ δ' ὑπεθωρήσσοντο.
Τεῖχος μέν ῥ' ἄλοχοί τε φίλαι, καὶ νήπια τέκνα,
Ῥύατ' ἐφεσταότες, μετὰ δ' ἀνέρες, οὓς ἔχε γῆρας. 515
Οἱ δ' ἴσαν· ἦρχε δ' ἄρα σφιν Ἄρης καὶ Παλλὰς Ἀθήνη,
Ἄμφω χρυσείω, χρύσεια δὲ εἵματα ἕσθην,
Καλὼ καὶ μεγάλω σὺν τεύχεσιν, ὥστε θεώ περ,
Ἀμφὶς ἀριζήλω· λαοὶ δ' ὑπολίζονες ἦσαν.
Οἱ δ' ὅτε δή ῥ' ἵκανον, ὅθι σφίσιν εἶκε λοχῆσαι, 520
Ἐν ποταμῷ, ὅθι τ' ἀρδμὸς ἔην πάντεσσι βοτοῖσιν,
Ἔνθ' ἄρα τοίγ' ἵζοντ', εἰλυμένοι αἴθοπι χαλκῷ.
Τοῖσι δ' ἔπειτ' ἀπάνευθε δύω σκοποὶ εἵατο λαῶν,
Δέγμενοι ὁππότε μῆλα ἰδοίατο καὶ ἕλικας βοῦς.
Οἱ δὲ τάχα προγένοντο, δύω δ' ἅμ' ἕποντο νομῆες, 525
Τερπόμενοι σύριγξι· δόλον δ' ὄτι προνόησαν.

τίθεντο τοῖς λόγοις. ΑΜΟΙ. Ἐν μέρει δὲ ἀκούοντες ἐδίκαζον· ὅ ἐστι, κατὰ ἐναλλαγὴν ἀποφαίνων τὴν ἑαυτοῦ γνώμην ἕκαστος.

508. ΙΘΥΝ. Δικαιότατα, ὀρθότατα.

509. ΔΥΟ. Ἓν στράτευμα νοηθέον εἰς δύο διῃρημένον· πολιορκία γὰρ ἦν, καὶ οὐ πεδιὰς ἡ μάχη.

510. ΔΙ. Σημαίνεται, ὅτι οἱ ἐπιστρατεύσαντες πόλει τινὶ, καὶ μετὰ σποιδῶν ἀπαλλασσόμενοι, ἐλάμβανον παρὰ τῶν πολεμουμένων τὸ ἥμισυ τῶν ἐν τῇ πόλει κτημάτων.

512. ΕΠΗ. Ἐπίρατον, καλόν. ΕΕΡ. Φυλάττει, ἐπέχει.

513. ΛΟ. Εἰς ἐνέδραν παρεσκευάζοντο.

514. ΤΕΙ. Εἰς τὸ ῥύατο στικτέον· τὸ δὲ ἐφεσταότες, τῷ ἀνέρες συντακτέον.

517. ΕΣ. Περιβεβλημένοι ἦσαν, ὅτι δὴ, ἐκάθευδον.

519. ΑΜ. Χωρὶς ἑκάτεροι διάδηλοι. ΥΠ. Οἱ δὲ ὄχλοι ἐλάττονες καὶ μικρότεροι ἦσαν.

520. ΕΙ. Ἐνεχώρει, ὥστε ἐνεδρεῦσαι.

521. ΑΡΔ. Ποτισμός· ἀρδμὸς δὲ, ἡ φιλία. ΒΟ. Βοσκήμασιν.

522. ΕΙ. Περιβεβλημένοι, κεκαλυμμένοι.

526. ΠΡΟ. Οὐ προεσκόπησαν.

Οἱ μὲν τὰ προϊδόντες ἐπέδραμον, ὦκα δ' ἔπειτα
Τάμνοντ' ἄμφι βοῶν ἀγέλας καὶ πώεα καλὰ
Ἀργεννῶν οἰῶν· κτεῖνον δ' ἐπὶ μηλοβοτῆρας.
Οἱ δ' ὡς ὖν ἐπύθοντο πολὺν κέλαδον παρὰ βυσσὶν, 530
Ἱππάων προπάροιθε καθήμενοι, αὐτίκ' ἐφ' ἵππων
Βάντες ἀερσιπόδων μετεκίαθον, αἶψα δ' ἵκοντο.
Στησάμενοι δ' ἐμάχοντο μάχην ποταμοῖο παρ' ὄχθας,
Βάλλον δ' ἀλλήλους χαλκήρεσιν ἐγχείῃσιν.
Ἐν δ' Ἔρις, ἐν δὲ Κυδοιμὸς ὁμίλεον, ἐν δ' ὀλοὴ Κὴρ, 535
Ἄλλον ζωὸν ἔχουσα νεότατον, ἄλλον ἄουτον,
Ἄλλον τεθνειῶτα κατὰ μόθον ἕλκε ποδοῖιν·
Εἷμα δ' ἔχ' ἀμφ' ὤμοισι δαφοινεὸν αἵματι φωτῶν.
Ὡμίλευν δ', ὥστε ζωοὶ βροτοὶ, ἠδ' ἐμάχοντο,
Νεκρούς τ' ἀλλήλων ἕρυον κατατεθνειῶτας. 540
Ἐν δ' ἐτίθει νειὸν μαλακὴν, πίειραν ἄρουραν,
Εὐρεῖαν, τρίπολον· πολλοὶ δ' ἀροτῆρες ἐν αὐτῇ
Ζεύγεα δινεύοντες ἐλάστρεον ἔνθα καὶ ἔνθα.
Οἱ δ' ὁπότε στρέψαντες ἱκοίατο τέλσον ἀρούρης,
Τοῖσι δ' ἔπειτ' ἐν χερσὶ δέπας μελιηδὲς οἴνου 545
Δόσκεν ἀνὴρ ἐπιών· τοὶ δὲ στρέψασκον ἀν' ὄγμους,

528. ΤΑΜ. Περιέταμνον, περιήρουν, ἀπεχώριζον. ΠΩ. Τὰ ποίμνια.

529. ΜΗΛΟ. Βοσκήτορας, νομέας.

531. ΙΡΑ. Πρὸ τῶν ἀγορῶν, ὅ ἐστιν, ἐκκλησιῶν· ἀπὸ τοῦ εἴρειν ἐν αὐταῖς καὶ λέγειν· ὅθεν ὁ ἔρος.

532. ΑΕΡ. Αἰρόντων εἰς ὕψος τοὺς πόδας ἐν τῇ πορείᾳ. ΜΕ. Μετήρχοντο.

535. ΟΜΙ. Ἀνεστρέφοντο.

536. ΝΕ. Νεωστὶ τετρωμένον. ΑΟΥ. Ἄτρωτον.

538. ΔΑ. Ἥτοι φοινικῇ χρώματος πεπυκνωμένον· ἢ αἵματι διάβροχον, πεφοινιγμένον.

539. ΩΜΙ. Ἀντὶ ὖ, παρετάσσοντο, συνανεστρέφοντο.

540. ΕΡΥ. Εἷλκον.

541. ΝΕΙ. Τὴν λεγομένην νεατόν· ὅ ἐστι, νεωστὶ ἠροτριασμένην· ἀπαλὴν, καὶ διακεχυμένην· ὡς γὰρ νία φαίνεται ἡ τοιαύτη γῆ. ΠΙ. Λιπαρόγειον χωρίον.

542. ΤΡΙ. Τρὶς ἐστραμμένην, καὶ ἠροτριασμένην.

543. ΔΙ. Στρέφοντες τὴν ἄνω κάτω. ΕΛΑ. Ἥλαυνον.

544. ΤΕΛ. Τέλος, πέρας.

546. ΕΠΙ. Ἐπερχόμενος. ΟΓ. Τὰς ἐπ' εὐθείας τοῦ ἔργου διεξόδους φησὶ, τὰς αὔλακας.

Ἱέμενοι νειοῖο βαθείης τέλσον ἱκέσθαι·
Ἡ δὲ μελάνετ' ὄπισθεν, ἀρηρομένη δὲ ἔοικεν,
Χρυσείη περ ἐοῦσα· τὸ δὴ περὶ θαῦμ' ἐτέτυκτο.
Ἐν δ' ἐτίθει τέμενος βαθυλήϊον· ἔνθα δ' ἔριθοι 550
Ἥμων, ὀξείας δρεπάνας ἐν χερσὶν ἔχοντες·
Δράγματα δ' ἄλλα μετ' ὄγμον ἐπήτριμα πίπτον ἔραζε,
Ἄλλα δ' ἀμαλλοδετῆρες ἐν ἐλλεδανοῖσι δέοντο.
Τρεῖς δ' ἄρ' ἀμαλλοδετῆρες ἐφέστασαν· αὐτὰρ ὄπισθε
Παῖδες δραγμεύοντες, ἐν ἀγκαλίδεσσι φέροντες, 555
Ἀσπερχὲς πάρεχον· βασιλεὺς δ' ἐν τοῖσι σιωπῇ
Σκῆπτρον ἔχων ἑστήκει ἐπ' ὄγμου γηθόσυνος κῆρ.
Κήρυκες δ' ἀπάνευθεν ὑπὸ δρυὶ δαῖτα πένοντο,
Βοῦν δ' ἱερεύσαντες μέγαν ἄμφεπον· αἱ δὲ γυναῖκες,
Δεῖπνον ἐρίθοισιν, λευκ' ἄλφιτα πολλὰ πάλυνον. 560
Ἐν δ' ἐτίθει σαφυλῇσι μέγα βρίθουσαν ἀλωήν,
Καλήν, χρυσείην· μέλανες δ' ἀνὰ βότρυες ἦσαν·
Ἑστήκει δὲ κάμαξι διαμπερὲς ἀργυρέῃσιν.
Ἀμφὶ δὲ, κυανέην κάπετον, περὶ δ' ἕρκος ἔλασσε
Κασσιτέρου· μία δ' οἴη ἀταρπιτὸς ἦεν ἐπ' αὐτὴν, 565

548. ΜΕ. Βαθεῖα ἐγίγνετο. ΑΡΗ. Ἠροτριασμένη.

550. ΤΕ. Χωρίον, εἰς τιμὴν ἀποτετμημένον τινί. ΕΡΙ. Κυρίως μὲ, ἐργαζόμενοι· καταχρηστικῶς δὲ, καὶ οἱ μισθοῦ ἐργαζόμενοι.

551. ΗΜΩΝ. Ἐθέριζον.

552. ΔΡΑΓ. Τὰ τῶν χειρῶν πληρώματα.

553. ΑΜΑΛ. Οἱ τὰ δράγματα συνδισμοῦντες, ὅ ἐστι, τοὺς αὐλοὺς τῶν ἀσταχύων. ΕΛ. Τοῖς δεσμοῖς. ΔΕ. Ἐδεσμοῦντο.

555. ΔΡΑΓ. Δράγματα ἐπὶ δεσμὸν συνάγοντες. ΑΓ. Ἀγκάλαις.

556. ΑΣ. Ἀδιαλείπτως. ΒΑ. Νῦν, ὁ τοῦ χωρίου δεσπότης.

557. ΓΗ. Χαίρων τῇ ψυχῇ.

558. ΠΕ. Ἐνήργει.

559. ΑΜ. Περὶ αὐτὸν εἵποντο, ἠκολοῦντο.

560. ΠΑ. Ἐνέμισγον, ἔμασσον.

561. ΒΡΙ. Βαρεμένην τῷ καρπῷ.

563. ΚΑΜ. Πᾶσα δὲ ἐκεχαράκατο ἡ ἄμπελος, κάμαξιν οὖν σύλοις, οἵ εἰσι ξύλα ὀρθὰ παραπεπηγότα ταῖς ἀμπέλοις.

564. ΚΑ. Κοῖλον ὄρυγμα, τάφρον. ΕΡ. Τειχίον. ΕΛΑΣ. Ἐποίησεν εἰς μῆκος.

565. ΑΤΑΡ. Ἀταρπὸς, ὁδός.

Τῇ νίσσοντο φορῆες, ὅτε τρυγόωεν ἀλωήν.
Παρθενικαὶ δὲ καὶ ἠΐθεοι, ἀταλὰ φρονέοντες,
Πλεκτοῖς ἐν ταλάροισι φέρον μελιηδέα καρπόν.
Τοῖσιν δ' ἐν μέσσοισι παΐς φόρμιγγι λιγείῃ
Ἱμερόεν κιθάριζε· λίνον δ' ὑπὸ καλὸν ἄειδε 570
Λεπταλέῃ φωνῇ· τοὶ δὲ ῥήσσοντες ὁμαρτῇ,
Μολπῇ τ' ἰύγμῷ τε, ποσὶ σκαίροντες, ἕποντο.
Ἐν δ' ἀγέλην ποίησε βοῶν ὀρθοκραιράων·
Αἱ δὲ βόες χρυσοῖο τετεύχατο, καστιτέρῳ τε,
Μυκηθμῷ δ' ἀπὸ κόπρῳ ἐπεσσεύοντο νομόνδε 575
Παρ ποταμὸν κελάδοντα, περὶ ῥοδανὸν δονακῆα·
Χρύσειοι δὲ νομῆες ἅμ' ἑστιχόωντο βόεσσι
Τέσσαρες, ἐννέα δέ σφι κύνες πόδας ἀργοὶ ἕποντο.
Σμερδαλέω δὲ λέοντε δύ' ἐν πρώτῃσι βόεσσι
Ταῦρον ἐρύγμηλον ἐχέτην· ὁ δὲ μακρὰ μεμυκὼς 580
Ἕλκετο· τὸν δὲ κύνες μετεκίαθον, ἠδ' αἰζηοί.
Τὼ μὲν ἀναρρήξαντε βοὸς μεγάλοιο βοείην,
Ἔγκατα καὶ μέλαν αἷμα λαφύσσετον· οἱ δὲ νομῆες

566. ΝΙΣ. Ἐπαρεύοντο. ΦΟ. Οἱ τὴν ἀμπελῶν τὴν γαφυλὴν παραφέροντες.

567. ΑΤ. Τρυφερά, νήπια, πρᾶα· κατ' ἐπικράτησιν δὲ τοῦ ἄρρενος εἴρηκε φρονέοντες καὶ οὐ φρονεῦσαι. ΗΙ. Ἄγαμαι, ἀκμάζοντες, ἴσοι.

570. ΙΜΕ. Ἐπέρασον, καλόν. ΑΙ. Ἤτοι λίνον, ὃ δὲ ἐξῆπτο αὐτὴ νευρᾶς τῆς κιθάρας, ἐπεὶ οἱ πρῶτοι τοῖς θεοῖς μετὰ ᾠδῆς ὑπεκιθαρίζοντες, οὐκ ἐξ ἐντέρων κατεσκεύαζον τὰς κιθάρας, οὐχ ὅσιον, ἐπὶ θεοῖς, ἀρετὴν εἶναι ὑπολαμβάνοντες, διὰ τὸ ἐκ νεκρῶν πεποιῆσθαι, ἀλλὰ ἐκ λίνου πεποιημένον. Ἤ, λῖνον δ' ὑπὸ καλὸν ἄειδεν, αὐλῇ δ', τὴν ἐπὶ λίνῳ, τῷ Ἀπόλλωνος παιδὶ, ᾠδὴν, ὅτι νηπίῳ, καὶ ὑπὸ κυνῶν ποιμενικῶν διασπασθέντι, πρώτην ᾠδεῖσαν.

571. ΛΕΠ. Λεπτῇ, ἀδιάφ. ΡΗΣ. Ἀντὶ δ', κροτοῦντες σὺν ἁρμονίᾳ καὶ κτύπῳ τοῖς ποσὶ τὸ ἔδαφος. ΟΜΑΡ. Ὁμῶ καὶ κατὰ τὸ αὐτό.

572. ΙΥΓ. Προσλαμβάνον τὸ, σὺν ᾠδῇ καὶ δόξῃ. ΣΚΑΙ. Κινούμενοι, σκιρτῶντες, ἢ πυκνῶς κινούμενοι.

575. ΜΥ. Μυκήσει. ΚΟ. Τῆς ἐπαύλεως, τῷ βυτάθμῳ.

576. ΡΟ. Εὐδιάσειστοι, εὐκίνητοι· διὰ τὰς ἐν αὐτῷ πεφυκότας καλάμους. ΔΟ. Δόνακας ἔχοντα· ἤγουν καλάμους.

578. ΑΡ. Ταχύποδες.

580. ΕΡΥΓ. Μέγα μυκώμενον, ἢ ἐρευγόμενον τὴν τροφήν.

583. ΛΑ. Ἀθρόως ἤθροον.

Ἱέμενοι νειοῖο βαθείης τέλσον ἱκέσθαι·
Ἡ δὲ μελάνετ' ὄπισθεν, ἀρηρομένη δὲ ἔοικεν,
Χρυσείῃ περ ἐοῦσα· τὸ δὴ περὶ θαῦμ' ἐτέτυκτο.
Ἐν δ' ἐτίθει τέμενος βαθυλήϊον· ἔνθα δ' ἔριθοι 550
Ἥμων, ὀξείας δρεπάνας ἐν χερσὶν ἔχοντες·
Δράγματα δ' ἄλλα μετ' ὄγμον ἐπήτριμα πίπτον ἔραζε,
Ἄλλα δ' ἀμαλλοδετῆρες ἐν ἐλλεδανοῖσι δέοντο.
Τρεῖς δ' ἄρ' ἀμαλλοδετῆρες ἐφέστασαν· αὐτὰρ ὄπισθε
Παῖδες δραγμεύοντες, ἐν ἀγκαλίδεσσι φέροντες, 555
Ἀσπερχὲς πάρεχον· βασιλεὺς δ' ἐν τοῖσι σιωπῇ
Σκῆπτρον ἔχων ἑστήκει ἐπ' ὄγμου γηθόσυνος κῆρ.
Κήρυκες δ' ἀπάνευθεν ὑπὸ δρυῒ δαῖτα πένοντο,
Βοῦν δ' ἱερεύσαντες μέγαν ἄμφεπον· αἱ δὲ γυναῖκες,
Δεῖπνον ἐρίθοισιν, λευκ' ἄλφιτα πολλὰ πάλυνον. 560
Ἐν δ' ἐτίθει σαφυλῇσι μέγα βρίθουσαν ἀλωὴν,
Καλὴν, χρυσείην· μέλανες δ' ἀνὰ βότρυες ἦσαν·
Ἑστήκει δὲ κάμαξι διαμπερὲς ἀργυρέῃσιν.
Ἀμφὶ δὲ, κυανέην κάπετον, περὶ δ' ἕρκος ἔλασσε
Κασσιτέρου· μία δ' οἴη ἀταρπιτὸς ἦεν ἐπ' αὐτὴν, 565

548. ΜΕ. Βαθεῖα ἐγίγνετο. ΑΡΗ. Ἠροτριασμένη.

550. ΤΕ. Χωρίον, εἰς τιμὴν ἀποτετμημένον τινί. ΕΡΙ. Κυρίως μὲ, ἐργαζόμενοι καταχρηστικῶς δὲ, καὶ οἱ μισθοῦ ἐργαζόμενοι.

551. ΗΜΩΝ. Ἐθέριζον.

552. ΔΡΑΓ. Τὰ τῶν χειρῶν πληρώματα.

553. ΑΜΑΛ. Οἱ τὰ δράγματα συνδεσμοῦντες, ὅ ἐστι, τοὺς αὐλοὺς τῶν ἀσταχύων. ΕΛ. Τοῖς δεσμοῖς. ΔΕ. Ἐδεσμοῦντο.

555. ΔΡΑΓ. Δράγματα ἐπὶ δεσμὸν συνάγοντες. ΑΓ. Ἀγκάλαις.

556. ΑΣ. Ἀδιαλείπτως. ΒΑ. Νῦν, ὁ τοῦ χωρίου δεσπότης.

557. ΓΗ. Χαίρων τῇ ψυχῇ.

558. ΠΕ. Ἐνήργει.

559. ΑΜ. Περὶ αὐτὸν εἵποντο, ἠκολοῦντο.

560. ΠΑ. Ἐνέμισγον, ἔμασσον.

561. ΒΡΙ. Βαρυμένην τῷ καρπῷ.

563. ΚΑΜ. Πᾶσα δὲ ἐκεχαράκατο ἡ ἄμπελος, κάμαξιν οὖν σύλοις, οἵ εἰσί ξύλα ὀρθὰ παραπεπηγότα ταῖς ἀμπέλοις.

564. ΚΑ. Κοῖλον ὄρυγμα, τάφρον. ΕΡ. Τεῖχίον. ΕΛΑΣ. Ἐποίησεν εἰς μῆκος.

565. ΑΤΑΡ. Ἀταρπὸς, ὁδός.

Τῇ νίσσοντο φορῆες, ὅτε τρυγόωεν ἀλωήν.
Παρθενικαὶ δὲ καὶ ἠΐθεοι, ἀιταλὰ φρονέοντες,
Πλεκτοῖς ἐν ταλάροισι φέρον μελιηδέα καρπόν.
Τοῖσιν δ' ἐν μέσσοισι πάϊς φόρμιγγι λιγείῃ
Ἱμερόεν κιθάριζε· λίνον δ' ὑπὸ καλὸν ἄειδε 570
Λεπταλέῃ φωνῇ· τοὶ δὲ ῥήσσοντες ὁμαρτῇ,
Μολπῇ τ' ἰυγμῷ τε, ποσὶ σκαίροντες, ἕποντο.
Ἐν δ' ἀγέλην ποίησε βοῶν ὀρθοκραιράων·
Αἱ δὲ βόες χρυσοῖο τετεύχατο, καστιτέρῳ τε,
Μυκηθμῷ δ' ἀπὸ κόπρου ἐπεσσεύοντο νομόνδε 575
Παρ ποταμὸν κελάδοντα, παρὶ ῥοδανὸν δονακῆα·
Χρύσειοι δὲ νομῆες ἅμ' ἑστιχόωντο βόεσσι
Τέσσαρες, ἐννέα δέ σφι κύνες πόδας ἀργοὶ ἕποντο.
Σμερδαλέω δὲ λέοντε δύ' ἐν πρώτῃσι βόεσσι
Ταῦρον ἐρύγμηλον ἐχέτην· ὁ δὲ μακρὰ μεμυκὼς 580
Ἕλκετο· τὸν δὲ κύνες μετεκίαθον, ἠδ' αἰζηοί.
Τὼ μὲν ἀναρρήξαντε βοὸς μεγάλοιο βοείην,
Ἔγκατα καὶ μέλαν αἷμα λαφύσσετον· οἱ δὲ νομῆες

566. ΝΙΣ. Ἐπορεύοντο. ΦΟ. Οἱ τὸ καρπὸν τῷ γαφυλῷ παραφέροντες.

567. ΑΤ. Τρυφερά, νήπια, πρᾶα· καὶ ἐπικράτησιν δὲ τοῦ ἄρρενος εἴρηκε φρονοῦντες, καὶ οὐ φρονήσαι. ΗΙ. Ἄγαμαι, ἀκμάζοντες, ἡβῶν.

570. ΙΜΕ. Ἐπέρασον, καλόν. ΑΙ. Ἤτοι λίνον, ὁ δὲ ἐξῆπτο αὐτὸ νευρᾶς τῆς κιθάρας, ἐπεὶ οὐ πρῶτος τοῖς θεοῖς μετὰ ᾠδῆς ὑπεκιθαρίζοντες, οὐκ ἐξ ἐντέρων κατεσκευάζον τὰς κιθάρας, οὐχ ὅσιον, ἀλλ θεοῖς ἀρεστὸν εἶναι ὑπολαμβάνοντες, διὰ τὸ ἐκ νεύρων πεποιῆσθαι, ἀλλὰ ἐκ λίνου πεποιημένον. Ἤ, λῖνον δ' ὑπὸ καλὸν ἄειδεν, αὐλῇ ᾖ, τὸν ἐπὶ λίνῳ, τῷ Ἀπόλλωνος παιδὶ, ᾠδὴν, ὅτι νηπίῳ, καὶ ὑπὸ κυνῶν σκυμνικῶν διασπασθέντι, πρώτην ᾠδεῖσαν.

571. ΛΕΠ. Λεπτῇ, ἠδείᾳ. ΡΗΣ. Ἀντὶ ᾖ, κροτοῦντες σὺν ἁρμονίᾳ καὶ κτύπῳ τοῖς ποσὶ τὸ ἔδαφος. ΟΜΑΡ. Ὁμῶ καὶ κατὰ τὸ αὐτό.

572. ΙΥΓ. Προσληπτέον τὸ, σὺν ᾠδῇ καὶ δόξῃ. ΣΚΑΙ. Κινούμενοι, σκιρτῶντες, ἢ πυκνοῦς κινούμενοι.

575. ΜΥ. Μυκήσει. ΚΟ. Τῆς ἐπαύλεως, τῷ βυτάθμῳ.

576. ΡΟ. Εὐδιάσειστοι, εὐκίνητοι· διὰ τὰς ἐν αὐτῷ πεφυκότας καλάμους. ΔΟ. Δόνακας ἔχοντα· ἤγουν καλάμους.

578. ΑΡ. Ταχύποδες.

580. ΕΡΥΓ. Μέγα μυκώμενον, ἢ ἐρευγόμενον τὴν τροφήν.

583. ΛΑ. Ἀθρόως ἤθεον.

Αὔτως ἐνδίεσαν, ταχέας κύνας ὀτρύνοντες.
Οἱ δ' ἤτοι δακέειν μὲν ἀπετρωπῶντο λεόντων, 585
Ἰσάμενοι δὲ μάλ' ἐγγὺς ὑλάκτεον, ἔκ τ' ἀλέοντο.
Ἐν δὲ νομὸν ποίησε περικλυτὸς Ἀμφιγυήεις
Ἐν καλῇ βήσσῃ μέγαν οἰῶν ἀργεννάων,
Σταθμούς τε, κλισίας τε κατηρεφέας, ἰδὲ σηκούς.
Ἐν δὲ χορὸν ποίκιλλε περικλυτὸς Ἀμφιγυήεις, 590
Τῷ ἴκελον, οἷόν ποτ' ἐνὶ Κνωσσῷ εὐρείῃ
Δαίδαλος ἤσκησεν καλλιπλοκάμῳ Ἀριάδνῃ.
Ἔνθα μὲν ἠίθεοι καὶ παρθένοι ἀλφεσίβοιαι
Ὠρχεῦντ', ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχοντες·
Τῶν δ' αἱ μὲν λεπτὰς ὀθόνας ἔχον, οἱ δὲ χιτῶνας 595

584. ΕΝ. Ἐνεκυλεύοντο· παρορμῶντες ἐπέβαλλον.

585. ΑΠΕ. Ἀπετρέποντο.

586. ΕΚ. Καὶ ἐξέκλιναν.

588. ΑΡ. Λαμπρῶν.

589. ΚΛΙ. Νῦν, τὰς τῶν ποιμνίων, καὶ ποιμένων καταγωγάς. ΚΑ. Ἐσκεπασμένας, καλαβίγας. ΣΗ. Περιβόλους, ἐν οἷς βοσκήματα ἵστανται.

590. ΕΝ. Καὶ τὰ ἑξῆς. Ἐγκατεσκευάσε δὲ ἐπιμελῶς ὁ Ἥφαιστος, καὶ χορὸν ὁμοίαν τάξιν ἔχοντα χορευόντων τῷ ὑπὸ Δαιδάλου τοῦ μηχανικοῦ κατασκευασθέντι Ἀριάδνῃ ἐν Κνωσσῷ, πόλει τῆς Κρήτης. Ἱστόρηται ὅτι Θησέα παραγενόμενον ἐξ Ἀφιδνῶν εἰς Ἀθήνας νυκτὶ, καταλαβόντα δὲ τὸν δασμὸν ἀποπεμπόμενον Μίνωϊ εἰς Κρήτην, τοὺς δὶς ἑπτὰ ἠθέας καὶ παρθένους· ἐτίλεν δὲ τὸν δασμὸν οἱ Ἀθηναῖοι τοῦτον ἐπὶ τῷ δεδολοφονηκέναι Ἀνδρόγεων, τὸν παῖδα Μίνωος, ἀγωνιζόμενον καὶ νικῶντα παρ' αὐτοῖς τὰ Παναθήναια· ἐκόντα οὖν αὐτὸν φασι συγκαταλέξαι τοῖς ἀπιοῦσι, καὶ παραγενόμενον εἰς Κρήτην, ἠδέως ὀφθῆναι φασιν ὑπὸ Ἀριάδνης, τὸν τοῦ Μίνωος θυγατρός· καὶ διὰ τοῦτο τέχνῃ Δαιδάλου σωθῆναι τρόπῳ τοιῷδε· μίτον ἀγαθίδος ἔδωκε Δαίδαλος τῇ Ἀριάδνῃ, εἰπὼν δοῦναι τῷ Θησεῖ ὅπως τὴν ἀρχὴν ἐξάψας τοῦ εἰσόδου τοῦ ἀγαθίδος, ὕστερον ἀνελὼν αὐτὸν εἰσέλθοι εἰς τὸν λαβύρινθον· καὶ παριγενόμενος τοῦ θηρίου, πάλιν ἔχοι ῥᾴδιον καὶ εὐείρητον τὴν ἔξοδον τοῦ λαβυρίνθου, ποικίλως ἐπιπεπλεγμένας ἔχοντος τὰς εἰσόδους· ἐξελθὼν δὲ, μετὰ τὸ νικῆσαι, ὁ Θησεὺς, μετὰ τῶν ἠθέων καὶ παρθένων, χορὸν τοι ὅτου ἐπλεκεν ἐν κύκλῳ τοῖς θεοῖς, ὁποία καὶ ἡ τοῦ λαβυρίνθου εἴσοδός τε καὶ ἔξοδος αὐτῷ ἐγεγόνει· τοῦ δὲ χορείας τὴν ἐμπειρίαν ὁ Δαίδαλος αὐτοῖς ἐπιδείξας ἐποίησε. ΠΟΙ. Ποικίλη τορεύσει ἐποίει.

593. ΑΛ. Ἔντημοι· καὶ διὰ τὴν εὐμορφίαν βόας εὑρίσκουσαι ἔθνα· θρέμματα γὰρ τὸ παλαιὸν ἐδίδοτο πρὸ τῶν γάμων δῶρα· ὠνόμασται δὲ ἀπὸ μέρους· ἐπειδὴ ἔντιμοι τὸ παλαιὸν οἱ βόες· ἀλφαίνειν γοῦν, τὸ εὑρίσκειν· καὶ ἀλφὴ ἡ τιμὴ, καὶ ἄλφα τὸ στοιχεῖον, ὅτι εὑρέθη πρὸ τῶν ἄλλων.

594. ΕΧ. Ὀρθῶς καὶ τοῦτο κατ' ἐπικράτησιν τὰ ἀρσενικὰ φέρεται.

595. ΟΘ. Διαφανεῖς ἐδῆτας, λαμπρᾶς.

Εἵατο εὐνήτυς, ἦκα ςίλβοντας ἐλαίῳ·
Καί ῥ' αἱ μὲν καλὰς ςεφάνας ἔχον, οἱ δὲ μαχαίρας
Εἶχον χρυσείας ἐξ ἀργυρέων τελαμώνων.
Οἱ δ' ὁτὲ μὲν θρέξασκον ἐπιςαμένοισι πόδεσσι
Ῥεῖα μάλ', ὡς ὅτε τις τροχὸν ἄρμενον ἐν παλάμῃσιν 600
Ἑζόμενος κεραμεὺς πειρήσεται, αἴ κε θέῃσιν·
Ἄλλοτε δ' αὖ θρέξασκον ἐπὶ ςίχας ἀλλήλοισι.
Πολλὸς δ' ἱμερόεντα χορὸν περιίςαθ' ὅμιλος,
Τερπόμενοι· δοιὼ δὲ κυβιςητῆρε κατ' αὐτὺς
Μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέσσυς. 605
Ἐν δ' ἐτίθει ποταμοῖο μέγα θένος Ὠκεανοῖο,
Ἄντυγα πὰρ πυμάτην σάκεος πύκα ποιητοῖο.
Αὐτὰρ ἐπειδὴ τεῦξε σάκος μέγα τε, ςιβαρόν τε,
Τεῦξ' ἄρα οἱ θώρηκα φαεινότερον πυρὸς αὐγῆς·
Τεῦξε δέ οἱ κόρυθα βριαρὴν, κροτάφοις ἀραρυῖαν, 610
Καλὴν, δαιδαλέην· ἐπὶ δὲ χρύσεον λόφον ἧκε·
Τεῦξε δέ οἱ κνημῖδας ἑανῷ κασσιτέροιο.
Αὐτὰρ ἐπεὶ πάνθ' ὅπλα κάμε κλυτὸς Ἀμφιγυήεις,
Μητρὸς Ἀχιλλῆος θῆκε προπάροιθεν ἀείρας·
Ἡ δ', ἴρηξ ὣς, ἆλτο κατ' Οὐλύμπυ νιφόεντος, 615
Τεύχεα μαρμαίροντα πὰρ Ἡφαίςοιο φέρυσα.

596. ΕΙ. Ἡμφιεσμένοι ἦσαν. ΕΥ. Εὐνητισμένους, καὶ εἰργασμένους, λειτοὺς. ΠΑΛ. Ἠρέμα πῶς ςίλβοντας, ὡς ἔλαιον.

597. ΣΤΕ. Κόσμυς γυναικείυς χρυσοῦς περὶ κεφαλὴν κειμένυς.

598. ΤΕ. Ἀναφορέων.

599. ΘΡΕΞ. Ἐν κύκλῳ ἔτρεχον. ΕΠΙ. Ἐπιςήμοσιν, ἐμπείροις.

600. ΑΡ. Εὖ ἡρμοσμένον πάντοθεν.

601. ΕΖΟ. Διὰ τῆς Σ χορεῖ παραβολῆς ἔγκυκλον αὐτῶν τὴν πορείαν ὑφιςᾷ. ΠΕΙ. Ἀποπειρώμενος ἀνακινήσει.

602. ΕΠΙ. Ἐπ' ὀρθὴν τάξιν.

604. ΚΥ. Ὀρχηςαί.

607. ΑΝ. Παρὰ τὸ ἔσχατον μέρος τῆς ἀσπίδος· πέριξ. ΠΥ. Ἐπιμελῶς, καὶ συνεχῶς κατεσκευασμένυ.

612. ΕΑ. Λαμπροῦ, εὐχύτυ, ἀπαλοῦ.

615. ΙΡΗΞ. Ἱέραξ.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΙΛΙΑΔΟΣ Τ.

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

ΘΕΤΙΔΟΣ κομισάσης Ἀχιλλεῖ τὰ ὅπλα παρὰ Ἡφαίστου, συνάγαγὼν εἰς ἐκκλησίαν τοὺς Ἕλληνας ὁ ἥρως, ἀπόρρησιν ποιεῖται τῆς μήνιδος, καὶ λαμβάνει τὰ δῶρα, ἅπερ αὐτῷ Ἀγαμέμνων δόσιν ὑπέσχετο. Τροφὴν δὲ ἀναλομένων ἐκείνων, αὐτὸς ἄσιτος διαμείνας ὁπλίζεται, καὶ γραπτείαν ἐξάγει ἐπὶ τὸν πόλεμον· ὁ δὲ ὕπαρχος τῶν ἵππων αὐτοῦ Ξάνθος τὴν ἐσομένην αὐτῷ ἀναίρεσιν καταμαντεύεται, καὶ ἐπιπλήττει.

Μήνιδος ἀπόρρησις.

Ταῦ δ', ἀπέληγε χόλοιο καὶ ἔκθορε δῖος Ἀχιλλεύς.

Ἠὼς μὲν κροκόπεπλος ἀπ' Ὠκεανοῖο ῥοάων
Ὤρνυθ', ἵν' ἀθανάτοισι φόως φέροι, ἠδὲ βροτοῖσιν·
Ἡ δ' ἐς νῆας ἵκανε, θεὸς πάρα δῶρα φέρουσα·
Εὗρε δὲ Πατρόκλῳ περικείμενον ὃν φίλον υἱόν,
Κλαίοντα λιγέως· πολέες δ' ἀμφ' αὐτὸν ἑταῖροι 5
Μύρονθ'· ἡ δ' ἐν τοῖσι παρίστατο δῖα θεάων,
Ἔν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
"Τέκνον ἐμὸν, τοῦτον μὲν ἐάσομεν, ἀχνύμενοί περ,
"Κεῖσθαι, ἐπειδὴ πρῶτα θεῶν ἰότητι δαμάσθη·
"Τύνη δ' Ἡφαίστοιο πάρα κλυτὰ τεύχεα δέξο, 10
"Καλὰ μάλ', οἷ' ἔπω τις ἀνὴρ ὤμοισι φόρησεν."
Ὣς ἄρα φωνήσασα θεὰ κατὰ τεύχε' ἔθηκε
Πρόσθεν Ἀχιλλῆος· τὰ δ' ἀνέδραχε δαίδαλα πάντα.

4. ΠΕ. Περιπεπλεγμένον.
5. ΑΙ. Περιπαθῶς, ὀδυνηρῶς, ὀξέως.
6. ΜΥ. Ἐθρήνων.
9. ΙΟ. Βυλήσει.
10. ΤΥ. Σύ· Δωρικῶς.
13. ΑΝΕΒΡΑ. Ποιὸν ἦχον ἀπετέλεσεν.

Μυρμιδόνας δ' ἄρα πάντας ἕλε τρόμος, οὐδέ τις ἔτλη
Ἄντην εἰσιδέειν, ἀλλ' ἔτρεσαν· αὐτὰρ Ἀχιλλεὺς
Ὡς εἶδ', ὡς μιν μᾶλλον ἔδυ χόλος· ἐν δέ οἱ ὄσσε
Δεινὸν ὑπὸ βλεφάρων, ὡσεὶ σέλας, ἐξεφάανθεν·
Τέρπετο δ' ἐν χείρεσσιν ἔχων θεοῦ ἀγλαὰ δῶρα.
Αὐτὰρ ἐπεὶ φρεσὶν ᾗσι τετάρπετο, δαίδαλα λεύσσων,
Αὐτίκα μητέρα ἣν ἔπεα πτερόεντα προσηύδα·

Μῆτερ ἐμή, τὰ μὲν ὅπλα θεὸς πόρεν, οἷ' ἐπιεικὲς
Ἔργ' ἔμεν ἀθανάτων, μηδὲ βροτὸν ἄνδρα τελέσσαι.
Νῦν δ' ἤτοι μὲν ἐγὼ θωρήξομαι· ἀλλὰ μάλ' αἰνῶς
Δείδω, μή μοι τόφρα Μενοιτίου ἄλκιμον υἱὸν
Μυῖαι καδδῦσαι κατὰ χαλκοτύπους ὠτειλὰς
Εὐλὰς ἐγγείνωνται, ἀεικίσσωσι δὲ νεκρόν·
Ἐκ δ' αἰῶν πέφαται, κατὰ δὲ χρόα πάντα σαπείη.'

Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα·
Τέκνον, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων·
Τῷ μὲν ἐγὼ πειρήσω ἀλαλκεῖν ἄγρια φῦλα,
Μυίας, αἳ ῥά τε φῶτας ἀρηϊφάτους κατέδουσιν.
Ἤπερ γὰρ κεῖταί γε τελεσφόρον εἰς ἐνιαυτὸν,
Αἰεὶ τῷδ' ἔσται χρὼς ἔμπεδος, ἠὲ καὶ ἀρείων.
Ἀλλὰ σύγ' εἰς ἀγορὴν καλέσας ἤρωας Ἀχαιοὺς,
Μῆνιν ἀπειπὼν Ἀγαμέμνονι, ποιμένι λαῶν,

15. ΕΤΡΕ. Ἐφοβήθησαν.
19. ΕΤΑΡ. Ἐτίρφθη.
21. ΟΙ. Ὁποῖα εἰκὸς θεοῦ ἔργα εἶναι· τοιαῦτα, οἷα ἔπρεπε θεὸν παρέχειν· ἐπιεικὲς γὰρ, τὸ πρέπον.
25. ΚΑΔ. Κατιλθοῦσαι. ΧΑΛ. Ὑπὸ σιδήρου τρωθέντας.
26. ΕΥ. Σκώληκας ἐγγονοῦσωσιν· ἴσως δὲ εἴρηται εὐλαὶ οἱ σκώληκες, παρὰ τὴν εἴλησιν. ΑΕΙ. Ἀφανίσωσιν, αἰκίσωσιν.
27. ΑΙ. Ἤτοι ἀνῄρηται ὁ βίος· ὅ ἐστι, ζωῆς ἐστέρηται, ἢ ὡς οἱ γλωσσογράφοι, αἰὼν ἔφθαρται· ὅ ἐστιν, ὁ κατιαῖος μυελός. ΠΕ. Τέτρωται, ἀνῄρηται, ἠφάνισται.
29. ΜΕ. Ἀντὶ τοῦ, μελέτωσαν.
31. ΑΡΗ. Ἐν πολέμοις πεφονευμένους, ἢ σιδήρῳ· καὶ γὰρ ὁ σίδηρος, ἄρης.
32. ΤΕ. Τὸν πάλαι τελειοῦντα· ὅ ἐστι, τελείους καρποὺς φέροντα.

Αἶψα μάλ' ἐς πόλεμον θωρήσσεο, δύσεο δ' ἀλκήν.
Ὡς ἄρα φωνήσασα μένος πολυθαρσὲς ἐνῆκε·
Πατρόκλῳ δ' αὖτ' ἀμβροσίην καὶ νέκταρ ἐρυθρὸν
Στάξε κατὰ ῥινῶν, ἵνα οἱ χρὼς ἔμπεδος εἴη.
Αὐτὰρ ὁ βῆ παρὰ θῖνα θαλάσσης δῖος Ἀχιλλεὺς, 40
Σμερδαλέα ἰάχων, ὦρσεν δ' ἥρωας Ἀχαιούς·
Καί ῥ' οἵπερ τὸ πάρος γε νεῶν ἐν ἀγῶνι μένεσκον,
Οἵ τε κυβερνῆται καὶ ἔχον οἰήϊα νηῶν,
Καὶ ταμίαι παρὰ νηυσὶν ἔσαν, σίτοιο δοτῆρες·
Καὶ μὴν οἱ τότε γ' εἰς ἀγορὴν ἴσαν, ὕνεκ' Ἀχιλλεὺς 45
Ἐξεφάνη, δηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς.
Τὼ δὲ δύω σκάζοντε βάτην Ἄρεος θεράποντε,
Τυδείδης τε μενεπτόλεμος, καὶ δῖος Ὀδυσσεὺς,
Ἔγχει ἐρειδομένω· ἔτι γὰρ ἔχον ἕλκεα λυγρά·
Καδδὲ μετὰ πρώτῃ ἀγορῇ ἵζοντο κιόντες. 50
Αὐτὰρ ὁ δεύτατος ἦλθεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
Ἕλκος ἔχων· καὶ γὰρ τὸν ἐνὶ κρατερῇ ὑσμίνῃ
Οὖτα Κόων Ἀντηνορίδης χαλκήρεϊ δουρί.
Αὐτὰρ ἐπειδὴ πάντες ἀολλίσθησαν Ἀχαιοὶ,
Τοῖσι δ' ἀνιστάμενος μετέφη πόδας ὠκὺς Ἀχιλλεύς· 55
Ἀτρείδη, ἦ ἄρ τι τόδ' ἀμφοτέροισιν ἄρειον
Ἔπλετο, σοὶ καὶ ἐμοί· ὅτε γῶϊ περ, ἀχνυμένω κῆρ,

38. ΑΜ. Θειότητα.

40. ΑΥ. Ἐζήτηται, διὰ ποίαν αἰτίαν οὐ χρῆται κήρυκι ὁ Ἀχιλλεὺς πρὸς τὸ συγκαλέσαι τοὺς ὄχλους. Ῥητέον ὅν, ὅτι ἔθος ἐστὶν ἀρχαῖον αὐτοῦ τοῦτο· οὕτως γὰρ καὶ ἐν τῇ α'. ῥαψῳδίᾳ αὐτὸς Ἀχιλλεὺς συγκαλεῖ ἄλλως τε καὶ διὰ τὴν χαρὰν μετὰ σπουδῆς συνδεδραμήκασιν, ἐδεῖ τοὺς κήρυκας ἀναμείναντες.

43. ΟΙ. Οἴακας, πηδάλια.

47. ΤΩ. Συλληπτικῶς πέφρακε· μόνος γὰρ ὁ Διομήδης ὤφειλε σκάζειν κατὰ τοῦ ταρσοῦ τετρωμένος· ὁ μέντοι Ὀδυσσεὺς τὴν πλευρὰν, εἰ μὴ κατὰ συμπάθειαν τῶν μερῶν δόξαιμεν αὐτὸν τοῦτο πεπονθέναι.

50. ΠΡΩ. Τῇ προεδρείᾳ.

51. ΔΕΥ. Ἔχατος.

56. ΤΟ. Κατ' ἐπερώτησιν ἀναγνωστέον· θέλει γὰρ εἰπεῖν, ὅτι ἄρειον ἀμφοτέροις ὁμονοεῖν ὑπάρχει. ΑΡΕΙ. Βέλτιον.

Θυμοβόρῳ ἔριδι μενεήναμεν εἵνεκα κούρης.
Τὴν ὄφελ' ἐν νήεσσι κατακτάμεν Ἄρτεμις ἰῷ,
Ἤματι τῷ, ὅτ' ἐγὼν ἑλόμην Λυρνησσὸν ὀλέσσας· 60
Τῷ κ' οὐ τόσσοι Ἀχαιοὶ ὀδάξ ἔλον ἄσπετον οὐδας,
Δυσμενέων ὑπὸ χερσὶν, ἐμεῦ ἀπομηνίσαντος.
Ἕκτορι μὲν καὶ Τρωσὶ τὸ κέρδιον· αὐτὰρ Ἀχαιοὺς
Δηρὸν ἐμῆς καὶ σῆς ἔριδος μνήσεσθαι οἴω.
Ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν, ἀχνύμενοί περ, 65
Θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκῃ.
Νῦν δ' ἤτοι μὲν ἐγὼ παύω χόλον, οὐδέ τί με χρὴ
Ἀσκελέως αἰεὶ μενεαινέμεν· ἀλλ' ἄγε θᾶσσον
Ὄτρυνον πόλεμόνδε καρηκομόωντας Ἀχαιοὺς,
Ὄφρ' ἔτι καὶ Τρώων πειρήσομαι ἀντίος ἐλθὼν, 70
Αἴ κ' ἐθέλωσ' ἐπὶ νηυσὶν ἰαύειν· ἀλλά τιν' οἴω
Ἀσπασίως αὐτῶν γόνυ κάμψειν, ὅς κε φύγῃσι
Δηΐου ἐκ πολέμοιο ὑπ' ἔγχεος ἡμετέροιο.'
Ὣς ἔφαθ'· οἱ δ' ἐχάρησαν ἐϋκνήμιδες Ἀχαιοὶ,
Μῆνιν ἀπειπόντος μεγαθύμου Πηλέωνος. 75
Τοῖσι δὲ καὶ μετέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
Αὐτόθεν ἐξ ἕδρης, οὐδὶ ἐν μέσσοισιν ἀνασάς·
Ὦ φίλοι, ἥρωες Δαναοὶ, θεράποντες Ἄρηος,
Ἑσταότος μὲν καλὸν ἀκούεμεν, οὐδὲ ἔοικεν
Ὑββάλλειν· χαλεπὸν γὸ, ἐπιστάμενόν περ ἐόντα. 80
Ἀνδρῶν δὶ ἐν πολλῷ ὁμάδῳ πῶς κέν τις ἀκούσαι,
Ἢ εἴποι; βλάβεται δὲ λιγύς περ ἐὼν ἀγορητής.

60. ΛΥΡ. Πόλις τῆς Ὑποπλακίου Θήβης τῆς Κιλικίας.

61. ΤΩ. Οὕτως ἂν οὐ τοσοῦτοι ἀνῃρέθησαν.

79. ΕΣΤΑ. Εἰδὼς ὁ Ἀγαμέμνων, ὅτι μέλλει θορυβεῖσθαι, ὡς αἴτιος γεγονὼς φθορᾶς τῇ Ἑλληνικῇ στρατιᾷ, ἡσυχίαν ἑαυτῷ προκαλασκευάζει, λέγων, δύσκολον εἶναι ἐν πολλῷ θορύβῳ διαλέγεσθαι· ἔνιοι δὲ καθεζόμενον τὸν Ἀγαμέμνονα ὑπεινόησαν δημηγορεῖν.

80. ΥΒ. Ὑποκρούειν, ἐμπαδίζειν τὸν λέγοντα· τινὲς δὲ κακῶς ἔκκραυν τὸ δὲ ἰταλικὸν λέγειν. ΕΠΙ. Ἔμπειρον.

Πηλείδη μὲν ἐγὼν ἐνδείξομαι· αὐτὰρ οἱ ἄλλοι
Σύνθεσθ', Ἀργεῖοι, μῦθόν τ' εὖ γνῶτε ἕκαστος.
Πολλάκι δή μοι τοῦτον Ἀχαιοὶ μῦθον ἔειπον, 85
Καί τέ με νεικείεσκον· ἐγὼ δ' οὐκ αἴτιός εἰμι,
Ἀλλὰ Ζεὺς, καὶ Μοῖρα, καὶ ἠεροφοῖτις Ἐρινύς,
Οἵτε μοι εἰν ἀγορῇ φρεσὶν ἔμβαλον ἄγριον ἄτην,
Ἤματι τῷ, ὅτ' Ἀχιλλῆος γέρας αὐτὸς ἀπηύρων.
Ἀλλὰ τί κεν ῥέξαιμι; θεὸς διὰ πάντα τελευτᾷ. 90
Πρέσβα Διὸς θυγάτηρ Ἄτη, ἣ πάντας ἀᾶται,
Οὐλομένη· τῆς μέν θ' ἁπαλοὶ πόδες· οὐ γὰρ ἐπ' ἴδεα
Πίλναται, ἀλλ' ἄρα ἧγε κατ' ἀνδρῶν κράατα βαίνει,
Βλάπτουσ' ἀνθρώπους· κατὰ δ' ἕν ἕτερόν γε πέδησε.
Καὶ γὰρ δή νύ ποτε Ζῆν' ἄσσατο, τόν περ ἄριστον 95
Ἀνδρῶν ἠδὲ θεῶν φασ' ἔμμεναι· ἀλλ' ἄρα καὶ τὸν
Ἥρη, θῆλυς ἐοῦσα, δολοφροσύνῃς ἀπάτησεν,
Ἤματι τῷ, ὅτ' ἔμελλε βίην Ἡρακληείην
Ἀλκμήνη τέξεσθαι ἐϋστεφάνῳ ἐνὶ Θήβῃ.
Ἤτοι ὅγ' εὐχόμενος μετέφη πάντεσσι θεοῖσι· 100
Κέκλυτέ μευ, πάντες τε θεοὶ, πᾶσαί τε θέαιναι,
Ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσιν ἀνώγει·
Σήμερον ἄνδρα φόωσδε μογοστόκος Εἰλείθυια
Ἐκφανεῖ, ὃς πάντεσσι περικτιόνεσσιν ἀνάξει,

83. ΠΗ. Οἷον, τὴν ἀπότασιν τῶν λόγων πρὸς Ἀχιλλέα ποιήσομαι φανερῶς, ἢ ἀπολογήσομαι.

84. ΣΥΝ. Οἱ δὲ λοιποὶ ἀκούσαντες, εἴπατε τοῖς μὴ ἀκούσασι.

87. ΗΕ. Ἡ διὰ τοῦ σκότους φοιτῶσα, ἢ ἀόρατος, ἢ ἡ ἀπροοράτως φοιτῶσα καὶ ἐπερχομένη, ὡς τιμωρὸς τῶν ἀδικημάτων· ἔστι δὲ παλαιχθονία δαίμων, ἡ Ἐρινύς, οἷον, ἡ διερευνῶσα τὰ ἐν ταῖς πράξεσιν ἔργα.

93. ΠΙ. Οὐ γὰρ προσπιλάζει τῇ γῇ.

94. ΕΤ. Ἕνα γὲν τινὰ ἔβλαψεν, ὅτι μὴ πολλές.

95. ΑΣ. Ἔβλαψεν ἡ Ἄτη.

99. ΕΥ. Κατατετριχισμένη, μεταφορικῶς, διὰ τὸ ὑπὸ Ἀμφίονος καὶ Ζήθου αὐτὴν τετριχίσθαι.

103. ΜΟ. Ἡ περὶ τὰς τικτούσας κοπιῶσα· ἢ ἡ τοὺς μόγους ἐπικουφίζουσα τῶν τικτουσῶν.

104. ΠΕ. Περιοίκους.

Τῶν ἀνδρῶν γενεῆς, οἱ θ' αἵματος ἐξ ἐμεῦ εἰσι. 105
Τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·
Φευξήσεις, ὀδλ' αὖτε τέλος μύθῳ ἐπιθήσεις·
Εἰ δ' ἄγε, νῦν μοι ὄμοσσον, Ὀλύμπιε, καρτερὸν ὅρκον,
Ἦ μὴν τὸν πάντεσσι περικτιόνεσσιν ἀνάξειν,
Ὅς κεν ἐπ' ἤματι τῷδε πέσῃ μετὰ ποσσὶ γυναικὸς 110
Τῶν ἀνδρῶν, οἳ σῆς ἐξ αἵματός εἰσι γενέθλης.
Ὣς ἔφατο· Ζεὺς δ' ὄτι δολοφροσύνην ἐνόησεν,
Ἀλλ' ὄμοσεν μέγαν ὅρκον, ἔπειτα δὲ πολλὸν ἀάσθη.
Ἥρη δ' αἶψα λίπεν ῥίον Οὐλύμποιο,
Καρπαλίμως δ' ἵκετ' Ἄργος Ἀχαιϊκὸν, ἔνθ' ἄρα ἤδη 115
Ἰφθίμην ἄλοχον Σθενέλου Περσηϊάδαο·
Ἡ δ' ἐκύει φίλον υἱὸν, ὁ δ' ἕβδομος εἰςήκει μείς·
Ἐκ δ' ἄγαγε προφόωσδε, καὶ ἡλιτόμηνον ἐόντα·
Ἀλκμήνης δ' ἀπέπαυσε τόκον, ἐκέθε δ' Εἰλειθυίας·

105. ΑΙ. Ἀντὶ Ὗ, σπέρμαίος, γένος.
107. ΨΕΥ. Ψεύσῃ.
110. ΠΕ. Γενηθῇ, ἀπὸ τοῦ παραπολωλοῦντος.
113. ΑΑΣ. Ἠπατήθη.
114. ΡΙ. Ὄρους ἀκρωτήριον.
116. ΙΦ. Τὴν Θεσσαλοῦ γυναῖκα· ἰφθίμην λέγει ἐπιθετικῶς ἀντὶ τοῦ ἀγαθήν· τὸ γὰρ κύριον αὐτῆς ὄνομα ἦν Λευκίππη.
117. ΕΚΥ. Κατὰ γαγρὸς εἶχεν, ΜΕΙΣ. Καὶ μὴν, Αἰολικῶς, ὥσπερ ῥὶς ῥινὸς, καὶ δὶς διός· ὥτω καὶ μεὶς μεινὸς πλιθύσεται κατὰ τὴν ἀναλογίαν.
118. ΗΛΙ. Διημαρτηκότα Ὗ τελείω ἀριθμοῦ τῶν ἐννέα μηνῶν· ἐπλαμηνιαῖος γὰρ Εὐρυθεὺς ἦν· ἀλιτεῖν οὖν, τὸ ἀποτυχεῖν.
119. ΑΑΚ. Ζεὺς μιγεὶς τῇ Ἡλεκτρυόνος Ἀλκμήνῃ, ὃν τρόπον εἴρηται ἐν τῇ ξ. ἔγκυον κατέγνω· μελλούσης δ' τίκτειν, ὤμοσεν ἐν θεοῖς τὴν ἐκείνῃ τῇ ἡμέρᾳ γεννηθέντα τῶν ἐξ αὐτοῦ βασιλεύσειν. Ἥρα δὲ ζηλοτύπως διατιθεῖσα, τὰς μὲν Ἀλκμήνης ὠδῖνας ἐπέχει, Ἀντίβειαν δὲ, ἣν τινες Λευκίππην εἶπον, τὴν Σθενέλου γυναῖκα κυοφοροῦσαν, Εἰρυθέα ἐπλάμηνον τεκεῖν ἐποίησεν· ὅθεν καὶ τὰ ἐπλάμηνα γεινόμενα, τροφῆς μοῖραν εἴληχε· βασιλεὺς δὲ ὢν Εὐρυθεὺς, Ἡρακλεῖ τοὺς ἄθλους ἐπέταττεν, ὃς τελειώσας καὶ τὰς Ἀθηνᾶς καὶ Ἀπόλλωνος ὑποθήκας, ἀθανασίας μετέλαβε. Πῶς τὰ ἐπλαμηνιαῖα ζωογονεῖται, τὰ δὲ ὀκταμηνιαῖα οὔ; καὶ λέγομεν τρεῖς κινήσεις ἔχειν τὸ βρέφος ἐν τῇ γαγρί· τὴν κατὰ δ'. μῆνα, καθ' ἣν τὰς φυσικὰς ἐμφαίνει κινήσεις· καὶ τὴν ἔτι καθ' ἑβδομον, καθ' ἣν ἔχει κίνησιν τῆς εἰς φῶς προόδου· ἀλλ' ἡ μήτηρ ἀδυνατεῖ καὶ ἀωρός ἐςιν ἀποβαλεῖν· διὰ τοῦτο γίγνεται καὶ ἑτέρα κίνησις κατὰ τὸν θ'. καθ' ἣν ἔχει ὡρὸς δυνάμεως καὶ ἡ μήτηρ ἀποβαλεῖν αὐτό· αἱ δὲ κινήσεις εὐτάκτως εἰς δ'. εἶθ' οὕτως εἰς τρεῖς, ὡς εὐσθενέςεραι· εἶτα εἰς δύο μῆνας, ἃς ἔτι εὐσθενέςεραι· ἐξ ὧν ἀπετελεῖτο τὸ ἐνταύμενον·

Αὐτὴ δ' ἀγγελέουσα, Δία Κρονίωνα προσηύδα· 120
Ζεῦ πάτερ, ἀργικέραυνε, ἔπος τί τοι ἐν φρεσὶ θήσω·
Ἤδη ἀνὴρ γέγον' ἐθλὸς, ὃς Ἀργείοισιν ἀνάξει,
Εὐρυθεὺς, Σθενέλοιο πάϊς Περσηϊάδαο,
Σὸν γένος· οὔ οἱ ἄεικὲς ἀνασσέμεν Ἀργείοισιν.
Ὡς φάτο· τὸ δ' ἄχος ὀξὺ κατὰ φρένα τύψε βαθεῖαν· 125
Αὐτίκα δ' εἷλ' Ἄτην κεφαλῆς λιπαροπλοκάμοιο,
Χωόμενος φρεσὶν ᾗσι, καὶ ὤμοσε καρτερὸν ὅρκον,
Μήποτ' ἐς Οὔλυμπόν τε καὶ οὐρανὸν ἀστερόεντα

αὖτις ἔχουσι καὶ αἱ ὀπῶραι ἀπότριψιν, ὠριμότητα, καὶ ἀποβολὴν τῆς μητρὸς, καθ' ἣν ἀποβάλλει ἡ μήτηρ ὅταν ξηραν θῇ τὸ μεταξὺ τῆς μητρὸς καὶ τῆς ὀπώρας λεγόμενον σπερμάτιον· εἰς τοίνυν τὸν ἕβδομον μῆνα, ἐπεὶ ἔχει κίνησιν τῆς εἰς φῶς προόδου, εἰ γένηται τοῦτο, ἀλγεῖ μὲ ἡ μήτηρ, τὸ δὲ βρέφος σώζεται· κατὰ δὲ τὴ η'. δὴ, συνεχοῦς κινήσεως ὄσης πρὸς τὸν θ'. καὶ ἀλλοκοπείσης ἐκείνης, ἀπόλλυται τὸ κυοφορούμενον καὶ πολλάκις καὶ ἡ μήτηρ, εἰς δὲ τὴν συνεχῆ κίνησιν εἰ γένηται τμῆσις ἐπιπλέον βλάπτει, καὶ δῆλον ἐκ τῆς φλεβοτομίας· οἱ δὲ Πυθαγόρειοι καὶ μαθηματικῶς, ἤτοι ἀριθμητικῶς, τὴν αἰτίαν ἀποδιδόασιν, λέγοντες· ἐκκείσθω τρίγωνον σκαληνὸν τὸ α, β, γ, ἔχον τὴν μὲν α, β, μονάδων δ' τὴν β, γ, μονάδων ε' τὴν δὲ α, γ, μονάδων γ'· φανερὸν, ὅτι κατὰ τὺς Πυθαγορείους ὁ μὲ γ, καὶ ὁ ε, ἄρρενες, ὡς περιτοί· ὁ δὲ δ, θῆλυς, ὡς ἄρτιος· πεπολυπλασιάσθω ὁ δ ἐπὶ τὴ ε, γίνονται κ· καὶ ὁ ε ἐφ' ἑαυτὸν κ ε, ὁμοῦ μ ε' ταῦτα ἐπὶ τὸ ἥμισυ τῆ ἐμβαδῆ τῆ τριγώνυ, ἤτοι τὸν ς, γίνονται σ ο, ἃ περιέχουσι χρόνον μηνῶν θ'. πάλιν, τὸν δ ἐπὶ τὸν ε, γίνονται κ· τὸν γ ἐπὶ τὸν ε, γίνονται ι ε, ὁμῶ λ ε' ταῦτα ἐπὶ τὸ ἥμισυ τῆ ἐμβαδῆ τῆ τριγώνυ τὸν ς, ὁμῶ σ ι· ἃ περιέχυσι χρόνον μηνῶν ζ'. πάλιν, τὸν γ ἐπὶ τὸν ε, γίνονται ι ε· καὶ ὁ ε ἐφ' ἑαυτὸν γίνον) κ ε, ὁμῶ μ'. ταῦτα ἐπὶ τὸ ἥμισυ τῆ ἐμβαδῆ τὸν ς γίνονται σ μ· καὶ περιέχυσι χρόνον μηνῶν η'. ἐπεὶ ὖν μόνον ἐπὶ τῶν θ'. καὶ ζ'. κατὰ φυσικὴν συμπλοκὴν ἄρρενος, καὶ θήλυος τῆ ε, καὶ δ, καὶ γ, οἱ ἀριθμοὶ τῆ ζ'. καὶ θ'. γίνονται, εἰκότως τὰ ἔτι τικτόμενα ζωογονεῖται· ἐπὶ δὲ τῆ η' μηνῶν, οὐ φαίνεται ἄρρενος συμπλοκὴ πρὸς τὸ θῆλυ· ὅτι γὰρ ὁ ε, ὅτι ὁ γ γίνονται ἐπὶ τὸν δ, ὅς ἐστι θῆλυς· εἰκότως οὖν παρὰ φύσιν ὄσης τῆ συμπλοκῆς, ἐ ζωογονεῖται τὰ τικτόμενα.

121. ΑΡ. Λαμπρὸν ἔχων κεραυνὸν, ἢ ταχύν.

123. ΣΘΕ. Εὐρυθέως· ἦν γὰρ Περσέως ἔγγονος, ὅθεν Περσηϊάδην αὐτὸν φησι.

124. ΟΥ. Οὐ δικαιὸν, καὶ ἄεικὲς, καὶ ἀπροικὸς, καὶ οὐ χαλεπὸν αὐτῷ.

126. ΕΙ. Ἀφείλετο δὲ ἐκ τῆς αὐτοῦ βαθυπλοκάμυ κεφαλῆς τὴν Ἄτην, οἱ δὲ, ἐκ τῆ ἠλειμμένυς πλοκάμυς ἐχύσης.

127. ΚΑΡ. Τὸ Στυγὸς ὕδωρ· τὴν Στύγα, Ὠκεανοῦ παῖδα ὖσαν, καὶ αὐτὴν τιμιωτάτην τῶν ἀδελφῶν, μετὰ τὴν τῶν οὐρανίων θεῶν μάχην, τῶν λεγομένων Τιτάνων, εἶναι συνέβη διὰ τήνδε τὴν αἰτίαν· οἱ περὶ Κρόνον Οὐρανοῦ παῖδες, ἀρχαῖοι Τιτᾶνες, τοῖς ἀμφὶ τὴ Δία νεωτέροις θεοῖς πόλεμον ἤραντο, καὶ τοῦ Διὸς συμμάχυ ἀγείροντος, ἡ Στὺξ πρώτη πάντων σὺν τοῖς παισὶν αὐτῆς παρεγένετο· δι' ὃ ἐξόχως αὐτὴν ἐτίμησαν οἱ περὶ τὸν Δία θεοί· καὶ τὸ ὕδωρ αὐτῆς, τῆς ἐν ᾅδου πηγῆς, θεῶν ὅρκον ἐποίησαν.

Αὖτις ἐλεύσεσθαι Ἄτην, ἣ πάντας ἀᾶται.
Ὡς εἰπὼν, ἔῤῥιψεν ἀπ' ὠρανοῦ ἀστερόεντος, 130
Χειρὶ περιστρέψας· τάχα δ' ἵκετο ἔργ' ἀνθρώπων.
Τὴν αἰεὶ στενάχεσκ', ὅθ' ἑὸν φίλον υἱὸν ὀρώτο
Ἔργον ἀεικὲς ἔχοντα ὑπ' Εὐρυσθῆος ἀέθλων.
Ὡς καὶ ἐγὼν, ὅτε δ' αὖτε μέγας κορυθαίολος Ἕκτωρ
Ἀργείους ὀλέεσκεν ἐπὶ πρύμνῃσι νέεσσιν, 135
Οὐ δυνάμην λελαθέσθ' ἄτης, ἣ πρῶτον ἀάσθην.
Ἀλλ' ἐπεὶ ἀασάμην, καί μευ φρένας ἐξέλετο Ζεὺς,
Ἄψ ἐθέλω ἀρέσαι, δόμεναί τ' ἀπερείσι' ἄποινα.
Ἀλλ' ὄρσευ πόλεμόνδε, καὶ ἄλλους ὄρνυθι λαούς·
Δῶρα δ' ἐγὼν ὅδε πάντα παραχεῖν, ὅσσα τοι ἐλθὼν 140
Χθιζὸς ἐνὶ κλισίῃσιν ὑπέσχετο δῖος Ὀδυσσεύς.
Εἰ δ' ἐθέλεις, ἐπίμεινον, ἐπειγόμενός περ ἄρηος·
Δῶρα δέ τοι θεράποντες, ἐμῆς παρὰ νηὸς ἑλόντες,
Οἴσουσ', ὄφρα ἴδῃαι, ὅ τοι μενοεικέα δώσω.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς· 145
Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
Δῶρα μὲν, αἴ κ' ἐθέλῃθα, παραχέμεν, ὡς ἐπιείκες,
Ἠ τ' ἐχέμεν, πάρα σοι· νῦν δὲ μνησώμεθα χάρμης
Αἶψα μάλ'· οὐ γὰρ χρὴ κλοτοπεύειν ἐνθάδ' ἐόντας,
Οὐδὲ διατρίβειν· ἔτι γὰρ μέγα ἔργον ἄρεκτον· 150
Ὡς κέ τις αὖτ' Ἀχιλῆα μετὰ πρώτοισιν ἴδῃαι
Ἔγχεϊ χαλκείῳ Τρώων ὀλέκοντα φάλαγγας·
Ὡς δέ τις ὑμείων μεμνημένος ἀνδρὶ μαχέσθω.

131. ΤΑ. Ταχίως.

138. ΑΡΕ. Φιλοπτοιήσασθαι, ἁρμόσασθαι.

147. ΔΩ. Τὰ μὲν δῶρα εἴτε θέλεις παραχεῖν, εἴτε καὶ παρ' ἑαυτῷ ἔχειν, ἐν σοί ἐστι.

148. ΠΑ. Πάρεστί σοι.

149. ΚΛΟ. Ἤτοι ὑποκλέπτειν αὐτὸς τῆς μάχης ἐν τοῖς λόγοις, ἢ ἑτέρου τινὸς ἐπιθυμεῖν.

150. ΔΙΑ. Χρονοτριβεῖν, παρέλκειν. ΑΡΕ. Ἀτελεύτητον, ἄπρακτον· ἤτοι δὲ περὶ τῆς Πατρόκλου ταφῆς λέγει, ἢ τῆς τοῦ Ἕκτορος ἀναιρέσεως.

Ἱέμενοι νειοῖο βαθείης τέλσον ἱκέσθαι·
Ἡ δὲ μελαίνετ' ὄπισθεν, ἀρηρομένη δὲ ἔοικε,
Χρυσείῃ περ ἐοῦσα· τὸ δὴ περὶ θαῦμ' ἐτέτυκτο.
Ἐν δ' ἐτίθει τέμενος βαθυλήϊον· ἔνθα δ' ἔριθοι 550
Ἤμων, ὀξείας δρεπάνας ἐν χερσὶν ἔχοντες·
Δράγματα δ' ἄλλα μετ' ὄγμον ἐπήτριμα πίπτον ἔραζε,
Ἄλλα δ' ἀμαλλοδετῆρες ἐν ἐλλεδανοῖσι δέοντο.
Τρεῖς δ' ἄρ' ἀμαλλοδετῆρες ἐφέστασαν· αὐτὰρ ὄπισθε
Παῖδες δραγμεύοντες, ἐν ἀγκαλίδεσσι φέροντες, 555
Ἀσπερχὲς πάρεχον· βασιλεὺς δ' ἐν τοῖσι σιωπῇ
Σκῆπτρον ἔχων ἑστήκει ἐπ' ὄγμου γηθόσυνος κῆρ.
Κήρυκες δ' ἀπάνευθεν ὑπὸ δρυῒ δαῖτα πένοντο,
Βοῦν δ' ἱερεύσαντες μέγαν ἄμφεπον· αἱ δὲ γυναῖκες,
Δεῖπνον ἐρίθοισιν, λευκὰ ἄλφιτα πολλὰ πάλυνον. 560
Ἐν δ' ἐτίθει σαφυλῇσι μέγα βρίθουσαν ἀλωὴν,
Καλὴν, χρυσείην· μέλανες δ' ἀνὰ βότρυες ἦσαν·
Ἑστήκει δὲ κάμαξι διαμπερὲς ἀργυρέῃσιν.
Ἀμφὶ δὲ, κυανέην κάπετον, περὶ δ' ἕρκος ἔλασσε
Κασσιτέρου· μία δ' οἴη ἀταρπιτὸς ἦεν ἐπ' αὐτὴν, 565

548. ΜΕ. Βαθεῖα ἐγίγνετο. ΑΡΗ. Ἠρτεριασμένη.

550. ΤΕ. Χωρίον, εἰς τιμὴν ἀποτετμημένον τινί. ΕΡΙ. Κυρίως μὲ, ἐργαζόμενοι· καταχρηστικῶς δὲ, καὶ οἱ μισθοῦ ἐργαζόμενοι.

551. ΗΜΩΝ. Ἐθέριζον.

552. ΔΡΑΓ. Τὰ τῶν χειρῶν πληρώματα.

553. ΑΜΑΛ. Οἱ τὰ δράγματα συνδισμοῦντες, ὅ ἐστι, τοὺς αὐλοὺς τῶν ἀσταχύων. ΕΛ. Τοῖς δεσμοῖς. ΔΕ. Ἐδεσμοῦντο.

555. ΔΡΑΓ. Δράγματα ἐπὶ δεσμὸν συνάγοντες. ΑΓ. Ἀγκάλαις.

556. ΑΣ. Ἀδιαλείπτως. ΒΑ. Νῦν, ὁ τοῦ χωρίου δεσπότης.

557. ΓΗ. Χαίρων τῇ ψυχῇ.

558. ΠΕ. Ἐνήργει.

559. ΑΜ. Περὶ αὐτὸν εἵποντο, ἠκολοῦντο.

560. ΠΑ. Ἐνέμισγον, ἔμασσον.

561. ΒΡΙ. Βαρυμένην τῷ καρπῷ.

563. ΚΑΜ. Πᾶσα δὲ ἐκεχαράκωτο ἡ ἄμπελος, κάμαξιν οὖν ξύλοις, οἵ εἰσι ξύλα ὀρθὰ παραπεπηγότα ταῖς ἀμπέλοις.

564. ΚΑ. Κοῖλον ὄρυγμα, τάφρον. ΕΡ. Τειχίον. ΕΛΑΣ. Ἐποίησεν εἰς μῆκος.

565. ΑΤΑΡ. Ἀταρπὸς, ὁδός.

Τῇ νίσσοντο φορῆες, ὅτε τρυγόωεν ἀλωήν.
Παρθενικαὶ δὲ καὶ ἠΐθεοι, ἀταλὰ φρονέοντες,
Πλεκτοῖς ἐν ταλάροισι φέρον μελιηδέα καρπόν.
Τοῖσιν δ' ἐν μέσσοισι πάϊς φόρμιγγι λιγείῃ
Ἱμερόεν κιθάριζε· λίνον δ' ὑπὸ καλὸν ἄειδε 570
Λεπταλέῃ φωνῇ· τοὶ δὲ ῥήσσοντες ὁμαρτῇ,
Μολπῇ τ' ἰυγμῷ τε, ποσὶ σκαίροντες, ἕποντο.
Ἐν δ' ἀγέλην ποίησε βοῶν ὀρθοκραιράων·
Αἱ δὲ βόες χρυσοῖο τετεύχατο, καστιτέρῳ τε,
Μυκηθμῷ δ' ἀπὸ κόπρῳ ἐπεσσεύοντο νομόνδε 575
Παρ ποταμὸν κελάδοντα, παρὶ ῥοδανὸν δονακῆα·
Χρύσειοι δὲ νομῆες ἅμ' ἑξιχόωντο βόεσσι
Τέσσαρες, ἐννέα δέ σφι κύνες πόδας ἀργοὶ ἕποντο.
Σμερδαλέω δὲ λέοντε δύ' ἐν πρώτῃσι βόεσσι
Ταῦρον ἐρύγμηλον ἐχέτην· ὁ δὲ μακρὰ μεμυκὼς 580
Ἕλκετο· τὸν δὲ κύνες μετεκίαθον, ἠδ' αἰζηοί.
Τὼ μὲν ἀναρρήξαντε βοὸς μεγάλοιο βοείην,
Ἔγκατα καὶ μέλαν αἷμα λαφύσσετον· οἱ δὲ νομῆες

566. ΝΙΔ. Ἐπαρεύοντο. ΦΟ. Οἱ τὸ καρπὸν τὸ γαφυλὼν παραφέροντες.

567. ΑΤ. Τρυφερὰ, νήπια, πρᾶα· κατ' ἐπικράτησιν δὲ τοῦ ἄρρενος εἴρηκε φρονέοντες, καὶ οὐ φρονέουσαι. ΗΙ. Ἄγαμαι, ἀκμάζοντες, εἴοι.

570. ΙΜΕ. Ἐπέρατον, καλόν. ΑΙ. Ἤτοι λίνον, ὃ δὲ ἐξῆπτο αὐτὶ νευρᾶς τῆς κιθάρας, ἐπεὶ οἱ πρῶτοι τοῖς θεοῖς μετὰ φδῆς ὑπεκιθαρίζοντες, οὐκ ἐξ' ἐντέρων κατεσκεύαζον τὰς κιθάρας, οὐχ ὅσιον, ἀλλὰ θεοῖς ἀρεστὸν εἶναι ὑπολαμβάνοντες, διὰ τὸ ἐκ νεκρῶν πεποιῆσθαι, ἀλλὰ ἐκ λίνου πεποιημένον. Ἢ, Λίνον δ' ὑπὸ καλὸν ἄειδεν, ἀντὶ Ϛ, τὴν ἐπὶ Λίνῳ, τῷ Ἀπόλλωνος παιδὶ, ᾠδὴν, ὅντι ἐπικῷ, καὶ ὑπὸ κυνῶν ποιμενικῶν διασπαθέντι, πρώτων φθειρόντων.

571. ΛΕΠ. Λεπτῇ, ἠδείᾳ. ΡΗΣ. Ἀντὶ Ϛ, κροτοῦντες σὺν ἁρμονίᾳ καὶ κτύπῳ τοῖς ποσὶ τὸ ἔδαφος. ΟΜΑΡ. Ὁμῶ καὶ κατὰ τὸ αὐτό.

572. ΙΥΓ. Προσλαμβάνον τὸ, σὺν ᾠδῇ καὶ δωῇ. ΣΚΑΙ. Κινούμενοι, σκιρτῶντες, ἢ πυκνῶς κινούμενοι.

575. ΜΥ. Μυκήσει. ΚΟ. Τῆς ἐπαύλεως, τῦ βυτάθμυ.

576. ΡΟ. Εὐδιάσειστον, εὐκίνητον· διὰ τὰς ἐν αὐτῷ σιφυκότας καλάμους. ΔΟ. Δόνακας ἔχοντα· ἤγουν καλάμους.

578. ΑΡ. Ταχύποδες.

580. ΕΡΥΓ. Μέγα μυκώμενον, ἢ ἐρευγόμενον τὴν τροφήν.

583. ΑΑ. Ἀθρόως ἔδοντο.

Αὕτως ἐνδίεσαν, ταχέας κύνας ὀτρύνοντες.
Οἱ δ' ἤτοι δακέειν μὲν ἀπετρωπῶντο λεόντων, 585
Ἱσάμενοι δὲ μάλ' ἐγγὺς ὑλάκτεον, ἔκ τ' ἀλέοντο.
Ἐν δὲ νομὸν ποίησε περικλυτὸς Ἀμφιγυήεις
Ἐν καλῇ βήσσῃ μέγαν οἰῶν ἀργεννάων,
Σταθμούς τε, κλισίας τε κατηρεφέας, ἰδὲ σηκούς.
Ἐν δὲ χορὸν ποίκιλλε περικλυτὸς Ἀμφιγυήεις, 590
Τῷ ἴκελον, οἷόν ποτ' ἐνὶ Κνωσσῷ εὐρείῃ
Δαίδαλος ἤσκησεν καλλιπλοκάμῳ Ἀριάδνῃ.
Ἔνθα μὲν ἠίθεοι καὶ παρθένοι ἀλφεσίβοιαι
Ὠρχεῦντ', ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχοντες·
Τῶν δ' αἱ μὲν λεπτὰς ὀθόνας ἔχον, οἱ δὲ χιτῶνας 595

584. ΕΝ. Ἐνεκιλεύοντο· παρορμῶντες ἐπίβαλλον.

585. ΑΠΕ. Ἀπετρέποντο.

586. ΕΚ. Καὶ ἐξέκλιναν.

588. ΑΡ. Λαμπρῶν.

589. ΚΑΙ. Νῦν, τὰς τῶν ποιμενίων, καὶ ποιμένων καταγωγάς. ΚΑ. Ἐσκεπασμένας, καλαγέγυς. ΣΗ. Περιβόλους, ἐν οἷς βοσκήματα ἵστανται.

590. ΕΝ. Καὶ τὰ ἑξῆς. Ἐγκατεσκεύασε δὲ ἐπιμελῶς ὁ Ἥφαιστος, καὶ χορὸν ὁμοίαν τάξιν ἔχοντα χορευόντων τῇ ὑπὸ Δαιδάλου τοῦ μηχανικοῦ κατασκευασθείσῃ Ἀριάδνῃ ἐν Κνωσσῷ, πόλει τῆς Κρήτης. Ἱστόρηται ὅτι Θησέα παραγενόμενον ἐξ Ἀφιδνῶν εἰς Ἀθήνας νυκτὶ, καταλαβόντα δὲ τὸν δασμὸν ἀποπεμπόμενον Μίνωϊ εἰς Κρήτην, τοὺς δὶς ἑπτὰ ἠθέους καὶ παρθένους· ἐτίλων δὲ τὸν δασμὸν οἱ Ἀθηναῖοι τοῦτον ἐπὶ τῷ διδόλοφονικέναι Ἀνδρόγεων, τὸν παῖδα Μίνωος, ἀγωνιζόμενον καὶ νικῶντα παρ' αὐτοῖς τὰ Παναθήναια· ἐκόντα οὖν αὐτὸν φασι συγκαταλίξαι τοῖς ἀπιοῦσι, καὶ παραγενόμενοι εἰς Κρήτην, ἠθέως ὀφθῆναι φασιν ὑπὸ Ἀριάδνης, τὸν τοῦ Μίνωος θυγατρός· καὶ διὰ τοῦτο τέχνῃ Δαιδάλου σωθῆναι τρόπῳ τοιῷδε· μίτον ἀγαθίδος ἔδωκε Δαίδαλος τῇ Ἀριάδνῃ, εἰπὼν δοῦναι τῷ Θησεῖ ὅπως τὴν ἀρχὴν ἐξάψας τοῦ εἰσόδου τῆς ἀγαθίδος, ὕστερον ἀνιὼν αὐτὴν εἰσέλθοι εἰς τὸν λαβύρινθον· καὶ περιγενόμενος τοῦ θηρίου, πάλιν ἔχοι ῥᾴδιον καὶ εὐείρετον τὴν ἔξοδον τοῦ λαβυρίνθου, ποικίλως ἐπιπεπλεγμένας ἔχοντος τὰς εἰσόδους· ἐξελθὼν δὲ, καὶ τὸ νικῆσαι, ὁ Θησεύς, μετὰ τῶν ἠθέων καὶ παρθένων, χορὸν τοι ὅτου ἔπλεκεν ἐν κύκλῳ τοῖς θεοῖς, ὁποία καὶ ἡ τοῦ λαβυρίνθου εἴσοδός τε καὶ ἔξοδος αὐτῷ ἐγεγόνει· τὴν δὴ χορείας τὴν ἐμπειρίαν ὁ Δαίδαλος αὐτοῖς ἐπαιδίξας ἐποίησε. ΠΟΙ. Ποικίλη τορευέσι ἐποίει.

593. ΑΛ. Ἔντιμοι· καὶ διὰ τὴν εὐμορφίαν βόας εὑρίσκουσαι ἔδια· θρέμματα γὰρ τὸ παλαιὸν ἐδίδοτο πρὸ τῶν γάμων δῶρα· ὠνόμασται δὲ ἀπὸ μέρους· ἐπειδὴ ἔντιμοι τὸ παλαιὸν οἱ βόες· ἀλφαίνειν γοῦν, τὸ εὑρίσκειν· καὶ ἀλφὴ ἡ τιμὴ, καὶ ἄλφα τὸ στοιχεῖον, ὅτι εὑρέθη πρὸ τῶν ἄλλων.

594. ΕΧ. Ὀρθῶς καὶ τοῦτο κατ' ἐπικράτησιν τοῦ ἀρσενικοῦ πέφρακεν.

595. ΟΘ. Διαφανεῖς ἐνδύτας, λαμπρᾶς.

Εἵατο εὐνήτυς, ἦκα στίλβοντας ἐλαίῳ·
Καί ῥ' αἱ μὲν καλὰς στεφάνας ἔχον, οἱ δὲ μαχαίρας
Εἶχον χρυσείας ἐξ ἀργυρέων τελαμώνων.
Οἱ δ' ὁτὲ μὲν θρέξασκον ἐπισταμένοισι πόδεσσι
Ῥεῖα μάλ', ὡς ὅτε τις τροχὸν ἄρμενον ἐν παλάμῃσιν 600
Ἑζόμενος κεραμεὺς πειρήσεται, αἴ κε θέῃσιν·
Ἄλλοτε δ' αὖ θρέξασκον ἐπὶ στίχας ἀλλήλοισι.
Πολλὸς δ' ἱμερόεντα χορὸν περιΐσταθ' ὅμιλος,
Τερπόμενοι· δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτὺς
Μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέσσυς. 605
Ἐν δ' ἐτίθει ποταμοῖο μέγα θένος Ὠκεανοῖο,
Ἄντυγα πὰρ πυμάτην σάκεος πύκα ποιητοῖο.
Αὐτὰρ ἐπειδὴ τεῦξε σάκος μέγα τε, στιβαρόν τε,
Τεῦξ' ἄρα οἱ θώρηκα φαεινότερον πυρὸς αὐγῆς·
Τεῦξε δέ οἱ κόρυθα βριαρὴν, κροτάφοις ἀραρυῖαν, 610
Καλὴν, δαιδαλέην· ἐπὶ δὲ χρύσεον λόφον ἧκε·
Τεῦξε δέ οἱ κνημῖδας ἑανῷ κασσιτέροιο.
Αὐτὰρ ἐπεὶ πάνθ' ὅπλα κάμε κλυτὸς Ἀμφιγυήεις,
Μητρὸς Ἀχιλλῆος θῆκε προπάροιθεν ἀείρας·
Ἡ δ', ἴρηξ ὡς, ἆλτο κατ' Οὐλύμπυ νιφόεντος, 615
Τεύχεα μαρμαίροντα πὰρ Ἡφαίστοιο φέρουσα.

596. ΕΙ. Ἡμφιεσμένοι ἦσαν. ΕΥ. Εὐνεσμένους, καὶ εἰργασμένους, λειπῶς. ΗΚΑ. Ἡρέμα πῶς στίλβοιμι, ὡς ἔλαιον.

597. ΣΤΕ. Κόσμυς γυναικείυς χρυσοῦς περὶ κεφαλὴν κειμένυς.

598. ΤΕ. Ἀναφορέων.

599. ΘΡΕΞ. Ἐν κύκλῳ ἔτρεχον. ΕΠΙ. Ἐπιστήμοσιν, ἐμπείροις.

600. ΑΡ. Εὖ ἡρμοσμένον πάντοθεν.

601. ΕΖΟ. Διὰ τῆς Ϝ χορεῦ παρεβολῆς ἔγκυκλον αὐτῶν τὴν πορείαν ὑφιστᾷ. ΠΕΙ. Ἀποστιρώμενος ἀνακινήσει.

602. ΕΠΙ. Ἐπ' ὀρθὴν τάξιν.

604. ΚΥ. Ὀρχηστάς.

607. ΑΝ. Παρὰ τὸ ἔσχατον μέρος τῆς ἀσπίδος· πέριξ. ΠΥ. Ἐπιμελῶς, καὶ συνεχῶς κατεσκευασμένυ.

612. ΕΑ. Λαμπρεῦ, εὐχύτυ, ἀπαλοῦ.

615. ΙΡΗΞ. Ἱέραξ.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΙΛΙΑΔΟΣ Υ.

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

ΘΕΤΙΔΟΣ κομισάσης Ἀχιλλεῖ τὰ ὅπλα παρὰ Ἡφαίστου, συνάγαγὼν εἰς ἐκκλησίαν τοὺς Ἕλληνας ὁ ἥρως, ἀπόρρησιν ποιεῖται τῆς μήνιδος, καὶ λαμβάνει τὰ δῶρα, ἅπερ αὐτῷ Ἀγαμέμνων δώσειν ὑπέσχετο. Τροφὴν δὲ ἀπελομένων ἐκείνων, αὐτὸς ἄσιτος διαμείνας ὁπλίζεται, καὶ στρατείαν ἐξάγει ἐπὶ τὸν πόλεμον· ὁ δὲ ὕστερος τῶν ἵππων αὐτοῦ Ξάνθος τὴν ἰσομένην αὐτῷ ἀναίρεσιν καταμαντεύεται, ᾗ καὶ ἐπιπλήττει.

Μήνιδος ἀπόρρησις.

Ταῦ δ', ἀπέληγε χόλοιο καὶ ἔκθορε δῖος Ἀχιλλεύς.

Ἠὼς μὲν κροκόπεπλος ἀπ' Ὠκεανοῖο ῥοάων
Ὤρνυθ', ἵν' ἀθανάτοισι φόως φέροι, ἠδὲ βροτοῖσιν·
Ἡ δ' ἐς νῆας ἵκανε, θεὸς πάρα δῶρα φέρουσα·
Εὗρε δὲ Πατρόκλῳ περικείμενον ὃν φίλον υἱόν,
Κλαίοντα λιγέως· πολέες δ' ἀμφ' αὐτὸν ἑταῖροι 5
Μύρονθ'· ἡ δ' ἐν τοῖσι παρίστατο δῖα θεάων,
Ἔν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
'Τέκνον ἐμὸν, τοῦτον μὲν ἐάσομεν, ἀχνύμενοί περ,
'Κεῖσθαι, ἐπειδὴ πρῶτα θεῶν ἰότητι δαμάσθη·
'Τύνη δ' Ἡφαίστοιο πάρα κλυτὰ τεύχεα δέξο, 10
'Καλὰ μάλ', οἷ' ὄπῃ τις ἀνὴρ ὤμοισι φόρησεν.'
Ὣς ἄρα φωνήσασα θεὰ κατὰ τεύχε' ἔθηκε
Πρόσθεν Ἀχιλλῆος· τὰ δ' ἀνέβραχε δαίδαλα πάντα.

4. ΠΕ. Περιπεπλεγμένον.
5. ΑΙ. Περιπαθῶς, ὀδυνηρῶς, ὀξέως.
6. ΜΥ. Ἐθρήνει.
9. ΙΟ. Βυλήσει.
10. ΤΥ. Σύ· Δωρικῶς.
13. ΑΝΕΒΡΑ. Ποιὸν ἦχον ἀπετέλεσεν.

Μυρμιδόνας δ' ἄρα πάντας ἕλε τρόμος, οὐδέ τις ἔτλη
Ἄντην εἰσιδέειν, ἀλλ' ἔτρεσαν· αὐτὰρ Ἀχιλλεὺς
Ὡς εἶδ', ὡς μιν μᾶλλον ἐδυ χόλος· ἐν δέ οἱ ὄσσε
Δεινὸν ὑπὸ βλεφάρων, ὡσεὶ σέλας, ἐξεφάανθεν·
Τέρπετο δ' ἐν χείρεσσιν ἔχων θεοῦ ἀγλαὰ δῶρα.
Αὐτὰρ ἐπεὶ φρεσὶν ᾗσι τετάρπετο, δαίδαλα λεύσσων,
Αὐτίκα μητέρα ἣν ἔπεα πτερόεντα προσηύδα·

Μῆτερ ἐμή, τὰ μὲν ὅπλα θεὸς πόρεν, οἷ' ἐπιεικὲς
Ἔργ' ἔμεν ἀθανάτων, μηδὲ βροτὸν ἄνδρα τελέσσαι.
Νῦν δ' ἤτοι μὲν ἐγὼ θωρήξομαι· ἀλλὰ μάλ' αἰνῶς
Δείδω, μή μοι τόφρα Μενοιτίου ἄλκιμον υἱὸν
Μυῖαι καδδύσαι κατὰ χαλκοτύπους ὠτειλὰς
Εὐλὰς ἐγγείνωνται, ἀεικίσσωσι δὲ νεκρόν·
Ἐκ δ' αἰὼν πέφαται, κατὰ δὲ χρόα πάντα σαπείη.

Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα·
Τέκνον, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων·
Τῷ μὲν ἐγὼ πειρήσω ἀλαλκεῖν ἄγρια φῦλα,
Μυίας, αἳ ῥά τε φῶτας ἀρηϊφάτους κατέδουσιν.
Ἤπερ γὰρ κεῖται γε τελεσφόρον εἰς ἐνιαυτὸν,
Αἰεὶ τῷδ' ἔσται χρὼς ἔμπεδος, ἠὲ καὶ ἀρείων.
Ἀλλὰ σύγ' εἰς ἀγορὴν καλέσας ἤρωας Ἀχαιοὺς,
Μῆνιν ἀπειπὼν Ἀγαμέμνονι, ποιμένι λαῶν,

15. ΕΤΡΕ. Ἐφοβήθησαν.
19. ΕΤΑΡ. Ἐτίρφθη.
21. ΟΙ. Ὁποῖα εἰκὸς θεῶν ἔργα εἶναι· τοιαῦτα, οἷα ἔπρεπε θεῶν παρέχειν· ἐπιεικὲς γὰρ, τὸ πρέπον.
25. ΚΑΔ. Κατιλθοῦσαι. ΧΑΛ. Ὑπὸ σιδήρου τρωθέντας.
26. ΕΥ. Σκώληκας ἐγγενόσωσιν· ἴσως δὲ εἴρηται εὐλαὶ οἱ σκώληκες, παρὰ τὴν εἴλησιν. ΑΕΙ. Ἀφανίσωσιν, αἰκίσωσιν.
27. ΑΙ. Ἤτοι ἀνῄρηται ὁ βίος· ὅ ἐστι, ζωῆς ἐστέρηται, ἢ ὡς οἱ γλωσσογράφοι, αἰὼν ἔφθαρται· ὅ ἐστιν, ὁ νυκτιαῖος μυελός. ΠΕ. Τέτρωται, ἀνῄρηται, ἠφάνισται.
29. ΜΕ. Ἀντὶ τοῦ, μελέτωσαν.
31. ΑΡΗ. Ἐν πολέμοις πεφονευμένους, ἢ σιδήρῳ· καὶ γὰρ ὁ σίδηρος, ἄρης.
32. ΤΕ. Τὸν πάλαι τελειῶντα· ὅ ἐστι, τελείους καρποὺς φέροντα.

Αἶψα μάλ' ἐς πόλεμον θωρήσσεο, δύσεο δ' ἀλκήν.
Ὡς ἄρα φωνήσασα μένος πολυθαρσὲς ἐνῆκε·
Πατρόκλῳ δ' αὖτ' ἀμβροσίην καὶ νέκταρ ἐρυθρὸν
Στάξε κατὰ ῥινῶν, ἵνα οἱ χρὼς ἔμπεδος εἴη.
Αὐτὰρ ὁ βῆ παρὰ θῖνα θαλάσσης δῖος Ἀχιλλεὺς, 40
Σμερδαλέα ἰάχων, ὦρσεν δ' ἥρωας Ἀχαιοὺς·
Καί ῥ' οἵπερ τὸ πάρος γε νεῶν ἐν ἀγῶνι μένεσκον,
Οἵ τε κυβερνῆται καὶ ἔχον οἰήια νηῶν,
Καὶ ταμίαι παρὰ νηυσὶν ἔσαν, σίτοιο δοτῆρες·
Καὶ μὴν οἱ τότε γ' εἰς ἀγορὴν ἴσαν, ὕνεκ' Ἀχιλλεὺς 45
Ἐξεφάνη, δηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς.
Τὼ δὲ δύω σκάζοντε βάτην Ἄρεος θεράποντε,
Τυδείδης τε μενεπτόλεμος, καὶ δῖος Ὀδυσσεὺς,
Ἔγχει ἐρειδομένω· ἔτι γὰρ ἔχον ἕλκεα λυγρά·
Καδδὲ μετὰ πρώτῃ ἀγορῇ ἵζοντο κιόντες. 50
Αὐτὰρ ὁ δεύτατος ἦλθεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
Ἕλκος ἔχων· καὶ γὰρ τὸν ἐνὶ κρατερῇ ὑσμίνῃ
Οὖτα Κόων Ἀντηνορίδης χαλκήρεϊ δουρί.
Αὐτὰρ ἐπειδὴ πάντες ἀολλίσθησαν Ἀχαιοὶ,
Τοῖσι δ' ἀνιστάμενος μετέφη πόδας ὠκὺς Ἀχιλλεύς· 55
Ἀτρείδη, ἦ ἄρ τι τόδ' ἀμφοτέροισιν ἄρειον
Ἔπλετο, σοὶ καὶ ἐμοί· ὅτε νῶϊ περ, ἀχνυμένω κῆρ,

38. ΑΜ. Θειότητα.

40. ΑΥ. Ἐζήτηται, διὰ ποίαν αἰτίαν οὐ χρῆται κήρυκι ὁ Ἀχιλλεὺς πρὸς τὸ συγκαλέσαι τοὺς ὄχλους. Ῥητέον ὅν, ὅτι ἔθος ἐστὶν ἀρχαῖον αὐτοῦ τοῦτο· οὕτως γὰρ καὶ ἐν τῇ α'. ῥαψῳδίᾳ αὐτὸς Ἀχιλλεὺς συγκαλεῖ ἄλλως τε καὶ διὰ τὴν χαρὰν μετὰ σπουδῆς συνδιδραμήκασιν, οὐδὲ τοὺς κήρυκας ἀναμείναντες.

43. ΟΙ. Οἴακας, πηδάλια.

47. ΤΩ. Συλληπτικῶς πέφρακε· μόνος γὰρ ὁ Διομήδης ὤφειλε σκάζειν κατὰ τοῦ ταρσοῦ τετρωμένος· ὁ μέντοι Ὀδυσσεὺς τὴν πλευρὰν, εἰ μὴ κατὰ συμπάθειαν τῶν μερῶν δόξαιμεν αὐτὸν τοῦτο πεποιηθέναι.

50. ΠΡΩ. Τῇ προεδρείᾳ.

51. ΔΕΥ. Ἔχατος.

56. ΤΟ. Κατ' ἐπερώτησιν ἀναγνωστέον· θέλει γὰρ εἰπεῖν, ὅτι ἄρειον ἀμφοτέροις ὁμοιοτεῖν ὑπάρχει. ΑΡΕΙ. Βέλτιον.

Θυμοβόρῳ ἔριδι μενεήναμεν εἵνεκα κούρης.
Τὴν ὄφελ' ἐν νήεσσι κατακτάμεν Ἄρτεμις ἰῷ,
Ἤματι τῷ, ὅτ' ἐγὼν ἐλόμην Λυρνησσὸν ὀλέσσας· 60
Τῷ κ' οὐ τόσσοι Ἀχαιοὶ ὀδὰξ ἔλον ἄσπετον οὖδας,
Δυσμενέων ὑπὸ χερσὶν, ἐμεῦ ἀπομηνίσαντος.
Ἕκτορι μὲν καὶ Τρωσὶ τὸ κέρδιον· αὐτὰρ Ἀχαιοὺς
Δηρὸν ἐμῆς καὶ σῆς ἔριδος μνήσεσθαι ὀΐω.
Ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν, ἀχνύμενοί περ, 65
Θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκῃ.
Νῦν δ' ἤτοι μὲν ἐγὼ παύω χόλον, οὐδέ τί με χρὴ
Ἀσκελέως αἰεὶ μενεαινέμεν· ἀλλ' ἄγε θᾶσσον
Ὄτρυνον πόλεμόνδε καρηκομόωντας Ἀχαιοὺς,
Ὄφρ' ἔτι καὶ Τρώων πειρήσομαι ἀντίος ἐλθὼν, 70
Αἴ κ' ἐθέλωσ' ἐπὶ νηυσὶν ἰαύειν· ἀλλά τιν' οἴω
Ἀσπασίως αὐτῶν γόνυ κάμψειν, ὅς κε φύγῃσι
Δηΐου ἐκ πολέμοιο ὑπ' ἔγχεος ἡμετέροιο.'
Ὣς ἔφαθ'· οἱ δ' ἐχάρησαν εὐκνήμιδες Ἀχαιοὶ,
Μῆνιν ἀπειπόντος μεγαθύμου Πηλείωνος. 75
Τοῖσι δὲ καὶ μετέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
Αὐτόθεν ἐξ ἕδρης, οὐδ' ἐν μέσσοισιν ἀναστάς·
'Ὦ φίλοι, ἥρωες Δαναοὶ, θεράποντες Ἄρηος,
Ἑστάτος μὲν καλὸν ἀκούεμεν, οὐδὲ ἔοικεν
Ὑβάλλειν· χαλεπὸν γὰρ, ἐπιστάμενόν περ ἐόντα. 80
Ἀνδρῶν δ' ἐν πολλῷ ὁμάδῳ πῶς κέν τις ἀκούσαι,
Ἠ εἴποι; βλάβεται δὲ λιγύς περ ἐὼν ἀγορητής.

60. ΛΥΡ. Πόλις τῆς Ὑποπλακίου Θήβης τῆς Κιλικίας.

61. ΤΩ. Οὕτως ἂν οὐ τοσοῦτοι ἀνηρέθησαν.

79. ΕΣΤΑ. Εἰδὼς ὁ Ἀγαμέμνων, ὅτι μέλλει θορυβεῖσθαι, ὡς αἴτιος γεγονὼς φθορᾶς τῇ Ἑλληνικῇ στρατιᾷ, ἡσυχίαν ἑαυτῷ προκαταασκευάζει, λέγων, δύσκολον εἶναι ἐν πολλῷ θορύβῳ διαλέγεσθαι· ἔνιοι δὲ καθεζόμενον τὸν Ἀγαμέμνονα ὑπενόησαν δημηγορεῖν.

80. ΥΒ. Ὑποκρούειν, ἐμποδίζειν τὸν λέγοντα· τινὲς δὲ κακῶς ἤκουσαν τὸ δὲ ἑταίρου λέγειν. ΕΠΙ. Ἔμπειρος.

Πηλείδη μὲν ἐγὼν ἐνδείξομαι· αὐτὰρ οἱ ἄλλοι
Σύνθεσθ', Ἀργεῖοι, μῦθόν τ' εὖ γνῶτε ἕκαστος.
Πολλάκι δή μοι τοῦτον Ἀχαιοὶ μῦθον ἔειπον, 85
Καί τέ με νεικείεσκον· ἐγὼ δ' οὐκ αἴτιός εἰμι,
Ἀλλὰ Ζεὺς, καὶ Μοῖρα, καὶ ἠεροφοῖτις Ἐρινύς,
Οἵτε μοι εἰν ἀγορῇ φρεσὶν ἔμβαλον ἄγριον ἄτην,
Ἤματι τῷ, ὅτ' Ἀχιλλῆος γέρας αὐτὸς ἀπηύρων.
Ἀλλὰ τί κεν ῥέξαιμι; θεὸς διὰ πάντα τελευτᾷ. 90
Πρέσβα Διὸς θυγάτηρ Ἄτη, ἣ πάντας ἀᾶται,
Οὐλομένη· τῆς μέν θ' ἁπαλοὶ πόδες· οὐ γὰρ ἐπ' ἄδει
Πίλναται, ἀλλ' ἄρα ἥγε κατ' ἀνδρῶν κράατα βαίνει,
Βλάπτουσ' ἀνθρώπους· κατὰ δ' ἕν ἕτερόν γε πέδησε.
Καὶ γὰρ δή νύ ποτε Ζῆν' ἄσσατο, τόν περ ἄριστον 95
Ἀνδρῶν ἠδὲ θεῶν φασ' ἔμμεναι· ἀλλ' ἄρα καὶ τὸν
Ἥρη, θῆλυς ἐοῦσα, δολοφροσύνῃς ἀπάτησεν,
Ἤματι τῷ, ὅτ' ἔμελλε βίην Ἡρακληείην
Ἀλκμήνη τέξεσθαι ἐϋστεφάνῳ ἐνὶ Θήβῃ.
Ἤτοι ὅγ' εὐχόμενος μετέφη πάντεσσι θεοῖσι· 100
Κέκλυτέ μευ, πάντες τε θεοὶ, πᾶσαί τε θέαιναι,
Ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσιν ἀνώγει·
Σήμερον ἄνδρα φόωσδε μογοστόκος Εἰλείθυια
Ἐκφανεῖ, ὃς πάντεσσι περικτιόνεσσιν ἀνάξει,

83. ΠΗ. Οἷον, τὴν ἀπότασιν τῶν λόγων πρὸς Ἀχιλλέα ποιήσομαι φανερῶς, ἢ ἀπολογήσομαι.

84. ΣΥΝ. Οἱ δὲ λοιποὶ ἀκούσαντες, εἴπατε τοῖς μὴ ἀκούσασι.

87. ΗΕ. Ἡ διὰ τοῦ σκότους φοιτῶσα, ἢ ἀόρατος, ἢ ἡ ἀπροοράτως φοιτῶσα καὶ ἐπερχομένη, ὡς τιμωρὸς τῶν ἀδικημάτων· ἔστι δὲ καθαχθονία δαίμων, ἡ Ἐρινύς, οἷον, ἡ διερευνῶσα τὰ ἐν ταῖς πράξεσιν ἔργα.

93. ΠΙ. Οὐ γὰρ προσπελάζει τῇ γῇ.

94. ΕΤ. Ἕνα γέ τινα ἔβλαψεν, ὅτι μὴ πολλούς.

95. ΑΣ. Ἔβλαψεν ἡ Ἄτη.

99. ΕΥ. Κατατετειχισμένη, μεταφορικῶς, διὰ τὸ ὑπὸ Ἀμφίονος καὶ Ζήθου αὐτὴν τετειχίσθαι.

103. ΜΟ. Ἡ περὶ τὰς τικτούσας κοπιῶσα· ἢ ἡ τοὺς μόγους ἐπικουφίζουσα τῶν τικτουσῶν.

104. ΠΕ. Περιοίκους.

‘ Τῶν ἀνδρῶν γενεῆς, οἱ θ᾽ αἵματος ἐξ ἐμεῦ εἰσι. 105
‘ Τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·
‘ Ψευσήσεις, ὐδ᾽ αὖτε τέλος μύθῳ ἐπιθήσεις·
‘ Εἰ δ᾽ ἄγε, νῦν μοι ὄμοσσον, Ὀλύμπιε, καρτερὸν ὅρκον,
‘ Ἦ μὴν τὸν πάντεσσι περικτιόνεσσιν ἀνάξειν,
‘ Ὃς κεν ἐπ᾽ ἤματι τῷδε πέσῃ μετὰ ποσσὶ γυναικὸς 110
‘ Τῶν ἀνδρῶν, οἳ σῆς ἐξ αἵματός εἰσι γενέθλης.
‘ Ὣς ἔφατο· Ζεὺς δ᾽ ὔτι δολοφροσύνην ἐνόησεν,
‘ Ἀλλ᾽ ὄμοσεν μέγαν ὅρκον, ἔπειτα δὲ πολλὸν ἀάσθη.
‘ Ἥρη δ᾽ αἶψα λίπεν ῥίον Οὐλύμποιο,
‘ Καρπαλίμως δ᾽ ἵκετ᾽ Ἄργος Ἀχαιϊκὸν, ἔνθ᾽ ἄρα ἤδη 115
‘ Ἰφθίμην ἄλοχον Σθενέλου Περσηϊάδαο·
‘ Ἡ δ᾽ ἐκύει φίλον υἱὸν, ὁ δ᾽ ἕβδομος εἰςήκει μείς·
‘ Ἐκ δ᾽ ἄγαγε προφόωσδε, καὶ ἠλιτόμηνον ἐόντα·
‘ Ἀλκμήνης δ᾽ ἀπέπαυσε τόκον, ἀχέθε δ᾽ Εἰλειθυίας·

105. ΑΙ. Ἀντὶ Ὗ, σπέρμαίος, γένος.
107. ΨΕΥ. Ψεύσῃ.
110. ΠΕ. Γενηθῇ, ἀπὸ τοῦ παρακολουθοῦντος.
113. ΑΑΣ. Ἠπατήθη.
114. ΡΙ. Ὄρους ἀκρωτήριον.
116. ΙΦ. Τὴν Θεσσαλοῦ γυναῖκα· ἰφθίμην λέγει ἐπιθετικῶς ἀντὶ τοῦ ἀγαθήν· τὸ γὰρ κύριον αὐτῆς ὄνομα ἦν Λευκίππη.
117. ΕΚΥ. Κατὰ γαστρὸς εἶχεν, ΜΕΙΣ. Καὶ μὴν, Αἰολικῶς, ὥσπερ ῥὶς ῥινὸς, καὶ θὶς θινός· ὥτω καὶ μεὶς μεινὸς πληθύσεται κατὰ τὴν ἀναλογίαν.
118. ΗΛΙ. Δεκαμαρτημόρια Ὗ τελείω ἀριθμοῦ τῶν ἐννέα μηνῶν· ἐπλαμηνιαῖος γὰρ Εὐρυσθεὺς ἦν· ἀλιτεῖν οὖν, τὸ ἀποτυχεῖν.
119. ΑΛΚ. Ζεὺς μεγεὶς τῇ Ἠλεκτρυόνος Ἀλκμήνῃ, ὃν τρόπον εἴρηται ἐν τῇ ξ. ἔγκυον κατέστησε· μελλόσης δ᾽ τίκτειν, ὤμοσεν ἐν θεοῖς τὴν ἐκείνῃ τῇ ἡμέρᾳ γενηθέντα τῶν ἐξ αὐτοῦ βασιλεύσειν. Ἥρα δὲ ζηλοτύπως διατιθεῖσα, τὰς μὲν Ἀλκμήνης ὠδῖνας ἐπέσχεν, Ἀντίβειαν δὲ, ἣν τινες Λευκίππην εἶπον, τὴν Σθενέλου γυναῖκα κυοφοροῦσαν, Εὐρυσθέα ἑπτάμηνον τεκεῖν ἐποίησεν· ὅθεν καὶ τὰ ἑπτάμηνα γεννώμενα, τροφῆς μοῖραν εἴληχε· βασιλεὺς δὲ ὢν Εὐρυσθεὺς, Ἡρακλεῖ τοὺς ἄθλους ἐπέταττεν, ὃς τελειώσας καὶ τὰς Ἀθηνᾶς καὶ Ἀπόλλωνος ὑποθήκας, ἀθανασίας μετέλαβε. Ζῶς τὰ ἑπταμηνιαῖα ζωογονεῖται, τὰ δὲ ὀκταμηνιαῖα οὔ; καὶ λέγομεν τρεῖς κινήσεις ἔχειν τὸ βρέφος ἐν τῇ γαστρί· τὴν κατὰ δ᾽. μῆνα, καθ᾽ ἣν τὰς φυσικὰς ἐμφαίνει κινήσεις· καὶ τὴν ἔτι καθ᾽ ἑβδομον, καθ᾽ ἣν ἔχει κίνησιν τῆς εἰς φῶς προόδου· ἀλλ᾽ ἡ μήτηρ ἀδυνατεῖ καὶ ἀωρός ἐστιν ἀποβαλεῖν· διὰ τοῦτο γίγνεται καὶ ἑτέρα κίνησις κατὰ τὸν θ᾽. καθ᾽ ἣν ἔχει ὥρας δυνάμεως καὶ ἡ μήτηρ ἀποβαλεῖν αὐτό· αἱ δὲ κινήσεις αὐτάκλωσις εἰς δ᾽. εἶθ᾽ οὕτως εἰς τρεῖς, ὡς εὐσθενέστεραι· εἶτα εἰς δύο μῆνας, ὡς ἔτι ἀσθενέστεραι· ἐξ ὧν ἀπεκλαῖεται τὰ ἑπτάμηνα

Αὐτὴ δ' ἀγγελέουσα, Δία Κρονίωνα προσηύδα· 120
Ζεῦ πάτερ, ἀργικέραυνε, ἔπος τί τοι ἐν φρεσὶ θήσω·
Ἤδη ἀνὴρ γέγον' ἐσθλὸς, ὃς Ἀργείοισιν ἀνάξει,
Εὐρυσθεὺς, Σθενέλοιο πάϊς Περσηϊάδαο,
Σὸν γένος· οὔ οἱ ἀεικὲς ἀνασσέμεν Ἀργείοισιν.
Ὣς φάτο· τὸ δ' ἄχος ὀξὺ κατὰ φρένα τύψε βαθεῖαν· 125
Αὐτίκα δ' εἷλ' Ἄτην κεφαλῆς λιπαροπλοκάμοιο,
Χωόμενος φρεσὶν ᾗσι, καὶ ὤμοσε καρτερὸν ὅρκον,
Μήποτ' ἐς Οὔλυμπόν τε καὶ οὐρανὸν ἀστερόεντα

αὕτης ἔχουσι καὶ αἱ ὀπῶραι ἀπότριψιν, ὠριμότητα, καὶ ἀποβολὴν τοῦ μητρὸς, καθ' ἣν ἀποβάλλει ἡ μήτηρ ὅταν ξηρανθῇ τὸ μεταξὺ τῆς μητρὸς καὶ τῆς ὀπώρας λεγόμενον σπερμάτιον· εἰς τοίνυν τὸν ἕβδομον μῆνα, ἐπεὶ ἔχει κίνησιν τοῦ εἰς φῶς προόδου, εἰ γίνηται τοῦτο, ἀλγεῖ μὲ ἡ μήτηρ, τὸ δὲ βρέφος σώζεται· κατὰ δὲ τὸν η'. ὂν, συνεχοῦς κινήσεως ὄσης πρὸς τὸν θ'. καὶ θλιβομένης ἐκείνης, ἀπόλλυται τὸ κυοφορούμενον καὶ πολλάκις καὶ ἡ μήτηρ, εἰς δὲ τὴν συνεχῆ κίνησιν εἰ γένηται τμῆσις ἐπιπλέον βλάπτει, καὶ δῆλον ἐκ τοῦ φλεβοτομίας· οἱ δὲ Πυθαγόρειοι καὶ μαθηματικῶς, ἤτοι ἀριθμητικῶς, τὴν αἰτίαν ἀποδιδόασιν, λέγοντες· ἐκκείσθω τρίγωνον σκαληνὸν τὸ α, β, γ, ἔχον τὴν μὲν α, β, μονάδων δ' τὴν β, γ, μονάδων ε' τὴν δὲ α, γ, μονάδων γ'· φανερὸν, ὅτι κατὰ τὰς Πυθαγορείους ὁ μὲ γ, καὶ ὁ ε, ἄρρενες, ὡς περιττοί· ὁ δὲ δ, θῆλυς, ὡς ἄρτιος· πεπολυπλασιάσθω ὁ δ ἐπὶ τὸ ε, γίνονται κ· καὶ ὁ ε ἐφ' ἑαυτὸν κ ε, ὁμοῦ μ ε· ταῦτα ἐπὶ τὸ ἥμισυ τοῦ ἐμβαδοῦ τοῦ τριγώνου, ἤτοι τὸν ς, γίνονται σ ο, ἃ περιέχουσι χρόνον μηνῶν θ'. πάλιν, τὸν δ ἐπὶ τὸν ε, γίνονται κ· τὸν γ ἐπὶ τὸν ε, γίνονται ι ε, ὁμοῦ λ ε· ταῦτα ἐπὶ τὸ ἥμισυ τοῦ ἐμβαδοῦ τοῦ τριγώνου τὸν ς, ὁμοῦ σ ι· ἃ περιέχουσι χρόνον μηνῶν ζ'. πάλιν, τὸν γ ἐπὶ τὸν ε, γίνονται ι ε· καὶ ὁ ε ἐφ' ἑαυτὸν γίνον κ ε, ὁμοῦ μ'. ταῦτα ἐπὶ τὸ ἥμισυ τοῦ ἐμβαδοῦ τὸν ς γίνονται σ μ· καὶ περιέχουσι χρόνον μηνῶν η'. ἐπεὶ οὖν μόνον ἐπὶ τῶν θ'. καὶ ζ'. κατὰ φυσικὴν συμπλοκὴν ἄρρενες, καὶ θῆλυς τοῦ ε, καὶ δ, καὶ γ, οἱ ἀριθμοὶ τῶν ζ'. καὶ θ'. γίνονται, εἰκότως τὰ ὕστερον τικτόμενα ζωογονεῖται· ἐπὶ δὲ τῶν η' μηνῶν, οὐ φαίνεται ἄρρενος συμπλοκὴ πρὸς τὸ θῆλυ· ὅτι γὰρ ὁ ε, ὅτι ὁ γ γίνονται ἐπὶ τὸν δ, ὅς ἐστι θῆλυς· εἰκότως οὖν παρὰ φύσιν ὄσης τοῦ συμπλοκῆς, ὁ ζωογονεῖται τὰ τικτόμενα.

121. ΑΡ. Λαμπρὸν ἔχων κεραυνὸν, ὁ ταχύν.

123. ΣΘΕ. Εὐρυσθέως· ἦν δὲ Περσέως ἔγγονος, ὅθεν Περσηϊάδην αὐτὸν φησι.

124. ΟΥ. Οὐ δεινὸν, καὶ ἀεικὲς, καὶ ἀπρεπὲς, καὶ οὐ χαλεπὸν αὐτῷ.

126. ΕΙ. Ἀφείλετο δὲ ἐκ τῆς αὐτοῦ βαθυπλοκάμου κεφαλῆς τὴν Ἄτην, οἱ δὲ, ἐκ τοῦ ἠλειμμένου πλοκάμου ἐχούσης.

127. ΚΑΡ. Τὸ Στυγὸς ὕδωρ· τὴν Στύγα, Ὠκεανοῦ παῖδα οὖσαν, καὶ αὐτὴν τιμιωτάτην τῶν ἀδελφῶν, μετὰ τὴν τῶν οὐρανίων θεῶν μάχην, τῶν λεγομένων Τιτάνων, εἶναι συνέβη διὰ τήνδε τὴν αἰτίαν· οἱ περὶ Κρόνον Οὐρανοῦ παῖδες, ἀρχαῖοι Τιτᾶνες, τοῖς ἀμφὶ τὸν Δία νεωτέροις θεοῖς πόλεμον ἤραντο, καὶ τοῦ Διὸς συμμάχου ἀγείροντος, ἡ Στὺξ πρώτη πάντων σὺν τοῖς παισὶν αὐτῆς παρεγένετο· δι' ὃ ἐξόχως αὐτὴν ἐτίμησαν οἱ περὶ τὸν Δία θεοί· καὶ τὸ ὕδωρ αὐτῆς, τῆς ἐν ᾅδου πηγῆς, θεῶν ὅρκον ἐποίησαν.

Αὖτις ἐλεύσεσθαι Ἄτην, ἣ πάντας ἀᾶται.
Ὡς εἰπὼν, ἔρριψεν ἀπ' οὐρανοῦ ἀστερόεντος,
Χειρὶ περιστρέψας· τάχα δ' ἵκετο ἔργ' ἀνθρώπων.
Τὴν αἰεὶ στενάχεσκ', ὅθ' ἑὸν φίλον υἱὸν ὁρῶτο
Ἔργον ἀεικὲς ἔχοντα ὑπ' Εὐρυσθῆος ἀέθλων.
Ὡς καὶ ἐγὼν, ὅτε δ' αὖτε μέγας κορυθαίολος Ἕκτωρ
Ἀργείους ὀλέεσκεν ἐπὶ πρύμνησι νέεσσιν,
Οὐ δυνάμην λελαθέσθ' ἄτης, ἣ πρῶτον ἀάσθην.
Ἀλλ' ἐπεὶ ἀασάμην, καί μευ φρένας ἐξέλετο Ζεὺς,
Ἄψ ἐθέλω ἀρέσαι, δόμεναί τ' ἀπερείσι' ἄποινα.
Ἀλλ' ὄρσευ πόλεμόνδε, καὶ ἄλλους ὄρνυθι λαούς·
Δῶρα δ' ἐγὼν ὅδε πάντα παραχεῖν, ὅσσα τοι ἐλθὼν
Χθιζὸς ἐνὶ κλισίῃσιν ὑπέσχετο δῖος Ὀδυσσεύς.
Εἰ δ' ἐθέλεις, ἐπίμεινον, ἐπειγόμενός περ ἄρηος·
Δῶρα δέ τοι θεράποντες, ἐμῆς παρὰ νηὸς ἑλόντες,
Οἴσουσ', ὄφρα ἴδηαι, ὅ τοι μενοεικέα δώσω.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
Δῶρα μὲν, αἴ κ' ἐθέλῃθα, παραχέμεν, ὡς ἐπίειικές,
Ἤτ' ἐχέμεν, πάρα σοι· νῦν δὲ μνησώμεθα χάρμης
Αἶψα μάλ'· οὐ γὰρ χρὴ κλοτοπεύειν ἐνθάδ' ἐόντας,
Οὐδὲ διατρίβειν· ἔτι γὰρ μέγα ἔργον ἄρεκτον·
Ὡς κέ τις αὖτ' Ἀχιλῆα μετὰ πρώτοισιν ἴδηται
Ἔγχεϊ χαλκείῳ Τρώων ὀλέκοντα φάλαγγας·
Ὡς δέ τις ὑμείων μεμνημένος ἀνδρὶ μαχέσθω.

131. ΤΑ. Ταχίως.

138. ΑΡΕ. Φιλοποιήσασθαι, ἁρμόσασθαι.

147. ΔΩ. Τὰ μὲν δῶρα εἴτε θέλεις παραχεῖν, εἴτε καὶ παρ' ἑαυτῷ ἔχειν, ἐν σοί ἐστι.

148. ΠΑ. Πάρεστί σοι.

149. ΚΛΟ. Ἤτοι ὑποκλέπτειν αὐτὸς τῆς μάχης ἐν τοῖς λόγοις, ἢ ἑτέρου τινὸς ἐπιθυμεῖν.

150. ΔΙΑ. Χρεουργεῖν, παρέλκειν. ΑΡΕ. Ἀτελέωτον, ἄπρακτον· ἤτοι Ἀ περὶ τῆς Πατρόκλου ταφῆς λέγει. Ἢ τῶν τοῦ Ἕκτορος ἀναιρέσεων.

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Μηδ' ἔτως, ἀγαθός περ ἐὼν, θεοείκελ' Ἀχιλλεῦ, 155
Νήϊας ὄτρυνε προτὶ Ἴλιον υἷας Ἀχαιῶν
Τρωσὶ μαχεσσομένους· ἐπεὶ οὐκ ὀλίγον χρόνον ἔσται
Φύλοπις, εὖτ' ἂν πρῶτον ὁμιλήσωσι φάλαγγες
Ἀνδρῶν, ἐν δὲ θεὸς πνεύσῃ μένος ἀμφοτέροισιν·
Ἀλλὰ πάσασθαι ἄνωχθι θοῆς ἐπὶ νηυσὶν Ἀχαιοὺς 160
Σίτου καὶ οἴνοιο· τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή.
Οὐ γὰρ ἀνὴρ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
Ἄκμηνος σίτοιο δυνήσεται ἄντα μάχεσθαι·
Εἴπερ γὰρ θυμῷ γε μενοινάα πολεμίζειν,
Ἀλλά τε λάθρη γυῖα βαρύνεται, ἠδὲ κιχάνει 165
Δίψα τε καὶ λιμὸς, βλάβεται δέ τε γούνατ' ἰόντι.
Ὃς δέ κ' ἀνὴρ, οἴνοιο κορεσσάμενος καὶ ἐδωδῆς,
Ἀνδράσι δυσμενέεσσι πανημέριος πολεμίζει,
Θαρσαλέον νύ οἱ ἦτορ ἐνὶ φρεσὶν, οὐδέ τι γυῖα
Πρὶν κάμνει, πρὶν πάντας ἐρωήσαι πολέμοιο. 170
Ἀλλ' ἄγε, λαὸν μὲν σκέδασον, καὶ δεῖπνον ἄνωχθι
Ὅπλεσθαι· τὰ δὲ δῶρα ἄναξ ἀνδρῶν Ἀγαμέμνων
Οἴσέτω ἐς μέσσην ἀγορὴν, ἵνα πάντες Ἀχαιοὶ
Ὀφθαλμοῖσιν ἴδωσι, σὺ δὲ φρεσὶ σῇσιν ἰαύθῃς.
Ὀμνύέτω δέ τοι ὅρκον, ἐν Ἀργείοισιν ἀνάσσας, 175
Μήποτε τῆς εὐνῆς ἐπιβήμεναι, ἠδὲ μιγῆναι,
Ἣ θέμις ἐστὶν, ἄναξ, ἠὲ ἀνδρῶν ἠὲ γυναικῶν·
Καὶ δὲ σοὶ αὐτῷ θυμὸς ἐνὶ φρεσὶν ἵλαος ἔστω·

158. ΠΡΩ. Νῦν, καθάπαξ. ΟΜΙ. Εἰς ταυτὸ συνέλθωσιν αἱ τῶν στρατιωτῶν τάξεις πολεμοῦσαι, συμπλακεῖσαι.

160. ΠΑ. Γεύσασθαι. ΑΝΩΧ. Κέλευσον.

161. ΜΕ. Τοῦτο γὰρ τῆς θρεπτικῆς δυνάμεως ἐστὶ παρασκευαστικὸν παντὸς σώματος.

163. ΑΚ. Ἄγευστος.

164. ΜΕ. Προθυμεῖται.

169. ΘΑΡ. Ὑπομονητικὸν, τολμηρόν.

170. ΕΡΩ. Ὑποχωρῆσαι.

171. ΣΚΕ. Σκόρπισον.

174. ΙΑΝ. Διαγυδῆς, χαρῆς.

Αὐτὰρ ἔπειτά σε δαιτὶ ἐνὶ κλισίῃς ἀρεσάωθω
Πιείρῃ, ἵνα μή τι δίκης ἐπιδευὲς ἔχῃθα. 180
Ἀτρείδη, σὺ δ' ἔπειτα δικαιότερος κὴ ἐπ' ἄλλῳ
Ἔσσεαι· οὐ μὲν γάρ τι νεμεσσητὸν, βασιλῆα,
Ἀνδρ' ἀπαρέσσαωθαι, ὅτε τις πρότερος χαλεπήνῃ.
Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
Χαίρω σεῦ, Λαερτιάδη, τὸν μῦθον ἀκούσας· 185
Ἐν μοίρῃ γὰρ πάντα δίκεο κὴ κατέλεξας.
Ταῦτα δ' ἐγὼν ἐθέλω ὀμόσαι, κέλεται δέ με θυμὸς,
Οὐδ' ἐπιορκήσω πρὸς δαίμονος· αὐτὰρ Ἀχιλλεὺς
Μιμνέτω αὖθι τέως γε, ἐπειγόμενός περ ἄρηος,
Μίμνετε δ' ἄλλοι πάντες ἀολλέες, ὄφρα κε δῶρα 190
Ἐκ κλισίης ἔλθωσι, κὴ ὅρκια πιστὰ τάμωμεν.
Σοὶ δ' αὐτῷ τόδ' ἐγὼν ἐπιτέλλομαι, ἠδὲ κελεύω,
Κρινάμενος κέρητας ἀριστῆας παναχαιῶν,
Δῶρα ἐμῆς παρὰ νηὸς ἐνεικέμεν, ὅσσ' Ἀχιλῆϊ
Χθιζὸν ὑπέσημεν δώσειν, ἀγέμεν τε γυναῖκας. 195
Ταλθύβιος δέ μοι ὦκα κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν
Κάπρον ἑτοιμασάτω ταμέειν Διί τ', Ἠελίῳ τε.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ἀτρείδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,

179. ΑΡΕ. Δι' ἀρίστειαν θεραπευσάτω, φιλοφρονησάτω.
180. ΠΙ. Λιπαρῇ, δαψιλεῖ, πολυτελεῖ· ἔστι δὲ μεταφορά. ΙΝΑ. Ἵνα μηδὲν ἐλλίπῃ τῶν ὀφειλόντων πρὸς σὲ δικαίως πεπαχθῆναι.
181. ΕΠ. Πρὸς ἄλλους.
182. ΟΥ. Οὐ μιμπλὸς γὰρ ὑπάρχει βασιλεὺς θεραπεύων ἄνδρα, ὃν προηδίκησεν.
183. ΧΑΛ. Κακῶς βλάψῃ· ὃ ἔστιν, εἰς ὀργὴν ἔλθῃ.
186. ΜΟΙ. Καλὰ τὸ πρόσηκον, καλὰ τὸ πρέπον.
188. ΠΡΟΣ. Κατὰ θεόν.
189. ΜΙΜ. Μενέτω. ΑΥ. Αὐτόθι. ΕΠΕΙ. Καίτοι σπεύδων.
193. ΚΡ. Ἐπιλιξάμενος. ΚΟΥ. Κύρους, νέους.
194. ΕΝΕΙ. Ἐνεγκεῖν.
195. ΧΘΙ. Χθές. ΤΠΕ. Ὑπεχόμεθα.
197. ΤΑ. Διχοτομοῦσαν, δι' ἡτέμων ποιήσαωθαι.

Ἄλλοτέ περ κ᾽ μᾶλλον ὀφέλλετε ταῦτα πένεσθαι, 200
Ὁππότε τις μεταπαυσωλὴ πολέμοιο γένηται,
Καὶ μένος οὐ τόσον ἦσιν ἐνὶ στήθεσσιν ἐμοῖσι·
Νῦν δ᾽ οἱ μὲν κέαται δεδαϊγμένοι, ὃς ἐδάμασσεν
Ἕκτωρ Πριαμίδης, ὅτε οἱ Ζεὺς κῦδος ἔδωκεν.
Ὑμεῖς δ᾽ ἐς βρωτὺν ὀτρύνετον· ἦτ᾽ ἂν ἔγωγε 205
Νῦν μὲν ἀνώγοιμι πολεμίζειν υἷας Ἀχαιῶν
Νήστας, ἀκμήνους· ἅμα δ᾽ ἠελίῳ καταδύντι
Τεύξεσθαι μέγα δόρπον, ἐπὴν τισαίμεθα λώβην.
Πρὶν δ᾽ ὅπως ἂν ἔμοιγε φίλον κατὰ λαιμὸν ἱείη
Οὐ πόσις, οὐδὲ βρῶσις, ἑταίρου τεθνειῶτος, 210
Ὃς μοι ἐνὶ κλισίῃ δεδαϊγμένος ὀξέϊ χαλκῷ
Κεῖται, ἀνὰ πρόθυρον τετραμμένος· ἀμφὶ δ᾽ ἑταῖροι
Μύρονται· τό μοι ἔτι μετὰ φρεσὶ ταῦτα μέμηλεν,
Ἀλλὰ φόνος τε, καὶ αἷμα, καὶ ἀργαλέος στόνος ἀνδρῶν.
Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς· 215
Ὦ Ἀχιλεῦ, Πηλέως υἱὲ, μέγα φέρτατ᾽ Ἀχαιῶν,
Κρείσσων εἷς ἐμέθεν καὶ φέρτερος ἐκ ὀλίγον περ
Ἔγχει, ἐγὼ δέ κε σεῖο νοήματί γε προβαλοίμην
Πολλόν· ἐπεὶ πρότερος γενόμην, καὶ πλείονα οἶδα·
Τῷ τοι ἐπιτλήτω κραδίη μύθοισιν ἐμοῖσιν. 220

200. ΑΛ. Ἄλλοτε ποτὲ ταῦτα δρᾶν ὀφείλετε, παυσαμένου τοῦ πολέμου, καὶ μὴ τοσαύτης ὀργῆς κατεχούσης τὴν ψυχήν.

201. ΜΕ. Ἀνάπαυσις.

202. ΗΣ. Ὀργὴ ὑπάρχῃ.

203. ΚΕ. Κεῖνται. ΔΕ. Διακεκομμένοι.

205. ΒΡΩ. Βρῶσιν. ΗΤ. Τίνος ἂν ἐγώ.

208. ΕΠΗΝ. Ἐπειδ᾽ ἂν τὴν ὑπὲρ τῶν ἀποθανόντων ὕβριν καὶ βλάβην ἐκδικήσωμεν.

209. ΙΕΙ. Καθίει.

212. ΚΕΙ. Κεῖται, ἐπὶ τὴν θύραν ὁρῶν· ὅ ἐστι, τετραμμένους ἔχων ἐν αὐτῇ τοὺς πόδας· οὕτω γὰρ τίθενται οἱ νεκροὶ διὰ τὸ ἐξερχομένους τοῦ ἀνθρωπίνου βίου, μηκέτι ἀναστρέφειν εἰς τοὺς οἴκους.

213. ΤΟ. Διό μοι.

218. ΠΡΟ. Νικήσαιμι.

219. ΕΠΕΙ. Ἐπειδὴ προσεύτερος ὑπάρχω.

Αἶψά τε Φυλόπιδος πέλεται κόρος ἀνθρώποισιν,
Ἦς πλείστην μὲν καλάμην χθονὶ χαλκὸς ἔχευεν·
Ἄμητος δ' ὀλίγιστος, ἐπὴν κλίνῃσι τάλαντα
Ζεὺς, ὅς τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.
Γαστέρι δ' ἕπως ἐστὶ νέκυν πενθῆσαι Ἀχαιοὶ· 220
Λίην γὰρ πολλοὶ καὶ ἐπήτριμοι ἤματα πάντα
Πίπτουσιν· πότε κέν τις ἀναπνεύσειε πόνοιο;
Ἀλλὰ χρὴ τὸν μὲν καταθάπτειν, ὅς κε θάνῃσι,
Νηλέα θυμὸν ἔχοντας, ἐπ' ἤματι δακρύσαντας·
Ὅσσοι δ' ἂν πολέμοιο περὶ συγεροῖσι λίπωνται, 230
Μεμνῆσθαι πόσσιος καὶ ἐδητύος, ὄφρ' ἔτι μᾶλλον
Ἀνδράσι δυσμενέεσσι μαχώμεθα νωλεμὲς αἰεὶ,
Ἐσσάμενοι χροῖ χαλκὸν ἀτειρέα· μηδέ τις ἄλλην
Λαῶν ὀτρυντὺν ποτιδέγμενος ἰσχαναάσθω.
Ἤδε γὰρ ὀτρυντὺς κακὸν ἔσσεται, ὅς κε λίπηται 235
Νηυσὶν ἐπ' Ἀργείων· ἀλλ' ἀθρόοι ὁρμηθέντες
Τρωσὶν ἐφ' ἱπποδάμοισιν ἐγείρομεν ὀξὺν Ἄρηα.
Ἦ, καὶ Νέστορος υἷας ὑπάσσατο κυδαλίμοιο,
Φυλείδην τε Μέγητα, Θόαντά τε, Μηριόνην τε,
Καὶ Κρειοντιάδην Λυκομήδεα, καὶ Μελάνιππον· 240

221. ΑΙ. Ταχέως δὲ κόρος λαμβάνει τοὺς ἀνθρώπους ἐν τῇ μάχῃ· ὀλίγοι εἰσὶν οἱ ἀπολειπόμενοι ζῶντες, πολλοὶ δὲ οἱ φονευόμενοι.

222. ΚΑ. Καλάμη δὲ κυρίως, τὸ ξυλῶδες τῶν ἀσταχύων, ἢ τὰς τάχυας περιφρασικῶς· ἀλληγορικῶς οὖν καλαμην νῦν κέκληκε τὰ σώματα τῶν ἀνῃρημένων· ἄμητος δὲ, τὸν τοῦ θέρους καιρόν· θέλων δηλῶσαι, ὅτι τροπῆς ἐκ Διὸς γιγνομένης πολλοὶ πίπτουσι κατὰ πόλεμον.

223. ΑΜΗ. Προπαροξυτόνως μὲν, ὁ ἀμώμενος καὶ θερίζομενος καρπὸς τῶν σίτων· ἄμητος δὲ ὀξυτόνως, ὁ καιρὸς τοῦ θέρους.

ΟΛΙ. Ὀλίγος, μικρός. ΕΠ. Ὁπόταν τροπὴν ἐργάσηται ὁ Ζεύς.

226. ΕΠΗ. Ἐπάλληλοι, πυκνοί.

229. ΝΗ. Ἀνηλεῆ, ἀσυμπαθῆ. ΕΠ. Μίαν ἡμέραν κλαύσαντας.

232. ΝΩ. Ἀδαλείπτως.

233. ΕΣ. Περιβαλόμενοι, ἐνδυσάμενοι. ΑΓΕΙ. Τὸν ἀκαταπόνητον, καὶ ἄτρυτον.

234. ΟΤΡΥΝ. Παρακέλευσιν, παρόρμησιν. ΙΣ. Ἀναμενέτω, ἀπεχέσθω.

238. ΟΠΑΣ. Προσεπιμερίσαιο, ἀπολάθοις ἔλαβε.

Βὰν δ' ἴμεν ἐς κλισίην Ἀγαμέμνονος Ἀτρείδαο.
Αὐτίκ' ἔπειθ' ἅμα μῦθος ἔην, τετέλεστο δὲ ἔργον·
Ἔπτὰ μὲν ἐκ κλισίης τρίποδας φέρον, ὅς οἱ ὑπέστη,
Αἴθωνας δὲ λέβητας ἐείκοσι, δώδεκα δ' ἵππους·
Ἐκ δ' ἄγον αἶψα γυναῖκας ἀμύμονας, ἔργ' εἰδυίας, 248
Ἑπτ', ἀτὰρ ὀγδοάτην, Βρισηΐδα καλλιπάρηον.
Χρυσὸν δὲ στήσας Ὀδυσεὺς δέκα πάντα τάλαντα,
Ἦρχ', ἅμα δ' ἄλλοι δῶρα φέρον κέρητες Ἀχαιῶν·
Καὶ τὰ μὲν ἐν μέσσῃ ἀγορῇ θέσαν· ἂν δ' Ἀγαμέμνων
Ἵστατο· Ταλθύβιος δὲ, θεῷ ἐναλίγκιος αὐδὴν, 250
Κάπρον ἔχων ἐν χερσὶ, παρίστατο πουμένι λαῶν.
Ἀτρείδης δὲ ἐρυσσάμενος χείρεσσι μάχαιραν,
Ἣ οἱ πὰρ ξίφεος μέγα κυλεὸν αἰὲν ἄωρτο,
Κάπρου ἀπὸ τρίχας ἀρξάμενος, Διῒ χεῖρας ἀναρχὼν,
Εὔχετο· τοὶ δ' ἄρα πάντες ἐπ' αὐτόφιν εἵατο σιγῇ 255
Ἀργεῖοι κατὰ μοῖραν ἀκούοντες βασιλῆος.
Εὐξάμενος δ' ἄρα εἶπεν, ἰδὼν εἰς οὐρανὸν εὐρύν·
Ἴσω νῦν Ζεὺς πρῶτα, θεῶν ὕπατος καὶ ἄριστος,
Γῆ τε, καὶ Ἠέλιος, καὶ Ἐρινύες, αἵθ' ὑπὸ γαῖαν
Ἀνθρώπους τίνυνται, ὅτις κ' ἐπίορκον ὀμόσσῃ· 260
Μὴ μὲν ἐγὼ κούρῃ Βρισηΐδι χεῖρ' ἐπενείκα,
Οὔτ' εὐνῆς πρόφασιν κεχρημένος, οὔτε τευ ἄλλου·
Ἀλλ' ἔμεν' ἀπροτίμαστος ἐνὶ κλισίῃσιν ἐμῇσιν.
Εἰ δέ τι τῶνδ' ἐπίορκον, ἐμοὶ θεοὶ ἄλγεα δοῖεν

247. ΣΤΗ. Ἀριθμήσας, ἢ διὰ ζυγοῦ στήσας· οὕτως γὰρ οἱ ἀρχαῖοι τὰ χρήματα ἐστάθμιζον, ὅθεν ὁβολοστάται εἴρηνται.

255. ΕΠ. Ἐπ' αὐτοῦ τοῦ τόπου.

258. ΥΠΑ. Πρῶτος, μέγιστος.

260. ΤΙΝ. Τιμωροῦνται.

261. ΕΠΕ. Ἐπιβαλεῖν, ἅψασθαι.

262. ΕΥ. Ὡς οὔτε ἡ συνουσίας αὐτῆς χρήζων ἀφειλόμην.

263. ΑΠΡΟ. Ἀνύβριστος, ἄδικτος συνουσίας, καὶ μίξεως ἀνδρός.

" Πολλὰ μάλ', ὅσσα διδοῦσιν, ὅτις σφ' ἀλίτηται ὀμόσσας.' 265
Ἦ, καὶ ἀπὸ στόμαχον κάπρου τάμε νηλεῖ χαλκῷ·
Τὸν μὲν Ταλθύβιος πολιῆς ἁλὸς ἐς μέγα λαῖτμα
Ῥίψ' ἐπιδινήσας, βόσιν ἰχθύσιν· αὐτὰρ Ἀχιλλεὺς
Ἀνστὰς Ἀργείοισι φιλοπτολέμοισι μετηύδα·
" Ζεῦ πάτερ, ἦ μεγάλας ἄτας ἀνδρεσσι διδοῖθα· 270
" Οὐκ ἂν δήποτε θυμὸν ἐνὶ στήθεσσιν ἐμοῖσιν
" Ἀτρείδης ὤρινε διαμπερὲς, οὐδέ κε κούρην
" Ἤγεν, ἐμεῦ ἀέκοντος, ἀμήχανος· ἀλλά ποθι Ζεὺς
" Ἤθελ' Ἀχαιοῖσιν θάνατον πολέεσσι γενέσθαι.
" Νῦν δ' ἔρχεσθ' ἐπὶ δεῖπνον, ἵνα ζυνάγωμεν ἄρηα.' 275
Ὡς ἄρ' ἐφώνησεν· λῦσεν δ' ἀγορὴν αἰψηρήν.
Οἱ μὲν ἄρ' ἐσκίδναντο ἑὴν ἐπὶ νῆα ἕκαστος·
Δῶρα δὲ Μυρμιδόνες μεγαλήτορες ἀμφεπένοντο,
Βὰν δ' ἐπὶ νῆα φέροντες Ἀχιλλῆος θείοιο·
Καὶ τὰ μὲν ἐν κλισίῃσι θέσαν, κάθισαν δὲ γυναῖκας· 280
Ἵππους δ' εἰς ἀγέλην ἔλασαν θεράποντες ἀγαυοί.
Βρισηΐς δ' ἄρ' ἔπειτ', ἰκέλη χρυσῇ Ἀφροδίτῃ,
Ὡς ἴδε Πάτροκλον δεδαϊγμένον ὀξέϊ χαλκῷ,
Ἀμφ' αὐτῷ χυμένη, λίγ' ἐκώκυε, χερσὶ δ' ἄμυσσε
Στήθεά τ', ἠδ' ἁπαλὴν δειρὴν, ἰδὲ καλὰ πρόσωπα· 285
Εἶπε δ' ἄρα κλαίουσα γυνὴ, εἰκυῖα θεῇσι·
" Πάτροκλε, μοὶ δειλῇ πολεῖσον κεχαρισμένε θυμῷ,
" Ζωὸν μέν σε ἔλειπον ἐγὼ κλισίηθεν ἰοῦσα,

265. ΑΛ. Ὅς τις ἁμάρτῃ ἐπιορκήσας.
266. ΣΤΟ. Λαιμόν.
268. ΡΙΨ. Ἐπιτραφεὶς, φησὶν, ἔρριψεν εἰς θάλασσαν τὸν κάπρον· σημαίνει δὲ, ὅτι τὰ ἀπὸ τῶν ὅρκων ἱερεῖα οὐκ ἤσθιον, ἀλλ' ἐρρίπτουν, ἢ ἔκαιον, ὡς ἐν τῇ γ'. φησί. ΒΟ. Βορὰν, βρῶσιν.
270. ΔΙ. Διδοῖς.
273. ΑΜΗ. Ὅτι ἡ Δία ἀμήχανον δηλοῦσθαι, ὅ ἐστι, κακομήχανον.
276. ΑΓΟ. Τὴν ταχέως ἀθροισθεῖσαν.
284. ΧΥ. Περιπλαυσῶσα τῷ Πατρόκλῳ δηλοῦσι. ΑΙΓ. Ὀξέος [illegible]
ΜΥΣ. Καθέξα τοῦ ἔκλαιον, ἢ

Νῦν δέ σε τεθνειῶτα κιχάνομαι, ὄρχαμε λαῶν,
Ἀψ ἀνιῶσ' ὥς μοι δέχεται κακὸν ἐκ κακοῦ αἰεί· 290
Ἄνδρα μὲν, ᾧ ἔδοσάν με πατὴρ καὶ πότνια μήτηρ,
Εἶδον πρὸ πόλιος δεδαϊγμένον ὀξέϊ χαλκῷ·
Τρεῖς τε κασιγνήτους, τούς μοι μία γείνατο μήτηρ,
Κηδείους, οἳ πάντες ὀλέθριον ἦμαρ ἐπέσπον.
Οὐδὲ μὲν οὐδέ μ' ἔασκες, ὅτ' ἄνδρ' ἐμὸν ὠκὺς Ἀχιλλεὺς 295
Ἔκτεινεν, πέρσεν δὲ πόλιν θείοιο Μύνητος,
Κλαίειν, ἀλλά μ' ἔφασκες Ἀχιλλῆος θείοιο
Κουριδίην ἄλοχον θήσειν, ἄξειν τ' ἐνὶ νηυσὶν
Ἐς Φθίην; δαίσειν δὲ γάμον μετὰ Μυρμιδόνεσσι.
Τῷ σ' ἄμοτον κλαίω τεθνηότα, μείλιχον αἰεί. 300
Ὣς ἔφατο κλαίουσ'· ἐπὶ δὲ στενάχοντο γυναῖκες,
Πάτροκλον πρόφασιν, σφῶν δ' αὐτῶν κήδε' ἑκάστη.
Αὐτὸν δ' ἀμφὶ γέροντες Ἀχαιῶν ἠγερέθοντο,
Λισσόμενοι δεῦπνῆσαι· ὁ δ' ἠρνεῖτο στεναχίζων·
Λίσσομαι, εἴ τις ἔμοιγε φίλων ἐπιπείθεθ' ἑταίρων, 305
Μή με πρὶν σίτοιο κελεύετε μηδὲ ποτῆτος
Ἄσασθαι φίλον ἦτορ, ἐπεί μ' ἄχος αἰνὸν ἱκάνει·
Δύντα δ' ἐς ἠέλιον μενέω, καὶ τλήσομαι ἔμπης.
Ὣς εἰπὼν, ἄλλους μὲν ἀπεσκέδασεν βασιλῆας·
Δοιὼ δ' Ἀτρεΐδαι μενέτην, καὶ δῖος Ὀδυσσεὺς, 310
Νέστωρ, Ἰδομενεύς τε, γέρων θ' ἱππηλάτα Φοῖνιξ,

289. ΚΙ. Καϊαλαμβάνω. ΟΡ. Ἡγεμόν.
290. ΑΨ. Εἰς τοὐπίσω ἀπερχομένη. ΩΣ. Ὡς ἐν ἀδιαλείπτοις γίγνομαι κακοῖς.
294. ΚΗ. Εὐνουστάτους, καὶ μᾶλλον διαφέροντας τῇ συγγενείᾳ· φροντίδος ἀξίους. ΕΠΕΣ. Ἐπηκολούθησαν.
297. ΕΦΑΣ. Ἔλεγες.
298. ΚΟΥ. Τὴν παρθενικήν. ΑΞ. Ἀπάξειν.
299. ΔΑΙ. Εὐωχήσειν.
300. ΑΜΟ. Ἀμότως, ἀπληρώτως.
302. ΣΦΩΝ. Αἱ ᾗ λοιπαὶ γυναῖκες, σὺν τῇ Βρισηΐδι δῆθεν, ὡς ἐπὶ προφάσει Πατρόκλου ἔκλαιον· τῇ ᾗ ἀληθείᾳ, ἑκάστη ἐπ' αὐτῷ ἐθρήνει τὴν ἑαυτῆς συμφοράν.
306. ΣΙ. Ἄρτου.
307. ΑΣΑΣ. Κορεσθῆναι.
308. ΔΥΝ. Ἕως ἥλιος δυσμάς.
309. ΑΠΕΣ. Ἀφικνούμενοι.

Τέρποντες θυκινῶς ἀκαχήμενον· ἠδέ τι θυμῷ
Τέρπετο, πρὶν πολέμου ϛόμα δύμεναι αἱματόεντος.
Μνησάμενος δ' ἀδινῶς ἀνενείκατο, φώνησέν τε·
'Ἦ ῥά νύ μοί πολε καὶ σὺ, δυσάμμορε, φίλταθ' ἑταίρων, 315
Αὐτὸς ἐνὶ κλισίῃ λαρὸν πυρὰ δεῖπνον ἔθηκας
Αἶψα καὶ ὀτραλέως, ὁπότε σπερχοίατ' Ἀχαιοὶ
Τρωσὶν ἐφ' ἱπποδάμοισι φέρειν πολύδακρυν ἄρηα·
Νῦν δὲ σὺ μὲν κεῖσαι δεδαϊγμένος· αὐτὰρ ἐμὸν κῆρ
Ἄκμηνον πόσιος καὶ ἐδητύος, ἔνδον ἐόντων, 320
Σῇ ποθῇ· οὐ μὲν γάρ τι κακώτερον ἄλλο πάθοιμι·
Οὐδ' εἴ κεν τὸ πατρὸς ἀποφθιμένοιο πυθοίμην,
Ὅς περ νῦν Φθίηφι τέρεν κατὰ δάκρυον εἴβει
Χήτεϊ τοιοῦδ' υἷος· ὁ δ' ἀλλοδαπῷ ἐνὶ δήμῳ
Εἵνεκα ῥιγεδανῆς Ἑλένης Τρωσὶν πολεμίζω· 325
Ἠὲ τὸν, ὃς Σκύρῳ μοι ἐνιτρέφεται φίλος υἱὸς,
Εἴ περ ἔτι ζώει γε, Νεοπτόλεμος θεοειδής.
Πρὶν μὲν γάρ μοι θυμὸς ἐνὶ ϛήθεσσιν ἐώλπει
Οἶον ἐμὲ φθίσεσθαι ἀπ' Ἄργεος ἱπποβότοιο
Αὐτοῦ ἐνὶ Τροίῃ, σὲ δέ τε Φθίηνδε νέεσθαι, 330
Ὡς ἄν μοι τὸν παῖδα θοῇ σὺν νηὶ μελαίνῃ
Σκυρόθεν ἐξαγάγοις, καί οἱ δείξειας ἕκαστα,

312. ΤΕΡ. Ἀντὶ τοῦ, τέρπειν βελόμενοι, παρηγοροῦντες. ΠΥ. Συνετῶς. ΑΚΑ. Λυπούμενον.

314. ΑΔΙ. Ἀθρόως καὶ ἐλεεινῶς καὶ οἰκτρῶς ἀνέκραξεν· ἢ οἱονεὶ ἀνεστέναξε, καὶ πολὺ ἔκραγε πνεῦμα.

315. ΔΥ. Κακόμοιρε.

316. ΛΑ. Ἡδύ.

317. ΑΙΥ. Ἐνεργῶς, καὶ σπουδαίως· τὸ αὐτὸ εἶπεν ἐπιτάσεως χάριν. ΣΠΕΡ. Παρασσόμενοι ἐπείγοντο.

321. ΠΟ. Τῷ σῷ πόθῳ, τῇ σῇ ζητήσει. ΚΛ. Χεῖρον.

322. ΠΥ. Ἀκούσαιμι.

323. ΤΕ. Ἁπαλὸν, ὑγρόν. ΕΙ. Κυρίως μὲν, σπίνδει· ἄρτι δὲ, προχεῖ, γάζει.

324. ΧΗ. Στερήσει, ἐνδείᾳ, σπάνει.

325. ΡΙ. Φρικτῆς, χαλεπῆς.

328. ΕΩΛ. Ἥλπιζεν.

332. ΣΚΥ. Σκύρος νῆσος μία τῶν Κυκλάδων. Ἀλεξάνδρου Ἑλένην ἁρπάσαντος, Ἀγαμέμνων καὶ Μενέλαος τοὺς Ἕλληνας κατὰ Τρώων ἐστρατολόγησαν. Πολλοὺς δὲ προσηγάγοντο ὧν [illegible] ἐν Τροίᾳ θανοῦ Ἀχιλλέως [illegible]

‘ Κτῆσιν ἐμὴν, δμῶάς τε, καὶ ὑψερεφὲς μέγα δῶμα.
‘ Ἤδη γὰρ Πηλῆά γ' ὀίομαι ἢ κατὰ πάμπαν
‘ Τεθνάμεν, ἤ πῦ τυτθὸν ἔτι ζώοντ' ἀκαχήσθαι, 335
‘ Γήραϊ τε συγερῷ, καὶ ἐμὴν ωοτιδέγμενον αἰεὶ
‘ Λυγρὴν ἀγγελίην, ὅτ' ἀποφθιμένοιο πύθηται.'
Ὣς ἔφατο κλαίων· ἐπὶ δὲ ςενάχοντο γέροντες,
Μνησάμενοι τὰ ἕκαςος ἐνὶ μεγάροισιν ἔλειπον.
Μυρομένῃς δ' ἄρα τές γε ἰδὼν ἐλέησε Κρονίων, 340
Αἶψα δ' Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα·
‘ Τέκνον ἐμὸν, δὴ ωάμπαν ἀποίχεαι ἀνδρὸς ἕηος·
‘ Ἦ νύ τοι ἐκέτι πάγχυ μετὰ φρεσὶ μέμβλετ' Ἀχιλλεύς;
‘ Κεῖνος ὅγε ωροπάροιθε νεῶν ὀρθοκραιράων
‘ Ἧςαι ὀδυρόμενος ἕταρον φίλον· οἱ δὲ δὴ ἄλλοι 345
‘ Οἴχονται μετὰ δεῖπνον, ὁ δ' ἄκμηνος καὶ ἄπαςος.
‘ Ἀλλ' ἴθι, οἱ νέκταρ τε καὶ ἀμβροσίην ἐρατεινὴν
‘ Στάζον ἐνὶ ςήθεσσ', ἵνα μή μιν λιμὸς ἵκηται.'
Ὣς εἰπὼν, ὤτρυνε ωάρος μεμαυῖαν Ἀθήνην·
Ἡ δ', ἅρπη εἰκυῖα ταναυπέρυγι, λιγυφώνῳ, 350

εἰς Σκύρον ωρὸς Λυκομήδην τὸν βασιλέα παρέδετο τ' Ἀχιλλέα, γυναικείαν ἐδῆτα ἀμφιέσας ὡς κόρην· ὁ δὲ αὐτὸν μετὰ τῆ θυγατέρων ἀνέτρεφε· χρησμοῦ δὲ δοθέντος, μὴ ἁλώσεσθαι τὴν Ἴλιον χωρὶς Ἀχιλλέως, πεμφθέντες ὑφ' Ἑλλήνων Ὀδυσσεὺς, Φοῖνιξ, καὶ Νέςωρ, Πηλέως ἀρνουμένου παρ' αὐτῷ τὸν ωαῖδα τυγχάνειν, πορευθέντες εἰς Σκύρον, ὑπονοήσαντες μετὰ τῶν παρθένων τὸν Ἀχιλλέα τρέφεσθαι, ταῖς Ὀδυσσέως ὑποθήκαις, ὅπλα καὶ ταλάντα ἔρριψαν σὺν ἐςεργικοῖς ἐργαλείοις ἔμπροσθεν τοῦ παρθενῶνος· αἱ μὲν οὖν κόραι ἐπὶ τοὺς ταλάντους ὥρμησαν, ὁ δ' ἐπὶ τὰ ὅπλα· πρότερον δὲ ταῖς παρθένοις συνδιατρίβων, ἔφθειρε Δηϊδάμειαν τὴν Λυκομήδους· ἥτις ἐξ αὐτοῦ ἐγένετο Πυρρίχου, ὃν ὕςερον Νεοπτόλεμον κληθέντα, ὅς τις τοῖς Ἕλλησι νέος ὢν συνεςρατεύσατο μετὰ θάνατον τοῦ πατρός· ἡ ἱςορία παρὰ τοῖς Κυκλικοῖς.

333. ΚΤΗ. Κτήματα.

335. ΑΚΑ. Λυπεῖσθαι.

337. ΠΥ. Ἀκούσει.

339. ΕΛ. γρ. Ἔλειπεν.

340. ΜΥ. Κλαίοντας.

342. ΠΑΜ. Παντελῶς δή. ΑΠΟΙ. Οἴχῃ, πεπόρευσαι.

343. ΜΕΜ. Μέλει, παρακάθηται.

346. ΜΕ. Ἐπὶ τὸ δεῖπνον.

347. ΝΕΚ. Θεῖον πόμα. ΑΜ. Θείαν τροφήν.

348. ΙΚΗ. Καθίκηται, καθάψηται.

350. ΑΡ. Εἶδος ὀρνέου· τινὲς ἱκτῖνα καλοῦσιν, ἕτεροι δὲ, φήνα· λέγεται δὲ καὶ

Οὐρανῷ ἐκκατέπαλτο δι' αἰθέρος· αὐτὰρ Ἀχαιοὶ
Αὐτίκα θωρήσσοντο κατὰ στρατόν· ἡ δ' Ἀχιλῆϊ
Νέκταρ ἐνὶ στήθεσσι καὶ ἀμβροσίην ἐρατεινὴν
Στάξ', ἵνα μή μιν λιμὸς ἀτερπὴς γύναθ' ἵκηται.
Αὐτὴ δὲ πρὸς πατρὸς ἐριαθενέος πυκινὸν δῶ 355
Ἤιεν· τοὶ δ' ἀπάνευθε νεῶν ἐχέοντο θοάων.
Ὡς δ' ὅτε ταρφειαὶ νιφάδες Διὸς ἐκποτέονται,
Ψυχραὶ ὑπαὶ ῥιπῆς αἰθρηγενέος Βορέαο·
Ὡς τότε ταρφειαὶ κόρυθες, λαμπρὸν γανόωσαι,
Νηῶν ἐκφορέοντο, καὶ ἀσπίδες ὀμφαλόεσσαι, 360
Θώρηκές τε κραταιγύαλοι, καὶ μείλινα δόρα.
Αἴγλη δ' οὐρανὸν ἷκε, γέλασσε δὲ πᾶσα περὶ χθὼν
Χαλκῷ ὑπὸ στεροπῆς· ὑπὸ δὲ κτύπος ὤρνυτο ποσσὶν
Ἀνδρῶν· ἐν δὲ μέσοισι κορύσσετο δῖος Ἀχιλλεύς·
Τῷ καὶ ὀδόντων μὲν καναχὴ πέλε, τὼ δέ οἱ ὄσσε 365
Λαμπέσθην, ὡσεί τε πυρὸς σέλας· ἐν δέ οἱ ἦτορ
Δῦν' ἄχος ἄτλητον· ὁ δ' ἄρα Τρωσὶν μενεαίνων
Δύσετο δῶρα θεοῦ, τά οἱ Ἥφαιστος κάμε τεύχων.
Κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκε
Καλὰς, ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας· 370
Δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνεν·
Ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον,
Χάλκεον· αὐτὰρ ἔπειτα σάκος μέγα τε, στιβαρόν τε,

τὸ δρίπανον. ΤΑ. Μαχαὶς πλίνυας ἰχνύσῃ. ΑΙ. Ὀξυφώνῳ.
351. ΕΚ. Καθήλατο.
355. ΕΡΙ. Μεγαλοσθενοῦς, ἰσχυροῦ. ΠΥ. Πυκνὸν, ἀσφαλές.
357. ΕΚ. Ἐξίπλανται.
358. ΥΠΑΙ. Ὑπὸ σφοδρότητος καὶ ὁρμῆς. ΑΙ. Τῷ αἰθρίαν ποιοῦντος.
359. ΓΑ. Λάμπουσαι.
360. ΕΚ. Ἐξιφέροντο.
361. ΚΡΑ. Ἰσχυρὰ γύαλα ἔχοντες· ἰσχυροί. Γύαλα δὲ, τὰ κοιλώματα.
363. ΣΤΕ. Ἀγραπῆς, λαμπρότητος.
365. ΚΑ. Ψόφος.
366. ΣΕ. Λαμπρότης.
367. ΑΤ. Ἀνυπομόνητον, ἀκαρτέρητον.
368. ΔΥ. Ἐνεδύσατο.

Εἵλετο, τῷ δ' ἀπάνευθε σέλας γένετ', ἠΰτε μήνης.
Ὡς δ' ὅταν ἐκ πόντοιο σέλας ναύτῃσι φανείη 375
Καιομένοιο πυρὸς, τὸ δὲ καίεται ὑψόθ' ὄρεσφι,
Σταθμῷ ἐν οἰοπόλῳ· τοὺς δ' οὐκ ἐθέλοντας ἄελλαι
Πόντον ἐπ' ἰχθυόεντα φίλων ἀπάνευθε φέρουσιν·
Ὡς ἀπ' Ἀχιλλῆος σάκεος σέλας αἰθέρ' ἵκανε
Καλῷ, δαιδαλέῳ· περὶ δὲ τρυφάλειαν ἀείρας 380
Κρατὶ θέτο βριαρήν· ἡ δ', ἀστὴρ ὡς, ἀπέλαμπεν
Ἵππυρις τρυφάλεια· περισσείοντο δ' ἔθειραι
Χρύσεαι, ἃς Ἥφαιστος ἵει λόφον ἄμφι θαμειάς.
Πειρήθη δ' ἔο αὐτῷ ἐν ἔντεσι δῖος Ἀχιλλεὺς,
Εἴ οἱ ἐφαρμόσσειε, κ' ἐντρέχοι ἀγλαὰ γυῖα· 385
Τῷ δ' εὖτε πτερὰ γίνετ', ἄειρε δὲ πριμένα λαῶν.
Ἐκ δ' ἄρα σύριγγος πατρώϊον ἐσπάσατ' ἔγχος,
Βριθὺ, μέγα, στιβαρόν· τὸ μὲν ὄ δύνατ' ἄλλος Ἀχαιῶν
Πάλλειν, ἀλλά μιν οἶος ἐπίσατο πῆλαι Ἀχιλλεὺς,
Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ τάμε Χείρων 390
Πηλίου ἐκ κορυφῆς, φόνον ἔμμεναι ἡρώεσσιν.
Ἵππους δ' Αὐτομέδων τε καὶ Ἄλκιμος ἀμφιέποντες
Ζεύγνυσαν, ἀμφὶ δὲ καλὰ λέπαδν' ἔσαν· ἐν δὲ χαλινοὺς
Γαμφηλῆσ' ἔβαλον, κατὰ δ' ἡνία τείναν ὀπίσσω
Κολλητὸν πυκὶ δίφρον· ὁ δ' ἄρ μάστιγα φαεινὴν 395

374. ΜΗ. Σελήνης.

377. ΟΙ. Ἐν ᾧ οἵες πολοῦνται, καὶ ἀναστρέφονται.

380. ΑΕΙ. Ἐπάρας.

382. ΠΕ. Περισείοντο. ΕΘΕΙ. Αἱ ἐξ ἴθυς κεκοσμημέναι κόμαι.

383. ΙΕΙ. Ἐνεποίκιλλεν, ἐνέβαλεν.

385. ΕΦΑΡ. Ἁρμόσειεν. ΕΝ. Ἀκαλύτως χρῶτο, ὥστε μὴ ἐμποδίζεσθαι.

386. ΠΤ. Τῷ δὲ Ἀχιλλεῖ κοῦφα κ' ἁρμόδια τὰ ὅπλα ἐγίγνοντο, ὥστε πτερά.

387. ΣΥ. Τῆς δορατοθήκης.

389. ΕΠΙ. Ἀντὶ ᾧ, ἠδύνατο. ΠΗ. Κινῆσαι, σεῖσαι.

390. ΠΗΛΙ. Τὴν ἐκ Πηλίου ὄρους Θεσσαλίας τμηθεῖσαν· λέγει δὲ τὸ δόρυ· μελία γὰρ, εἶδος δένδρου ἐπιτηδείου πρὸς κατασκευὴν δοράτων.

392. ΑΛ. Ἀλκιμέδων· ὑποκορι-στικῶς.

393. ΛΕ. Οἱ ὑποτραχήλιοι ἱμάντες· οἱ μαχαλιστῆρες.

Χειρὶ λαβὼν ἀραρυῖαν ἐφ' ἵππειον ἀνόρουσεν
Αὐτομέδων· ἔπειθεν δὲ κορυσσάμενος βῆ Ἀχιλλεὺς,
Τεύχεσι παμφαίνων, ὥς τ' ἠλέκτωρ ὑπερίων.
Σμερδαλέον δ' ἵππεσσιν ἐκέκλετο πατρὸς ἑοῖο·
'Ξάνθε τε, καὶ Βαλίε, τηλεκλυτὰ τέκνα Ποδάργης, 400
'Ἄλλως δὴ φράζεσθε σαωτέμεν ἡνιοχῆα
'Ἀψ Δαναῶν ἐς ὅμιλον, ἐπεί κ' ἐῶμεν πολέμοιο·
'Μηδ', ὡς Πάτροκλον, λίπετ' αὐτόθι τεθνειῶτα.'
Τὸν δ' ἄρ' ὑπὸ ζυγόφιν προσέφη πόδας ἀίολος ἵππος
Ξάνθος, ἄφαρ δ' ἤμυσε καρήατι, πᾶσα δὲ χαίτη, 405
Ζεύγλης ἐξεριπεῦσα παρὰ ζυγὸν, ἕδας ἵκανεν·
Αὐδήεντα δ' ἔθηκε θεὰ λευκώλενος Ἥρη·
'Καὶ λίην σ' ἔτι νῦν γε σαώσομεν, ὄβριμ' Ἀχιλλεῦ·
'Ἀλλά τοι ἐγγύθεν ἦμαρ ὀλέθριον, οὐδέ τι ἡμεῖς
'Αἴτιοι, ἀλλὰ θεός τε μέγας καὶ μοῖρα κραταιή. 410
'Οὐδὲ γὰρ ἡμετέρῃ βραδυτῆτί τε, νωχελίῃ τε,
'Τρῶες ἀπ' ὤμοιϊν Πατρόκλου τεύχε' ἕλοντο·
'Ἀλλὰ θεῶν ὤριστος, ὃν ἠΰκομος τέκε Λητὼ,
'Ἕκταν' ἐνὶ προμάχοισι, καὶ Ἕκτορι κῦδος ἔδωκε.
'Νῶϊ δὲ καί κεν ἅμα πνοιῇ Ζεφύροιο θέοιμεν, 415
'Ἥπερ ἐλαφροτάτην φάσ' ἔμμεναι· ἀλλὰ σοὶ αὐτῷ
'Μόρσιμόν ἐστι θεῷ τε καὶ ἀνέρι ἶφι δαμῆναι.'

400. ΤΗ. Πάνυ ἔνδοξα. ΠΟ. Τοῖς ποσὶν ἐπαρκύσης, ταχείας.

401. ΑΛ. Μὴ ὀχὶ ὕτως, κατὰ ἄλλην ἔννοιαν. ΦΡΑ. Σύνετε, νοεῖτε.

402. ΕΩ. Ἐπειδὰν ἀναμιχθῶμεν τοῖς πολεμίοις· ἔνιοι δὲ, χέομεν, ὑποχωρήσομεν. Ἐπειδὰν κορεσθῶμεν.

404. ΖΥ. Ὑπὸ ζυγοῦ. ΑΙΟ. Ἀντὶ τοῦ, ταχύς.

405. ΗΜΥ. Παρέκλινε τὴν κεφαλὴν αὐτῷ ταχέως δὲ εἰς θάτερον ἔκλινε τὴν κεφαλὴν, παρεπιτρέψας εἰς τὐπίσω, ὡς προσβλέψων τῷ Ἀχιλλεῖ, μέλλων αὐτῷ ἀμαλίγεσθαι. ΧΑΙ. Θρίξ.

406. ΖΕΥ. Ζεύξεως, ζυγῶ.

407. ΑΥ. Φωνῇ ἐπαρθρῳ χρώμενον.

410. ΚΡΑ. Ἰσχυρά.

411. ΝΩ. Βραδυτῆτι, ἀθυμία.

415. ΘΕ. Τρέχοιμεν.

417. ΜΟΡ. Μεμοιραμένον, εἱμαρμένον. ΘΕ. Ὑπὸ θεοῦ Ἀπόλλωνος, καὶ ἀνδρὸς Ἀλεξάνδρου. ΔΑ. Δαμασθῆναι.

Ὣς ἄρα φωνήσαντος Ἐριννύες ἔχεθον αὐδήν.
Τὸν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
'Ξάνθε, τί μοι θάνατον μαντεύεαι; οὐδέ τί σε χρή. 420
'Εὖ νύ τοι οἶδα καὶ αὐτὸς, ὅ μοι μόρος ἐνθάδ' ὀλέσθαι,
'Νόσφι φίλου πατρὸς καὶ μητέρος· ἀλλὰ κ' ἔμπης
'Οὐ λήξω, πρὶν Τρῶας ἄδην ἐλάσαι πολέμοιο.'
Ἦ ῥα, καὶ ἐν πρώτοις ἰάχων ἔχε μώνυχας ἵππους.

418. ΩΣ. Οὕτως εἰπόντος, φησὶ, τοῦ ἵππου, ἐπέχον αὐτοῦ αἱ Ἐριννύες τὴν φωνήν· πάντα γὰρ τὰ παράλογα καὶ τερατεία δοκεῖ ὑπὸ Ἐριννύων γίγνεσθαι.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΙΛΙΑΔΟΣ Υ.

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

ΔΙΟΣ ἐπιτρέψαντος, κατέρχονται βοηθήσοντες οἱ θεοὶ πάντες· τοῖς μὲ Ἕλλησιν, Ἥρα τε, καὶ Ἀθηνᾶ, καὶ Ποσειδῶν, καὶ Ἥφαιστος, καὶ Ἑρμῆς· τοῖς δὲ Τρωσὶν, Ἀφροδίτη, καὶ Ἀπόλλων· ἔτι δὲ καὶ Ἄρτεμις, καὶ Λητὼ, Ἄρης τε, καὶ Σκάμανδρος. Αἰνείαν δὲ, ἀντιτάντα Ἀχιλλεῖ, σώζει Ποσειδῶν νεφέλῃ καλύψας. Ἀχιλλεὺς δ' ἄλλους τε ἀναιρεῖ, καὶ Πολύδωρον, τὸν Πριάμου παῖδα. Ἕκτωρ δὲ, ἀντιτάς αὐτῷ, φεύγει, Ἀπόλλωνος σώσαντος αὐτόν· τοὺς δὲ ἄλλους Ἀχιλλεὺς ἐπὶ τὴν πόλιν φεύγοντας κατεπείγει.

Θεῶν μάχη.

Υ, Μακάρων ἔρις ὦρτο, φέρει δ' ἐπὶ κάρτος Ἀχαιοῖς.

Ὡς οἱ μὲν παρὰ νηυσὶ κορωνίσι θωρήσσοντο
Ἀμφὶ σὲ, Πηλέος υἱὲ, μάχης ἀκόρητοι Ἀχαιοί·
Τρῶες δ' αὖθ' ἑτέρωθεν ἐπὶ θρασμῷ πεδίοιο.
Ζεὺς δὲ Θέμιστα κέλευσε θεὰς ἀγορήνδε καλέσσαι
Κρατὸς ἀπ' Οὐλύμποιο πολυπτύχου· ἡ δ' ἄρα πάντῃ 5

1. ΘΩ. Καθωπλίζοντο.

2. ΑΜ. Περὶ σέ· ὀρθοτονητέον τὴν ἀντωνυμίαν. ΑΚΟ. Ἀπλήρωτοι. γρ. Ἀκόρητον.

3. ΘΡΩ. Ὑψηλῷ τόπῳ, ὅθεν ἐστὶ κατιδεῖν, καὶ πηδῆσαι· ἔστι δὲ ὗτος ἐν Ἰλίῳ, πεδίον πάντα τὴν περιμέτρον, μεταξὺ Σιμοῦντος ποταμοῦ, καὶ τῆς Ἰλιάδος καλουμένης κώμης· ὅπου καὶ τὰς θεὰς κριθῆναι λέγουσι περὶ κάλλους· ὀνομάζεται δὲ Καλλικολώνη, ἐπὶ τῶν πέριξ τόπων ἐπισημότατός ἐστιν· ἡ ἱστορία παρὰ Δημητρίῳ τῷ Σκηψίῳ.

4. ΘΕ. Ἀντὶ Ὑ, Θέμιν, δικαιοσύνην, ἥτις ἐστὶ μία τῶν Τιτανίδων.

5. ΚΡΑ. Κορυφῆς τοῦ Ὀλύμπου

Φοιτήσάσα κέλευσε Διὸς πρὸς δῶμα νέεσθαι.
Οὔτε τις ἦν Ποταμῶν ἀπέην, νόσφ' Ὠκεανοῖο,
Οὔτ' ἄρα Νυμφάων, τά τ' ἄλσεα καλὰ νέμονται,
Καὶ πηγὰς ποταμῶν, καὶ πίσεα ποιήεντα.
Ἐλθόντες δ' ἐς δῶμα Διὸς νεφεληγερέταο, 10
Ἕεσῆς αἰθούσησιν ἐφίζανον, ἃς Διΐ πατρὶ
Ἥφαιστος ποίησεν ἰδυίῃσι παραπίδεσσιν.
Ὣς οἱ μὲν Διὸς ἔνδον ἀγηγέρατ' ἠδὲ Ἐνοσίχθων
Νηκέστησε θεᾶς, ἀλλ' ἐξ ἁλὸς ἦλθε μετ' αὐτούς.
Ἷζε δ' ἄρ' ἐν μέσσοισι, Διὸς δ' ἐξείρετο βουλήν· 15
« Τίπτ' αὖ, Ἀργικέραυνε, θεοὺς ἀγορήνδε ἐκάλεσσας;
« Ἦ τι περὶ Τρώων καὶ Ἀχαιῶν μερμηρίζεις;
« Τῶν γὰρ ὦν ἄγχιστα μάχη πόλεμός τε δέδηε.»
Τὸν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
« Ἔγνως, Ἐννοσίγαιε, ἐμὴν ἐν στήθεσι βουλήν, 20
« Ὧν ἕνεκα ζυνάγειρα· μέλουσί μοι, ὀλλύμενοί περ.
« Ἀλλ' ἤτοι μὲν ἐγὼ μενέω πτυχὶ Οὐλύμποιο
« Ἥμενος, ἔνθ' ὁρόων φρένα τέρψομαι· οἱ δὲ δὴ ἄλλοι
« Ἔρχεσθ', ὄφρ' ἂν ἵκηαι μετὰ Τρῶας καὶ Ἀχαιούς·

ἀκρωρείας. ΠΟ. Πολλὰς ἀποκλίσεις καὶ ἐξοχὰς ἔχοντος.

6. ΦΟΙ. Παραγενομένη.

7. ΑΠΕ. Ἀπῆν. ΝΟΣ. Χωρίς· τὸν δὲ Ὠκεανὸν οὐ παρέλαβεν εἰς τὸ τῶν θεῶν συνέδριον· ἵνα μὴ κωλύσῃ αὐτοὺς τῆς πρὸς ἀλλήλους μάχης, προσβύταιος ὑπάρχων.

8. ΝΥ. Αἱ τὰ ἄλση κατοικοῦσαι Νύμφαι Ἀλσωΐτιδες καλοῦνται· αἱ δὲ ἐπὶ τῶν δένδρων, Ἁμαδρυάδες· αἱ δὲ τὰ νάματα τῶν ὑδάτων, Ναΐδες καὶ Ὑδριάδες· καὶ τούτων αἱ μὲν, Κρηνῖδες, αἱ δὲ, Ἐπιποταμίδες· αἱ δὲ ἐπὶ τῶν βοσκημάτων Ἐπιμηλίδες· αἱ δὲ ἐπὶ τῶν ὀρῶν, Ὀρεσιάδες· καθ' ὅσαι ταύταις ὅμοιαι· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἑλῶν, Ἐλειονόμοι.

9. ΠΙ. Τὰ ὑδρηλὰ χωρία, τοὺς καθύγρους τόπους· ἀπὸ τοῦ εἶναι ἐν αὐτοῖς πεῖσαι, ὅ ἐστι, ποτίσαι. ΠΟΙ. Βοτάνην ἔχοντα.

13. ΕΝΟ. Ὁ δὲ Ποσειδῶν οὐ παρήκουσε τῆς Θέμιδος· τοῦτο δὲ εἴρηκε διὰ τὴν γεγονυῖαν αὐτῷ μικρῷ πρόσθεν πρὸς τὸν Δία φιλονεικίαν.

14. ΝΗ. Παρήκουσε. ΜΕΤ. Πρὸς αὐτούς.

18. ΔΕ. Φαίνεται, φλέγει.

21. ΞΥ. Συνήγειρα, ἤθροισα.

22. ΠΤΥ. Ἀποκλίσει, ἐξοχῇ.

24. ΙΚΗ. Παραγένηθι.

Ἀμφοτέροισι δ' ἀρήγεθ', ὅπη νόος ἐςὶν ἑκάςῳ.
Εἰ γὰρ Ἀχιλλεὺς οἶος ἐπὶ Τρώεσσι μαχεῖτο,
Οὐδὲ μίνυνθ' ἕξουσι ποδώκεα Πηλείωνα.
Καὶ δέ τέ μιν καὶ πρόσθεν ὑποτρομέεσκον ὁρῶντες·
Νῦν δ', ὅτε δὴ κῆν θυμὸν ἑταίρου χώετο αἰνῶς,
Δείδω, μὴ κῆν τεῖχος ὑπὲρ μόρον ἐξαλαπάξῃ.'
Ὡς ἔφατο Κρονίδης, πόλεμον δ' ἀλίαςον ἔγειρε.
Βὰν δ' ἴμεναι πολεμόνδε θεοὶ, δίχα θυμὸν ἔχοντες·
Ἥρη μὲν μετ' ἀγῶνα νεῶν καὶ Παλλὰς Ἀθήνη,
Ἠδὲ Ποσειδάων γαιήοχος, ἠδ' ἐριούνης
Ἑρμείας, ὃς ἐνὶ φρεσὶ πευκαλίμῃσι κέκαςο·
Ἥφαιςος δ' ἅμα τοῖσι κίε, θρένεϊ βλεμεαίνων,
Χωλεύων, ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί.
Ἐς δὲ Τρῶας Ἄρης κορυθαίολος· αὐτὰρ ἅμ' αὐτῷ
Φοῖβος ἀκερσεκόμης, ἠδ' Ἄρτεμις ἰοχέαιρα,
Λητώ τε, Ξάνθος τε, φιλομμειδής τ' Ἀφροδίτη.
Εἴως μέν ῥ' ἀπάνευθε θεοὶ θνητῶν ἔσαν ἀνδρῶν,
Τέως Ἀχαιοὶ μὲν μέγ' ἐκύδανον, ὕνεκ' Ἀχιλλεὺς
Ἐξεφάνη, δηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς·
Τρῶας δὲ τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἕκαςον,
Δειδιότας, ὅθ' ὁρῶντο ποδώκεα Πηλείωνα
Τεύχεσι λαμπόμενον, βροτολοιγῷ ἶσον Ἄρηϊ.
Αὐτὰρ ἐπεὶ μεθ' ὅμιλον Ὀλύμπιοι ἦλυθον ἀνδρῶν,
Ὤρτο δ' Ἔρις κρατερὴ, λαοσσόος· αὖε δ' Ἀθήνη,

29. ΧΩ. Λυπεῖται.
30. ΥΠΕΡ. Παρὰ τὸ εἱμαρμένον, παρὰ τὸ δέον.
31. ΑΛΙ. Χαλεπὸν, ἄφυκτον. ΕΓΕΙ. Ἤγειρεν, ἐκίνησε.
32. ΔΙ. Διχῶς, εἰς δύο.
33. ΑΓΩ. Τὴν συναγωγὴν τῶν πολεμίων.
34. ΕΡΙ. Μεγάλην ὄψιν παρέχων, μεγαλοφελής.
35. ΠΕΥ. Δριμείαις, συνεταῖς.
36. ΒΛΕ. Ἐπιῤῥωννύμενος, ἐπιών.
39. ΑΚΕΡ. Μὴ κειρόμενος τὴν κόμην, ἀεὶ κομῶν, διὰ τὰς αὐτοῦ· ἴσος γὰρ τῷ ἡλίῳ ὁ Ἀπόλλων.
42. ΕΚΥ. Ἐβόᾳζον.

Στᾶσ' ὁτὲ μὲν παρὰ τάφρον ὀρυκτὴν, τείχεος ἐκτὸς,
Ἄλλοτ' ἐπ' ἀκτάων ἐριδούπων μακρὸν ἀΰτει· 50
Αὖε δ' Ἄρης ἑτέρωθεν, ἐρεμνῇ λαίλαπι ἶσος,
Ὀξὺ κατ' ἀκροτάτης πόλιος Τρώεσσι κελεύων,
Ἄλλοτε παρ Σιμόεντι θέων ἐπὶ Καλλικολώνῃ.
Ὡς τὼς ἀμφοτέρους μάκαρες θεοὶ ὀτρύνοντες
Σύμβαλον, ἐν δ' αὐτοῖς ἔριδα ῥήγνυντο βαρεῖαν. 55
Δεινὸν δ' ἐβρόντησε πατὴρ ἀνδρῶν τε θεῶν τε.
Ὑψόθεν· αὐτὰρ ἔνερθε Ποσειδάων ἐτίναξε
Γαῖαν ἀπειρεσίην, ὀρέων τ' αἰπεινὰ κάρηνα.
Πάντες δ' ἐσσείοντο πόδες πολυπιδάκου Ἴδης,
Καὶ κορυφαὶ, Τρώων τε πόλις, καὶ νῆες Ἀχαιῶν. 60
Ἔδδεισεν δ' ὑπένερθεν ἄναξ ἐνέρων, Ἀϊδωνεὺς,
Δείσας δ' ἐκ θρόνου ἆλτο, καὶ ἴαχε, μή οἱ ὕπερθε
Γαῖαν ἀναῤῥήξειε Ποσειδάων ἐνοσίχθων,
Οἰκία δὲ θνητοῖσι καὶ ἀθανάτοισι φανείη
Σμερδαλέ', εὐρώεντα, τά τε στυγέουσι θεοί περ. 65
Τόσσος ἄρα κτύπος ὦρτο θεῶν ἔριδι ξυνιόντων.
Ἤτοι μὲν γὰρ ἔναντα Ποσειδάωνος ἄνακτος

50. ΑΚ. Ἐπὶ τῶν αἰγιαλῶν· λέγω δὴ τὰ παραθαλασσίων τόπων τὰ τῇδε κατεῖσε τοῦ ναυτάθμου προβεβλημένων. ΕΡΙ. Μεγαλοήχων. ΜΑ. Μέγα ἐβόα.

51. ΑΥ. Ἐφώνει, ἐβόα· ἐὰν δὲ δασύνηται, ἐξίκαιεν. ΕΡΕΜ. Σκοτεινῇ, φοβερᾷ.

52. ΟΞΥ. Χαλεπὸν, δριμύ.

53. ΘΕ. Ὅ ἐστι, τρέχων. Ἀρίσταρχος αἰνίγμα περιπεπωμένως, τὸ χωρίον θεῶν λέγων· ἡ δὲ Καλλικολώνη ἐστὶν ὑψηλὸς τόπος.

55. ΡΗΓ. Ἔῤῥησσον.

57. ΕΤΙ. Διέσεισεν.

58. ΑΠΕΙ. Μεγάλην.

59. ΠΟ. Τὰ καταλήγοντα τὸ ὀρῶν· μεταφορικῶς.

62. ΙΑ. Ἐβόα.

65. ΣΤΥ. Δεδοίκασι, φοβοῦνται.

66. ΞΥ. Συνερχομένων.

67. ΗΤΟΙ. Καὶ τὰ ἑξῆς. Ἡ τῶν θεῶν μάχη περιέχει φυσικὴν στοιχείων πρὸς στοιχεῖα ἀντίταξιν, κακιῶν πρὸς ἀρετάς. Ἀπόλλων μὲν δὲ ἐναντιοῦται Ποσειδῶνι· τὸ μερικὸν πῦρ, τῷ παντὶ ὑγρῷ. Ἀθηνᾶ δὴ Ἄρειϊ, ἡ φρόνησις τῇ ἀφροσύνῃ. Ἥρα δὲ Ἀρτέμιδι, ὁ περίγειος ἀὴρ τῇ σελήνῃ. Ἑρμῆς δὲ Λητοῖ, ὁ λόγος τῇ λήθῃ. Ἥφαιστος δὲ Ξάνθῳ· τὸ ὅλον πῦρ μέρει τοῦ ὕδατος· Ἀλλὰ τοῖ δὴ ἤτοι οἱ θεοὶ προήρηνται βοηθεῖν τοῖς Ἕλλησιν, Ἥρα, Ἀθηνᾶ, Ποσειδῶν, Ἥφαιστος, Ἑρμῆς; τοῖς δὲ Τρωσὶν, Ἀπόλλων, Ἄρτεμις, Λητὼ, Σκάμανδρος, Ἀφροδίτη; Ἥρα μὲ

Ἵσατ' Ἀπόλλων Φοῖβος, ἔχων ἰὰ πτερόεντα·
Ἄντα δ' Ἐνυαλίοιο θεὰ γλαυκῶπις Ἀθήνη·
Ἥρη δ' ἀντέση χρυσηλάκατος, κελαδεινὴ,
Ἄρτεμις ἰοχέαιρα, κασιγνήτη Ἑκάτοιο·
Λητοῖ δ' ἀντέση σῶκος, ἐριούνιος Ἑρμῆς·
Ἄντα δ' ἄρ' Ἡφαίσοιο μέγας ποταμὸς βαθυδίνης,
Ὃν Ξάνθον καλέουσι θεοὶ, ἄνδρες δὲ Σκάμανδρον.

οὖν Ἕλλησι βοηθεῖ, ὅτι γαμήλιός ἐστιν ἡ θεά· μισεῖ δὲ μοιχὸν ὄντα τὸν Ἀλέξανδρον· ἢ, ὅτι ἐν τῷ Ἄργει ἐτιμᾶτο λαμπρῶς· ὅθεν φησὶν ὁ Ποιητὴς καὶ τὸ, Ἥρη τ' Ἀργείη· ἢ, καὶ ὅτι, ὡς τὸ Ἄργος, ὕτως οἰκεία ἦν αὐτῇ καὶ ἡ Σπάρτη καὶ ἡ Μυκήνη· ὥς φησιν ἐν τῇ δ'. Ἀθηνᾶ δὲ, ἤτοι διὰ ἀποδυκιμασθῆναι ὑπὸ Ἀλεξάνδρου· ἢ, διὰ τὸ ἀλλοτρίους εἶναι τῆς συνέσεως τοὺς βαρβάρους. Ποσειδῶν δὲ, ἐπεὶ οἱ πλείους τῶν Ἑλλήνων νησιῶταί εἰσι· καὶ διὰ τὸ ὀργίζεσθαι μὲ Λαομέδοντι ἐπὶ τῇ ἀποστερήσει τοῦ μισθοῦ τῶν τειχοποιίας. Ἑρμῆς δὲ, ὅτι ἐξ Ἀρκαδίας ἦν, ὅτι λόγιος· ἢ, ὅτι ἐπειδὴ κήρυκας ἀποσταλέντας πρὸς αὐτοὺς ὑπὸ Ἑλλήνων ἐπὶ διαλύσει, ἠθετήθησαν ἀνελεῖν οἱ Τρῶες· τῶν δὲ κηρύκων προστάτης ὁ Ἑρμῆς. Ἥφαιστος δὲ, διὰ τὸ μισεῖν Ἄρην ὅτι ἐμοίχευσεν αὐτοῦ τὴν γυναῖκα Ἀφροδίτην· τοῖς δὲ Τρωσὶ προέστη Ἄρης, τὸ ὅμοιον μεταδιώκων, φιλοπόλεμος γὰρ ὁ θεός· φιλοπόλεμοι δὲ καὶ οἱ Τρῶες· καὶ τὴν μοιχείαν τοῦ Πάριδος περιέπων, ὡς μοιχός· ὁ δ' Ἀπόλλων, καὶ ἤτοι διὰ τὸ τόξον· τοξικοὶ δὲ καὶ οἱ Τρῶες, καὶ ἐν πρώτοις Ἀλέξανδρος· ἢ, ὅτι κιθαριστὴς, καὶ εὔμορφος, ὡς Ἀλέξανδρος. Ἄρτεμις δ' καὶ Λητὼ χαριζόμεναι τῷ Ἀπόλλωνι· ἢ, ὅτι παρὰ τοῖς βαρβάροις τιμῶνται. Ξάνθος δὲ, ὡς ὑπὲρ οἰκείας χώρας μάχεται· ὁ δὲ Ἀφροδίτη, διὰ τὸ ὑπὸ Ἀλεξάνδρου προκριθῆναι, καὶ κριθὲν εἰπεῖν, φύτη ἀνδίσταται τῷ πολέμῳ, καὶ εἰκότως πάσχει βοηθὸς τοῖς Τρωσίν.

68. ΙΑ. Βίλη· πληθυντικῶς.

69. ΑΝ. Ἐξιαντίας δὲ τοῦ Ἄρεος· ὁ δὲ τρόπος, μετωνυμία, ὡς ἀπὸ Ἐνυοῦς, τῆς πολεμικῆς δαίμονος.

70. ΧΡΥ. Ἐργατικὴ· νῦν δὲ, ἡ χρυσοῦν τόξον ἔχουσα, χρυσότοξος· ἀπὸ τούτου δὲ καὶ κιλαδεινὴ· αὐτὴ τοῦ, κυνηγετικὴ· κραυγάζουσι γὰρ οἱ κυνηγοί.

72. ΣΩ. Ἤτοι, ὁ ἰσχυρὸς· σώκειν γὰρ, τὸ ἰσχύειν· ἢ σούμενος ὠκέως· τυτέστιν ὁρμῶν ταχέως· ἄγγελος γὰρ ὁ θεός.

74. ΟΝ. Τῶν διωνύμων, τὸ μὲν προγενέστερον ὄνομα εἰς θεὸς ἀναφέρει ὁ Ποιητὴς, τὸ δὲ μεταγενέστερον εἰς ἀνθρώπους· ἅμα δὲ κατὰ τὸν πόλεμον οὗτοι οἱ θεοὶ ἐναντιοῦνται ἀλλήλοις; Ποσειδῶν μὲ Ἀπόλλωνι· ὅτι κατὰ τὸν μῦθον συναδικηθεὶς αὐτῷ ὑπὸ Λαομέδοντος, ἐκείνῳ συνήργει. Ἄρης Ἀθηνᾶ· ἐπεὶ ἐκώλυσεν αὐτὸν τὸν Ἀσκαλάφου θάνατον ἐκδικῆσαι· ἢ, διότι ἐν ὕψει τῶν θεῶν ὥρισεν αὐτὸν, εἰπεῖσα, Μαινόμενε, φρένας ἠλέ. Ἥρα δὲ Ἀρτέμιδι· ἔτι γὰρ αὐτῆς μητρυιά. Λητοῖ δὲ Ἑρμῆς, δικαίως· μουσικὸς γὰρ ὑπάρχων τὴν τῶν μουσικῶν Ἀπόλλωνα γεννήσασαν, καὶ τῶν ἐπιτηδευμάτων ἀντίζηλον μεμίσηκεν· ἢ, ὡς λόγιος καὶ μνήμων, ἀποστρέφεται αὐτὴν, ὡς λήθην. Ἥφαιστος δὲ Ξανθῷ, εἰκότως· ὅτι ἡ μὲ ποταμῶν φύσις πίφυκεν ὑγρά. Ἥφαιστος δέ ἐστι ὁ πυρὸς δεσπότης· ὃ τὰ ξύλα τροφή· κατὰ δὲ τὸν φυσικὸν λόγον Ἀπόλλων, ἥλιος ὤν, ἀναπτύει τὰ ὑγρὰ τοιχεῖα. Ἀθηνᾶ δέ ἐστι φρόνησις. Ἄρης δ', ἀφροσύνη· ἐναντία δ' καὶ πολέμιά ἐστι ταῦτα ἀλλήλων. Ἥρα δὲ ἐστιν ἀήρ. Ἄρτεμις δὲ σελήνη, ἀειρότεμίς τις οὖσα, καὶ τὸν ἀέρα τέμνουσα; ἐξ οὗ ἤρτηται, καὶ τὸ βαρύνον αὐτὸν πρὸ-

Ὣς οἱ μὲν θεοὶ ἄντα θεῶν ἴσαν· αὐτὰρ Ἀχιλλεὺς 78
Ἕκτορος ἄντα μάλιστα λιλαίετο δῦναι ὅμιλον
Πριαμίδεω· τοῦ γάρ ῥα μάλιστά γε θυμὸς ἀνώγει
Αἵματος ἆσαι Ἄρηα, ταλαύρινον πολεμιστήν.
Αἰνείαν δ' ἰθὺς λαοσσόος ὦρσεν Ἀπόλλων
Ἀντίαν Πηλείωνος, ἐνῆκε δέ οἱ μένος ἠΰ· 80
Τιεῖ δὲ Πριάμοιο Λυκάονι εἴσατο φωνήν·
Τῷ μιν ἐεισάμενος προσέφη Διὸς υἱὸς Ἀπόλλων·
Αἰνεία, Τρώων βουληφόρε, ποῦ τοι ἀπειλαὶ
Τὰς Τρώων βασιλεῦσιν ὑπέσχεο οἰνοποτάζων,
Πηλείδεω Ἀχιλῆος ἐναντίβιον πολεμίζειν; 85
Τὸν δ' αὖτ' Αἰνείας ἀπαμειβόμενος προσέειπε·
Πριαμίδη, τί με ταῦτα κ' ἐκ ἐθέλοντα κελεύεις,
Ἀντίαν Πηλείωνος ὑπερθύμοιο μάχεσθαι;
Οὐ μὲν γὰρ νῦν πρῶτα ποδώκεος ἄντ' Ἀχιλῆος
Στήσομαι, ἀλλ' ἤδη με καὶ ἄλλοτε δουρὶ φόβησεν, 90
Ἐξ Ἴδης, ὅτε βουσὶν ἐπήλυθεν ἠμετέρῃσι,
Πέρσε δὲ Λυρνησσὸν καὶ Πήδασον· αὐτὰρ ἐμὲ Ζεὺς
Εἰρύσαθ', ὅς μοι ἐπῶρσε μένος λαιψηρά τε γοῦνα.
Ἦ κ' ἐδάμην ὑπὸ χερσὶν Ἀχιλλῆος καὶ Ἀθήνης,
Ἦ οἱ πρόσθεν ἰοῦσα τίθει φάος, ἠδ' ἐκέλευεν 95
Ἔγχεϊ χαλκείῳ λέλεγας καὶ Τρῶας ἐναίρειν.
Τῷ οὐκ ἔς' Ἀχιλῆος ἐναντίον ἄνδρα μάχεσθαι·
Αἰεὶ γὰρ πάρα εἷς γε θεῶν, ὃς λοιγὸν ἀμύνει.

μιον νενόμικεν. Ἑρμῆς δέ ἐστιν ὁ λόγος. Ἀντὶ δὲ, ἀμνημοσύνη· οἷον ληθώ τις τῶν λόγων. Ἥφαιστος δὲ, τὸ πῦρ. Ξάνθος τὸ ὑγρόν· ἀλλότριον δὲ τὸ πῦρ τοῦ ὑγροῦ.

78. ΑΣΑΙ. Πληρῶσαι, κορέσαι.

81. ΕΙ. Ὡμοιώθη.

83. ΑΠΒΙ. Νῦν, καυχήσεις.

84. ΟΙ. Τῶν δημοσίων τιμῶν τε καὶ γερῶν ἀπολαύων καὶ εὐωχούμενος.

92. ΛΥΡ. Πόλις τῶν Ὑποπλακίων Θηβῶν. ΠΗ. Ποταμὸς Ἑλλησπόντου, καὶ τόπος.

96. ΛΕ. Τοὺς ἐν Ἑλλησπόντῳ ἀπὸ τῆς Θεσσαλίας πρώτους κατοικοῦντας.

98. ΠΛ. Πάρεστι.

Καὶ δ' ἄλλως τῷ γ' ἰθὺ βέλος πέτετ', οὐδ' ἀπολήγει,
Πρὶν χροὸς ἀνδρομέοιο διελθέμεν· εἰ δὲ θεός περ
Ἴσον τείνειεν πολέμῳ τέλος, ὅ με μάλα ῥέα
Νικήσει, οὐδ' εἰ παγχάλκεος εὔχεται εἶναι.'
Τὸν δ' αὖτε προσέειπεν ἄναξ, Διὸς υἱὸς, Ἀπόλλων·
'Ἥρως, ἀλλ' ἄγε καὶ σὺ θεοῖς αἰειγενέτῃσιν
Εὔχεο· κ' δέ σέ φασι Διὸς κύρης Ἀφροδίτης
Ἐκγεγάμεν, κεῖνος δὲ χερείονος ἐκ θεῶν ἐστιν.
Ἡ μὲν γὰρ Διός ἐσθ', ἡ δ' ἐξ ἁλίοιο γέροντος.
Ἀλλ' ἰθὺς φέρε χαλκὸν ἀτειρέα, μηδέ σε πάμπαν
Ἀευγαλέοις ἐπέεσσιν ἀποτρεπέτω κ' ἀρειῆ.'
Ὣς εἰπὼν, ἔμπνευσε μένος μέγα ποιμένι λαῶν·
Βῆ δὲ διὰ προμάχων, κεκορυθμένος αἴθοπι χαλκῷ.
Οὐδ' ἔλαθ' Ἀγχίσαο παῖς λευκώλενον Ἥρην,
Ἀντία Πηλείωνος ἰὼν ἀνὰ ἀλαμὸν ἀνδρῶν·
Ἡ δ' ἄμυδις καλέσασα θεὰς μετὰ μῦθον ἔειπε·
'Φράζεσθον δὴ σφῶϊ, Ποσείδαον, κ' Ἀθήνη,
'Εν φρεσὶν ὑμετέρῃσιν, ὅπως ἔσται τάδε ἔργα.
Αἰνείας ὅδ' ἔβη, κεκορυθμένος αἴθοπι χαλκῷ,
Ἀντία Πηλείωνος· ἀνῆκε δὲ Φοῖβος Ἀπόλλων.
Ἀλλ' ἄγεθ', ἡμεῖς πέρ μιν ἀποτρωπῶμεν ὀπίσσω
Αὐτόθεν· ἤ τις ἔπειτα κ' ἡμείων Ἀχιλῆϊ
Παρστάη, δοίη δὲ κράτος μέγα, μηδέ τι θυμῷ
Δευέσθω· ἵνα οἶδῃ, ὅ μιν φιλέουσιν ἄριστοι
Ἀθανάτων· οἱ δ' αὖτ' ἀνεμώλιοι, οἳ τὸ πάρος περ
Τρωσὶν ἀμύνεσκον πόλεμον καὶ δηϊοτῆτα.

99. ΑΠΟ. Ἀποπαύεται.
100. ΑΝ. Ἀνθρωπίνου.
101. ΙΣΟΝ. Ἴσον ποιήσειε τὸ τέλος δ' πολέμῳ· μηδ' ἑτέρῳ βοηθῇ.
109. ΑΡΕΙ. Ἀπιλῇ· οἱ δὲ, βλάβῃ· ἀπὸ τοῦ Ἄρεος.
114. ΑΜΥ. Αὔτη δὲ τοὺς θεοὺς ἅμα συγκαλέσασα.
122. ΔΕΥ. Προσδοίδου.
123. ΠΛ. Νῦν, οἱ ἐξαρχῶν.

Ὣς ἄρα φωνήσαντος Ἐριννύες ἔχεθον αὐδήν.
Τὸν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
'Ξάνθε, τί μοι θάνατον μαντεύεαι; οὐδέ τί σε χρή. 420
Εὖ νύ τοι οἶδα καὶ αὐτὸς, ὅ μοι μόρος ἐνθάδ' ὀλέσθαι,
Νόσφι φίλου πατρὸς καὶ μητέρος· ἀλλὰ κ' ἔμπης
Οὐ λήξω, πρὶν Τρῶας ἄδην ἐλάσαι πολέμοιο.'
Ἦ ῥα, καὶ ἐν πρώτοις ἰάχων ἔχε μώνυχας ἵππους.

418. ΩΣ. Οὕτως εἰπόντος, φησὶ, τοῦ ἵππου, ἐπέχον αὐτοῦ αἱ Ἐριννύες τὴν φωνήν· πάντα γὰρ τὰ παράλογα καὶ τερατία δοκεῖ ὑπὸ Ἐριννύων γίγνεσθαι.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΙΛΙΑΔΟΣ Υ.

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

ΔΙΟΣ ἐπιτρέψαντος, κατέρχονται βοηθήσοντες οἱ θεοὶ πάντες· τοῖς μὲ Ἕλλησιν, Ἥρα τε, καὶ Ἀθηνᾶ, καὶ Ποσειδῶν, καὶ Ἥφαιστος, καὶ Ἑρμῆς· τοῖς δὲ Τρωσὶν, Ἀφροδίτη, καὶ Ἀπόλλων· ἔτι δὲ καὶ Ἄρτεμις, καὶ Λητὼ, Ἄρης τε, καὶ Σκάμανδρος. Αἰνείαν δὲ, ἀντιστάντα Ἀχιλλεῖ, σώζει Ποσειδῶν νεφέλῃ καλύψας. Ἀχιλλεὺς δ' ἄλλους τε ἀναιρεῖ, καὶ Πολύδωρον, τὸν Πριάμου παῖδα. Ἕκτωρ δὲ, ἀντιτάς αὐτῷ, φεύγει, Ἀπόλλωνος σώσαντος αὐτόν· τοὺς δὲ ἄλλους Ἀχιλλεὺς ἐπὶ τὴν πόλιν φεύγοντας κατεπείγει.

Θεῶν μάχη.

Υ, Μακάρων ἔρις ὦρτο, φέρει δ' ἐπὶ κάρτος Ἀχαιοῖς.

Ὡς οἱ μὲν παρὰ νηυσὶ κορωνίσι θωρήσσοντο
Ἀμφὶ σὲ, Πηλέος υἱὲ, μάχης ἀκόρητοι Ἀχαιοί·
Τρῶες δ' αὖθ' ἑτέρωθεν ἐπὶ θρωσμῷ πεδίοιο.
Ζεὺς δὲ Θέμιστα κέλευσε θεὰς ἀγορήνδε καλέσσαι
Κρατὸς ἀπ' Οὐλύμποιο πολυπήχυ· ἡ δ' ἄρα πάντη 5

1. ΘΩ. Καθωπλίζοντο.

2. ΑΜ. Περὶ σέ· ὀρθοτονητέον τὴν ἀντωνυμίαν. ΑΚΟ. Ἀπλήρωτοι. γρ. Ἀκόρητον.

3. ΘΡΩ. Ὑψηλῷ τόπῳ, ὅθεν ἐστὶ καταθορεῖν, καὶ πηδῆσαι· ἔτι δὲ ὗτος ἐν Ἰλίῳ, πεδίον πέντε τὴν περιμέτρον, μεταξὺ Σιμοῦντος ποταμοῦ, καὶ τῆς Ἰλιέων καλουμένης κώμης· ὅπου καὶ τὰς θεὰς κριθῆναι λέγουσι περὶ κάλλους· ὀνομάζεται δὲ Καλλικολώνη, ἐπεὶ τῶν πέριξ τόπων ἐπισημότατός ἐστιν· ἡ ἱστορία παρὰ Δημητρίῳ τῷ Σκηψίῳ.

4. ΘΕ. Ἀντὶ Ὑ, Θέμιν, δικαιοσύνην, ἥτις ἐστὶ μία τῶν Τιτανίδων.

5. ΚΡΑ. Κορυφῆς τοῦ Ὀλύμπου, τῆς

Φοιτήσασα κέλευσε Διὸς πρὸς δῶμα νέεσθαι.
Οὔτε τις ἓν Ποταμῶν ἀπέην, νόσφ' Ὠκεανοῖο,
Οὔτ' ἄρα Νυμφάων, τά τ' ἄλσεα καλὰ νέμονται,
Καὶ πηγὰς ποταμῶν, καὶ πίσεα ποιήεντα.
Ἐλθόντες δ' ἐς δῶμα Διὸς νεφεληγερέταο, 10
Ἕζεσθαι αἰθούσησιν ἐφίζανον, ἃς Διὶ πατρὶ
Ἥφαιστος ποίησεν ἰδυίῃσι παραπίδεσσιν.
Ὣς οἱ μὲν Διὸς ἔνδον ἀγηγέρατ' ἠδ' Ἐνοσίχθων
Νηκέστησε θεᾶς, ἀλλ' ἐξ ἁλὸς ἦλθε μετ' αὐτούς.
Ἷζε δ' ἄρ' ἐν μέσσοισι, Διὸς δ' ἐξείρετο βουλήν· 15
Τίπτ' αὖ, Ἀργικέραυνε, θεοὺς ἀγορήνδ' ἐκάλεσσας;
Ἦ τι περὶ Τρώων καὶ Ἀχαιῶν μερμηρίζεις;
Τῶν γὰρ ὧν ἄγχιστα μάχη πόλεμός τε δέδηε.
Τὸν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἔγνως, Ἐννοσίγαιε, ἐμὴν ἐν στήθεσι βουλήν, 20
Ὧν ἕνεκα ξυνάγειρα· μέλουσί μοι, ὀλλύμενοί περ.
Ἀλλ' ἤτοι μὲν ἐγὼ μενέω πτυχὶ Οὐλύμποιο
Ἥμενος, ἔνθ' ὁρόων φρένα τέρψομαι· οἱ δὲ δὴ ἄλλοι
Ἔρχεσθ', ὄφρ' ἂν ἵκησθε μετὰ Τρῶας καὶ Ἀχαιούς·

ἀκρωρείας. ΠΟ. Πολλὰς ἀποκλίσεις καὶ ἐξοχὰς ἔχοντος.

6. ΦΟΙ. Παραγενομένη.

7. ΑΠΕ. Ἀπῆν. ΝΟΣ. Χωρίς· τὸν δὲ Ὠκεανὸν οὐ παρέλαβεν εἰς τὸ τῶν θεῶν συνέδριον· ἵνα μὴ κωλύσῃ αὐτοὺς τῆς πρὸς ἀλλήλους μάχης, προσβύταλος ὑπάρχων.

8. ΝΥ. Αἱ τὰ ἄλση κατοικοῦσαι Νύμφαι Ἀλσηΐτιδες καλοῦνται· αἱ δὲ ἐπὶ τῶν δένδρων, Ἁμαδρυάδες· αἱ δὲ τὰ νάματα τῶν ὑδάτων, Ναΐδες καὶ Ὑδριάδες· καὶ τούτων αἱ μὲν, Κρηνῖδες, αἱ δὲ, Ἐπιποταμίδες· αἱ δὲ ἐπὶ τῶν βοσκημάτων Ἐπιμηλίδες· αἱ δὲ ἐπὶ τῶν ὀρῶν, Ὀρεσιάδες· καὶ ὅσαι ταύταις ὅμοιαι· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἑλῶν, Ἐλειονόμοι.

9. ΠΙ. Τὰ ὑδρηλὰ χωρία, τοὺς καθίκρυς τόπους· ἀπὸ τοῦ εἶναι ἐν αὐτοῖς πιεῖσαι, ὅ ἐστι, ποτίσαι. ΠΟΙ. Βοτάνην ἔχοντα.

13. ΕΝΟ. Ὁ δὲ Ποσειδῶν οὐ παρήκουσε τῆς Θέμιδος· τοῦτο δὲ εἴρηκε διὰ τὴν γενομένην αὐτῷ μικρῷ πρόσθεν πρὸς τὸν Δία φιλονεικίαν.

14. ΝΗ. Παρήκουσε. ΜΕΤ. Πρὸς αὐτούς.

18. ΔΕ. Φαίνεται, φλέγει.

21. ΞΥ. Συνήγειρα, ἤθροισα.

22. ΠΤΥ. Ἀποκλίσει, ἐξοχῇ.

24. ΙΚΗ. Παραγένησθε.

Ἀμφοτέροισι δ' ἀρήγεθ', ὅπη νόος ἐςὶν ἑκάςῳ. 25
Εἰ γὰρ Ἀχιλλεὺς οἶος ἐπὶ Τρώεσσι μαχεῖτο,
Οὐδὲ μίνυνθ' ἕξουσι ποδώκεα Πηλείωνα.
Καὶ δέ τέ μιν καὶ πρόσθεν ὑποτρομέεσκον ὁρῶντες·
Νῦν δ', ὅτε δὴ κῆν θυμὸν ἑταίρου χώετο αἰνῶς,
Δείδω, μὴ κῆν τεῖχος ὑπὲρ μόρον ἐξαλαπάξῃ.' 30
Ὣς ἔφατο Κρονίδης, πόλεμον δ' ἀλίαςον ἔγειρε.
Βὰν δ' ἴμεναι πολεμόνδε θεοὶ, δίχα θυμὸν ἔχοντες·
Ἥρη μὲν μετ' ἀγῶνα νεῶν καὶ Παλλὰς Ἀθήνη,
Ἠδὲ Ποσειδάων γαιήοχος, ἠδ' ἐριούνης
Ἑρμείας, ὃς ἐνὶ φρεσὶ πευκαλίμῃσι κέκαςο· 35
Ἥφαιςος δ' ἅμα τοῖσι κίε, θρένεϊ βλεμεαίνων,
Χωλεύων, ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί.
Ἐς δὲ Τρῶας Ἄρης κορυθαίολος· αὐτὰρ ἅμ' αὐτῷ
Φοῖβος ἀκερσεκόμης, ἠδ' Ἄρτεμις ἰοχέαιρα,
Λητώ τε, Ξάνθος τε, φιλομμειδής τ' Ἀφροδίτη. 40
Εἴως μέν ῥ' ἀπάνευθε θεοὶ θνητῶν ἔσαν ἀνδρῶν,
Τέως Ἀχαιοὶ μὲν μέγ' ἐκύδανον, οὕνεκ' Ἀχιλλεὺς
Ἐξεφάνη, δηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς·
Τρῶας δὲ τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἕκαςον,
Δεδιότας, ὅθ' ὁρῶντο ποδώκεα Πηλείωνα 45
Τεύχεσι λαμπόμενον, βροτολοιγῷ ἶσον Ἀρηϊ.
Αὐτὰρ ἐπεὶ μεθ' ὅμιλον Ὀλύμπιοι ἦλυθον ἀνδρῶν,
Ὦρτο δ' Ἔρις κρατερὴ, λαοσσόος· αὖε δ' Ἀθήνη,

29. ΧΩ. Λυκεῖται.
30. ΥΠΕΡ. Παρὰ τὸ εἱμαρμένον, παρὰ τὸ δέον.
31. ΑΛΙ. Χαλεπὸν, ἄφυκτον. ΕΓΕΙ. Ἤγειρεν, ἐκίνησε.
32. ΔΙ. Διχῶς, εἰς δύο.
33. ΑΓΩ. Τὴν συναγωγὴν τῶν πολεμίων.
34. ΕΡΙ. Μεγάλην ὄψιν παρέχων, μεγαλοφελής.
35. ΠΕΥ. Δριμείαις, συνεταῖς.
36. ΒΛΕ. Ἐπιῤῥωννύμενος, ἐπιών.
39. ΑΚΕΡ. Μὴ κειρόμενος τὴν κόμην, ἀεὶ κομῶν, διὰ τὰς ἀκτῖνας· ἴσος γὰρ τῷ ἡλίῳ ὁ Ἀπόλλων.
42. ΕΚΥ. Ἐδόξαζον.

Στᾶσ' ὁτὲ μὲν παρὰ τάφρον ὀρυκτὴν, τείχεος ἐκτὸς,
Ἄλλοτ' ἐπ' ἀκτάων ἐριδούπων μακρὸν ἀΰτει· 50
Αὖε δ' Ἄρης ἑτέρωθεν, ἐρεμνῇ λαίλαπι ἶσος,
Ὀξὺ κατ' ἀκροτάτης πόλιος Τρώεσσι κελεύων,
Ἄλλοτε παρ Σιμόεντι θέων ἐπὶ Καλλικολώνῃ.
Ὡς τοὺς ἀμφοτέρους μάκαρες θεοὶ ὀτρύνοντες
Σύμβαλον, ἐν δ' αὐτοῖς ἔριδα ῥήγνυντο βαρεῖαν. 55
Δεινὸν δ' ἐβρόντησε πατὴρ ἀνδρῶν τε θεῶν τε.
Ὑψόθεν· αὐτὰρ ἔνερθε Ποσειδάων ἐτίναξε
Γαῖαν ἀπειρεσίην, ὀρέων τ' αἰπεινὰ κάρηνα.
Πάντες δ' ἐσσείοντο πόδες πολυπιδάκου Ἴδης,
Καὶ κορυφαὶ, Τρώων τε πόλις, καὶ νῆες Ἀχαιῶν. 60
Ἔδδεισεν δ' ὑπένερθεν ἄναξ ἐνέρων, Ἀϊδωνεὺς,
Δείσας δ' ἐκ θρόνου ἆλτο, καὶ ἴαχε, μή οἱ ὕπερθε
Γαῖαν ἀναῤῥήξειε Ποσειδάων ἐνοσίχθων,
Οἰκία δὲ θνητοῖσι καὶ ἀθανάτοισι φανείη
Σμερδαλέ', εὐρώεντα, τά τε στυγέουσι θεοί περ. 65
Τόσσος ἄρα κτύπος ὤρτο θεῶν ἔριδι ξυνιόντων.
Ἤτοι μὲν γὰρ ἔναντα Ποσειδάωνος ἄνακτος

50. ΑΚ. Ἐπὶ τῶν αἰγιαλῶν· λέγω δὴ τῶν παραθαλασσίων τόπων τῶν τῇδε κἀκεῖσε τοῦ ναυσάθμου προβεβλημένων. ΕΡΙ. Μεγαλοήχων. ΜΑ. Μέγα ἐβόα.

51. ΑΥ. Ἐφώνει, ἐβόα· ἐὰν δὲ δασύνηται, ἐξέκαιεν. ΕΡΕΜ. Σκοτεινῇ, φοβερᾷ.

52. ΟΞΥ. Χαλεπὸν, δριμύ.

53. ΘΕ. Ὅ ἐστι, τρέχων. Ἀρίσταρχος ἀτέγνως περισπωμένως, τὸ χωρίον θεῶν λέγων· ἡ δὲ Καλλικολώνη ἐστὶν ὑψηλὸς τόπος.

55. ΡΗΓ. Ἔῤῥησσον.

57. ΕΤΙ. Διέσεισεν.

58. ΑΠΕΙ. Μεγάλην.

59. ΠΟ. Τὰ καταλήγοντα τῶν ὀρῶν· μεταφορικῶς.

62. ΙΑ. Ἐβόα.

65. ΣΤΥ. Δεδοίκασι, φοβοῦνται.

66. ΞΥ. Συνερχομένων.

67. ΗΤΟΙ. Καὶ τὰ ἑξῆς. Ἡ τῶν θεῶν μάχη περιέχει φυσικὴν στοιχείων πρὸς στοιχεῖα ἀντίταξιν, κακιῶν πρὸς ἀρετάς. Ἀπόλλων μὲν δὴ ἐναντιοῦται Ποσειδῶνι· τὸ μερικὸν πῦρ, τῷ παντὶ ὑγρῷ. Ἀθηνᾶ δὴ Ἄρεϊ, ἡ φρόνησις τῇ ἀφροσύνῃ. Ἥρα δὲ Ἀρτέμιδι, ὁ περίγειος ἀὴρ τῇ σελήνῃ. Ἑρμῆς δὲ Λητοῖ, ὁ λόγος τῇ λήθῃ. Ἥφαιστος δὲ Ξάνθῳ· τὸ ὅλον πῦρ μέρει τοῦ ὕδατος· ἀλλὰ τοῖ ὅτοι οἱ θεοὶ προήρηνται βοηθεῖν τοῖς Ἕλλησιν, Ἥρα, Ἀθηνᾶ, Ποσειδῶν, Ἥφαιστος, Ἑρμῆς; τοῖς δὲ Τρωσὶν, Ἀπόλλων, Ἄρτεμις, Λητὼ, Σκάμανδρος, Ἀφροδίτη; Ἥρα δὲ

Ἷσατ' Ἀπόλλων Φοῖβος, ἔχων ἰὰ πτερόεντα·
Ἄντα δ' Ἐνυαλίοιο θεὰ γλαυκῶπις Ἀθήνη·
Ἥρῃ δ' ἀντέσῃ χρυσηλάκατος, κελαδεινὴ, 70
Ἄρτεμις ἰοχέαιρα, κασιγνήτη Ἑκάτοιο·
Λητοῖ δ' ἀντέσῃ σῶκος, ἐριούνιος Ἑρμῆς·
Ἄντα δ' ἄρ' Ἡφαίστοιο μέγας ποταμὸς βαθυδίνης,
Ὃν Ξάνθον καλέουσι θεοὶ, ἄνδρες δὲ Σκάμανδρον.

οὖν Ἕλλησι βοηθεῖ, ὅτι γαμήλιός ἐστιν ἡ θεά· μισεῖ δὲ μοιχὸν ὄντα τὸν Ἀλέξανδρον· ἢ, ὅτι ἐν τῷ Ἄρει ἐτιμᾶτο λαμπρῶς· ὅθεν φησὶν ὁ Ποιητὴς καὶ τὸ, Ἥρη τ' Ἀργείη· ἢ, καὶ ὅτι, ὡς τὸ Ἄργος, οὕτως οἰκεία ἦν αὐτῇ καὶ ἡ Σπάρτη καὶ ἡ Μυκήνη· ὥς φησιν ἐν τῇ δ'. Ἀθηνᾶ δὲ, ἤτοι διὰ ἀποδοκιμασθῆναι ὑπὸ Ἀλεξάνδρου· ἢ, διὰ τὸ ἀλλοτρίως εἶναι τῆς συνέσεως τοὺς βαρβάρους. Ποσειδῶν δὲ, ἐπεὶ οἱ πλείους τῶν Ἑλλήνων νησιῶταί εἰσι· καὶ διὰ τὸ ὀργίζεσθαι Λαομέδοντι ἐπὶ τῇ ἀποστερήσει τοῦ μισθοῦ τῶν τειχοποιΐας. Ἑρμῆς δὲ, ὅτι ἐξ Ἀρκαδίας· ἢ, ὅτι λόγιος· ἢ, ὅτι ἐπειδὴ κήρυκας ἀποσταλέντας πρὸς αὐτοὺς ὑπὸ Ἑλλήνων ἐπὶ διαλύσει, ἠβουλήθησαν ἀνελεῖν οἱ Τρῶες· τῶν δὲ κηρύκων προστάτης ὁ Ἑρμῆς. Ἥφαιστος δὲ, διὰ τὸ μισεῖν Ἄρην ὅτι ἐμοίχευσεν αὐτοῦ τὴν γυναῖκα Ἀφροδίτην· τοῖς δὲ Τρωσὶ προέσῃ Ἄρης, τὸ ὅμοιον μεταδιώκων, φιλοπόλεμος γὰρ ὁ θεός· φιλοπόλεμοι δὲ καὶ οἱ Τρῶες· καὶ τὴν μοιχείαν τοῦ Πάριδος περιέπων, ὡς μοιχός· ὁ δὲ Ἀπόλλων, καὶ ἤτοι διὰ τὸ τόξον· τοξικοὶ δὲ καὶ οἱ Τρῶες, καὶ ἐν πρώτοις Ἀλέξανδρος· ἢ, ὅτι κιθαριστὴς, καὶ εὔμορφος, ὡς Ἀλέξανδρος. Ἄρτεμις δὲ καὶ Λητὼ χαριζόμεναι τῷ Ἀπόλλωνι· ἢ, ὅτι παρὰ τοῖς βαρβάροις τιμῶνται. Ξάνθος δὲ, ὡς ὑπὲρ οἰκείας χώρας μάχεται· ἡ δὲ Ἀφροδίτη, διὰ το ὑπὸ Ἀλεξάνδρου προκριθῆναι, καὶ ἀγαθὸν εἰπεῖν, φύτη ἀνδίσταται τῷ πολέμῳ, καὶ εἰκότως παρεστὼς βοηθὸς τοῖς Τρωσίν.

68. ΙΑ. Βίλη· πληθυντικῶς.

69. ΑΝ. Ἐξιωτίας δὲ τοῦ Ἄρεος· ὁ δὲ τρόπος, μετωνυμία, ὡς ἀπὸ Ἐνυοῦς, τῆς πολεμικῆς δαίμονος.

70. ΧΡΥ. Ἐργατικὴ· νῦν δὲ, ἡ χρυσοῦν τόξον ἔχουσα, χρυσότοξος· ἀπὸ τούτου δὲ καὶ κελαδεινὴ· αὐτὶ τοῦ, κυνηγετική· κραυγάζουσι γὰρ οἱ κυνηγοί.

72. ΣΩ. Ἤτοι, ὁ ἰσχυρὸς· σώκειν γὰρ, τὸ ἰσχύειν· ἢ σούμενος ὠνέως· ταχέως· ἄγγελος γὰρ ὁ θεός.

74. ΟΝ. Τῶν διωνύμων, τὸ μὲν προγενέστερον ὄνομα εἰς θεὸς ἀναφέρει ὁ Ποιητὴς, τὸ δὲ μεταγενέστερον εἰς ἀνθρώπους. Ἀμφὶ δὲ κατὰ τὸν πόλεμον οὗτοι οἱ θεοὶ ἐναντιοῦνται ἀλλήλοις; Ποσειδῶν μὲ Ἀπόλλωνι· ὅτι κατὰ τὸν μῦθον συναδικηθεὶς αὐτῷ ὑπὸ Λαομέδοντος, ἐκώλυσεν συνήργει. Ἄρης Ἀθηνᾷ· ἐπεὶ ἐκώλυσεν αὐτὸν τὸν Ἀσκαλάφου θάνατον ἐκδικῆσαι· ἢ, διότι ἐν ὄψει τῶν θεῶν ὕβρισεν αὐτὸν, εἰπεῖσα, Μαινόμενε, φρένας ἠλί. Ἥρα δὲ Ἀρτέμιδι· ἔτι γὰρ αὐτῆς μητρυιά. Λητοῖ δὲ Ἑρμῆς, δικαίως· μυσικὰς γὰρ ὑπάρχων τὴν τῶν μυσικῶν Ἀπόλλωνα γεννήσασαν, καὶ τῶν ἐφευρημάτων αὐτίζηλον μεμίσηκεν· ἢ, ὡς λόγιος καὶ μνήμων, ἀποστρέφεται αὐτὴν, ὡς λήθην. Ἥφαιστος δὲ Ξανθῷ, εἰκότως· ὅτι ἡ μὲ ποταμῶν φύσις πέφυκεν ὑγρά. Ἥφαιστος δέ ἐστι ὁ πυρὸς δεσπότης· ἡ τὰ ξύλα τροφὴ· κατὰ δὲ τὸν φυσικὸν λόγον Ἀπόλλων, ἥλιος ὤν, ἀναπτύει τὰ ὑγρὰ στοιχεῖα. Ἀθηνᾶ δέ ἐστι φρόνησις. Ἄρης ἢ, ἀφροσύνη· ἐναντία ἢ καὶ πολέμια ἐστι ταῦτα ἀλλήλων. Ἥρα δέ ἐστιν ἀήρ. Ἄρτεμις δὲ σελήνη, ἀειρότεμίς τις οὖσα, καὶ τὸν ἀέρα τέμνουσα, ἐξ οὗ κρατεῖται, καὶ τὸ βαρύνον αὐτὸν πφλί-

Ὣς οἱ μὲν θεοὶ ἄντα θεῶν ἴσαν· αὐτὰρ Ἀχιλλεὺς 75
Ἕκτορος ἄντα μάλιστα λιλαίετο δῦναι ὅμιλον
Πριαμίδεω· τοῦ γάρ ῥα μάλιστά γε θυμὸς ἀνώγει
Αἵματος ἆσαι Ἄρηα, ταλαύρινον πολεμιστήν.
Αἰνείαν δ' ἰθὺς λαοσσόος ὦρσεν Ἀπόλλων
Ἀντίᾳ Πηλείωνος, ἐνῆκε δέ οἱ μένος ἠΰ· 80
Υἱεῖ δὲ Πριάμοιο Λυκάονι εἴσατο φωνήν·
Τῷ μιν ἐεισάμενος προσέφη Διὸς υἱὸς Ἀπόλλων·
Αἰνεία, Τρώων βουληφόρε, πῶς τοι ἀπειλαὶ
Τὰς Τρώων βασιλεῦσιν ὑπέσχεο οἰνοποτάζων,
Πηλείδεω Ἀχιλῆος ἐναντίβιον πολεμίζειν; 85
Τὸν δ' αὖτ' Αἰνείας ἀπαμειβόμενος προσέειπε·
Πριαμίδη, τί με ταῦτα καὶ οὐκ ἐθέλοντα κελεύεις,
Ἀντίᾳ Πηλείωνος ὑπερθύμοιο μάχεσθαι;
Οὐ μὲν γὰρ νῦν πρῶτα ποδώκεος ἄντ' Ἀχιλῆος
Στήσομαι, ἀλλ' ἤδη με καὶ ἄλλοτε δουρὶ φόβησεν, 90
Ἐξ Ἴδης, ὅτε βουσὶν ἐπήλυθεν ἡμετέρῃσι,
Πέρσε δὲ Λυρνησσὸν καὶ Πήδασον· αὐτὰρ ἐμὲ Ζεὺς
Εἰρύσαθ', ὅς μοι ἐπῶρσε μένος λαιψηρά τε γοῦνα.
Ἦ κ' ἐδάμην ὑπὸ χερσὶν Ἀχιλλῆος καὶ Ἀθήνης,
Ἦ οἱ πρόσθεν ἰοῦσα τίθει φάος, ἠδ' ἐκέλευεν 95
Ἔγχεϊ χαλκείῳ Λέλεγας καὶ Τρῶας ἐναίρειν.
Τῷ οὐκ ἔς' Ἀχιλῆος ἐναντίον ἄνδρα μάχεσθαι·
Αἰεὶ γὰρ πάρα εἷς γε θεῶν, ὃς λοιγὸν ἀμύνει.

μιον νενόμικεν. Ἑρμῆς δέ ἐστιν ὁ λόγος. Λυτὼ δέ, ἀμνημοσύνη· οἷον ληθώ τις τοῦ λόγου. Ἥφαιστος δέ, τὸ πῦρ. Ξάνθος τὸ ὑγρόν· ἀλλότριον δὲ τὸ πῦρ τοῦ ὑγροῦ.

78. ΑΣΑΙ. Πληρῶσαι, κορέσαι.

81. ΕΙ. Ὡμοιώθη.

83. ΑΠΒΙ. Νῦν, καυχήσεις.

84. ΟΙ. Τῶν δημοσίων τιμῶν τε καὶ γερῶν ἀπολαύων καὶ εὐωχούμενος.

92. ΛΥΡ. Πόλις τῶν Ὑποπλακίων Θηβῶν. ΠΗ. Ποταμὸς Ἑλλησπόντου, καὶ τόπος.

96. ΛΕ. Τοὺς ἐν Ἑλλησπόντῳ ἀπὸ τῆς Θεσσαλίας πρώτους κατοικοῦντας.

98. ΠΛ. Πάρεστιν.

Καὶ δ' ἄλλως τῷ γ' ἰθὺ βέλος πέτετ', ἠδὲ ἀπολήγει,
Πρὶν χροὸς ἀνδρομέοιο διελθέμεν· εἰ δὲ θεός περ 100
Ἴσον τείνειεν πολέμῳ τέλος, ἤ με μάλα ῥέα
Νικήσει, ἠδὲ εἰ παγχάλκεος εὔχεται εἶναι.'
Τὸν δ' αὖτε προσέειπεν ἄναξ, Διὸς υἱὸς, Ἀπόλλων·
'Ἥρως, ἀλλ' ἄγε καὶ σὺ θεοῖς ἀλεγεινέτησιν
Εὔχεο· καὶ δέ σέ φασι Διὸς κέρης Ἀφροδίτης 105
Ἐκγεγάμεν, κεῖνος δὲ χερείονος ἐκ θεῶν ἐστιν.
Ἡ μὲν γὰρ Διός ἐσθ', ἡ δ' ἐξ ἁλίοιο γέροντος.
Ἀλλ' ἰθὺς φέρε χαλκὸν ἀτειρέα, μηδέ σε πάμπαν
Ἀευγαλέοις ἐπέεσσιν ἀποτρεπέτω καὶ ἀρειῆ.'
Ὣς εἰπὼν, ἔμπνευσε μένος μέγα πωιμένι λαῶν· 110
Βῆ δὲ διὰ προμάχων, κεκορυθμένος αἴθοπι χαλκῷ.
Οὐδὲ ἔλαθ' Ἀγχίσαο πάϊς λευκώλενον Ἥρην,
Ἀντία Πηλείωνος ἰὼν ἀνὰ ἴλαμὸν ἀνδρῶν·
Ἡ δ' ἄμυδις καλέσασα θεὰς μετὰ μῦθον ἔειπε·
'Φράζεσθον δὴ σφῶϊ, Ποσείδαον, καὶ Ἀθήνη, 115
Ἐν φρεσὶν ὑμετέρῃσιν, ὅπως ἔσται τάδε ἔργα.
Αἰνείας ὅδε ἔβη, κεκορυθμένος αἴθοπι χαλκῷ,
Ἀντία Πηλείωνος· ἀνῆκε δὲ Φοῖβος Ἀπόλλων.
Ἀλλ' ἄγεθ', ἡμεῖς πέρ μιν ἀποτρωπῶμεν ὀπίσσω
Αὐτόθεν· ἤ τις ἔπειτα καὶ ἡμείων Ἀχιλῆϊ 120
Παρστάσ, δοίη δὲ κράτος μέγα, μηδέ τι θυμῷ
Δευέσθω· ἵνα οἰδῇ, ὅ μιν φιλέουσιν ἄμοροι
Ἀθανάτων· οἱ δ' αὖτ' ἀνεμώλιοι, οἳ τὸ πάρος περ
Τρωσὶν ἀμύνεσκον πόλεμον καὶ δηϊοτῆτα.

99. ΑΠΟ. Ἀποπαύεται.
100. ΑΝ. Ἀνθρωπίνῳ.
101. ΙΣΟΝ. Ἴσον ποιήσειε τὸ τέλος δ' πολέμῳ· μηδ' ἑτέρῳ βοηθῇ.
109. ΑΡΕΙ. Ἀπιλῇ· οἱ δὲ, βλάβῃ· ἀπὸ τοῦ Ἄρεος.
114. ΑΜΥ. Αὔτη δὲ τοὺς θεὰς ὁμῶ συγκαλέσασα.
122. ΔΕΥ. Προσδεήσῃ.
123. ΠΑ. Νῦν, οἱ ἱξαρχῶν.

‘ Πάντες δ᾽ Οὐλύμποιο κατήλθομεν ἀντιόωντες 125
‘ Τῆσδε μάχης, ἵνα μή τι μετὰ Τρώεσσι πάθῃσι
‘ Σήμερον· ὕστερον αὖτε τὰ πείσεται, ἄσσα οἱ αἴσα
‘ Γεινομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκε μήτηρ.
‘ Εἰ δ᾽ Ἀχιλεὺς οὐ ταῦτα θεῶν ἐκπεύσεται ὀμφῆς,
‘ Δείσετ᾽ ἔπειθ᾽, ὅτε κέν τις ἐναντίβιον θεὸς ἔλθῃ 130
‘ Ἐν πολέμῳ· χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς.’
Τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα Ποσειδάων ἐνοσίχθων·
‘ Ἥρη, μὴ χαλέπαινε παρὲκ νόον· ἠδέ τί σε χρή.
‘ Οὐκ ἂν ἔγωγ᾽ ἐθέλοιμι θεὺς ἔριδι ξυνελάσσαι
‘ Ἡμέας τοὺς ἄλλους, ἐπεὶ πολὺ φέρτεροι ἦμεν· 135
‘ Ἀλλ᾽ ἡμεῖς μὲν ἔπειτα καθεζώμεσθα κιόντες
‘ Ἐκ πάτου ἐς σκοπιὴν, πόλεμος δ᾽ ἀνδρεσσι μελήσει.
‘ Εἰ δέ κ᾽ Ἄρης ἄρχῃσι μάχης, ἢ Φοῖβος Ἀπόλλων,
‘ Ἢ Ἀχιλῆ᾽ ἴσχωσι, καὶ οὐκ ἐάσωσι μάχεσθαι,
‘ Αὐτίκ᾽ ἔπειτα καὶ ἄμμι παρ᾽ αὐτόφι νεῖκος ὀρεῖται 140
‘ Φυλόπιδος· μάλα δ᾽ ὦκα διακρινθέντας ὀίω
‘ Ἂψ ἴμεν Οὐλυμπόνδε, θεῶν μεθ᾽ ὁμήγυριν ἄλλων,
‘ Ἡμετέρῃς ὑπὸ χερσὶν ἀνάγκῃ ἶφι δαμέντας.’
Ὣς ἄρα φωνήσας ἡγήσατο Κυανοχαίτης
Τεῖχος ἐς ἀμφίχυτον Ἡρακλῆος θείοιο, 145

128. ΕΠΕ. Ἐπέκλωσεν.

129. ΕΙ. Εἰ δὲ Ἀχιλλεὺς σὸκ ἀκύσεται ἐκ τ᾽ θείας φωνῆς· τοῦτ᾽ ἔστιν, ὑμῶν αὐτῶν. ΟΜ. Κληδόνος.

130. ΔΕΙ. Φοβηθήσεται.

131. ΧΑ. Χαλεποὶ δὲ καὶ δεινοὶ εἰ θεοὶ φανεροὶ φαινόμενοι τοῖς ἀνθρώποις.

133. ΠΑ. Παρὰ γνώμην, ἀνοήτως.

137. ΠΑ. Ἔκτοθεν τῆς κοινῆς ὁδοῦ· τοῦτ᾽ ἔστι, τ᾽ συναναστροφῆς. Ἐκ τ᾽ πεπατημένης ὁδοῦ εἰς τόπον σκοπιὰν ἔχοντα· λέγει τὸ Ἡρακλέους χῶμα.

140. ΑΥ. Ἴν᾽ ᾖ, διειρεθήσεται, κωτηθήσεται· εὐθέως οὖν φησὶ καὶ ἡμῖν αὐτοῖς φιλονεικία καὶ μάχη γενήσεται.

142. ΟΜΗ. Ἄθροισιν.

145. ΑΜΦ. Τὸ πανταχόθεν περιπεχυμένον κύκλῳ, πολλῷ τῷ χώματι εἰς ὕψος, τὸ καὶ χωσὸν λεγόμενον, ὃ κατεσκεύασαν οἱ Τρῶες. ΤΕΙ. Ποσειδῶν καὶ Ἀπόλλων, προσάξαντος Διὸς Λαομέδοντι θητεῦσαι ἐπὶ μισθῷ τεταγμένῳ, τὸ τεῖχος κατασκευάζουσι. Λαομέδων δὲ, παραβὰς τοὺς ὅρκους καὶ τὰς συνθήκας, μὴ δοὺς τ᾽ μισθὸν, ἀπήλασεν αὐτούς· ἀγανακτήσας δὲ Ποσειδῶν ἔπεμψε τῇ χώρᾳ κῆτος.

Ὕψηλὸν, τό ῥά οἱ Τρῶες καὶ Παλλὰς Ἀθήνη
Πάσεον, ὄφρα τὸ κῆτος ὑπεκπροφυγὼν ἀλέοιτο,
Ὁππότε μιν σεύαιτο ἀπ' ἠϊόνος πεδίονδε.
Ἔνθα Ποσειδάων κατ' ἄρ' ἕζετο, καὶ θεοὶ ἄλλοι,
Ἀμφὶ δ' ἄρ' ἄρρηκτον νεφέλην ὤμοισιν ἔσαντο· 150
Οἱ δ' ἑτέρωσε κάθιζον ἐπ' ὀφρύσι Καλλικολώνης,
Ἀμφὶ σὲ, ἥϊε Φοῖβε, καὶ Ἄρηα πτολίπορθον.
Ὣς οἱ μὲν ῥ' ἑκάτερθε καθέατο μητιόωντες
Βυλάς· ἀρχέμεναι δὲ δυσηλεγέος πολέμοιο
Ὤκνεον ἀμφότεροι· Ζεὺς δ' ἥμενος ὕψι κέλευε. 155
Τῶν δ' ἅπαν ἐπλήθη πεδίον, καὶ ἐλάμπετο χαλκῷ
Ἀνδρῶν ἠδ' ἵππων· κάρκαιρε δὲ γαῖα πόδεσσιν
Ὀρνυμένων ἄμυδις· δύο δ' ἀνέρε ἔξοχ' ἄριστοι
Ἐς μέσον ἀμφοτέρων συνίτην, μεμαῶτε μάχεσθαι,
Αἰνείας τ' Ἀγχισιάδης, καὶ δῖος Ἀχιλλεύς. 160
Αἰνείας δὲ πρῶτος ἀπειλήσας ἐβεβήκει,
Νευστάζων κόρυθι βριαρῇ· ἀτὰρ ἀσπίδα θῦριν
Πρόσθεν ἔχε στέρνοιο, τίνασσε δὲ χάλκεον ἔγχος.

ὃ τός τε παραλυγχάνοντας ἀνθρώπους, καὶ τὰς γιγνομένας καρπὰς, διέφθειρε· μαντευομένῳ δὲ τῷ Λαομέδοντι χρησμὸς ἐδόθη, Ἡσιόνην, τὴν θυγατέρα Λαομέδοντος, βορὰν ἐκδοῦναι, καὶ ὅτως ἀπαλλαγήσεσθαι τοῦ δεινοῦ· προθεὶς δὲ ἐκεῖνος τὴν θυγατέρα, μισθὸν ἐκήρυξε τῷ τὸ κῆτος ἀνελόντι τοὺς ἀθανάτους ἵππους δώσειν, οὓς Τρωῒ Ζεὺς ἀντὶ Γανυμήδους ἔδωκεν. Ἡρακλῆς δὲ παραγενόμενος, ὑπέσχετο τὸν ἆθλον κατορθώσειν, καὶ Ἀθηνᾶς αὐτῷ πρόβλημα ποιησάσης τὸ καλούμενον ἀμφίχυτον τεῖχος, εἰσδὺς διὰ τοῦ στόματος εἰς τὴν κοιλίαν τοῦ κήτους τὰς λαγόνας διέφθειρεν· ὁ δὲ Λαομέδων ὑπαλλάξας, θνητοὺς δίδωσιν ἵππους· μαθὼν δὲ Ἡρακλῆς ἐστράτευσε, καὶ Ἴλιον ἐπόρθησε, καὶ ὅτως ἔλαβε τοὺς ἵππους· ἡ ἱστορία παρὰ Ἑλλανίκῳ.

147. ΑΛΕ. Ἐκκλίνοι, φυλάξοιτο.

148. ΣΕΥ. Κατεπείγεῖο διωκόμενος. ΗΙ. Ἀπὸ τοῦ αἰγιαλοῦ.

150. ΑΡ. Ἄπρακτον.

151. ΟΦΡΥ. Ἐξοχαῖς· μεταφορικῶς.

152. ΗΙΕ. Ἄπολλον τοξικὲ, ἀπὸ τοῦ ἱέναι.

153. ΕΚΑ. Κεχωρισμένως. ΚΑ. Ἐκαθίζοντο. ΜΗ. Βουλευόμενοι.

154. ΔΥ. Δεινοῦ, χαλεποῦ, δυσκόλου.

155. ΩΚ. Ὤκνουν.

156. ΕΠΛΗΣ. Ἐπληρώθη.

157. ΚΑΡ. Ἐκινεῖτο, ἤχει· ὀνοματοποιία, ὁ τρόπος.

162. ΝΕΥ. Ἐπινεύων τῇ περικεφαλαίᾳ. ΒΡΙ. Στιβαρῇ, ἀσφαλεῖ. ΘΟΥ. Πολεμικήν.

Πηλείδης δ' ἑτέρωθεν ἐναντίον ὦρτο, λέων ὣς
Σίντης, ὅντε κ' ἄνδρες ἀποκτάμεναι μεμάασιν, 165
Ἀγρόμενοι, πᾶς δῆμος· ὁ δὲ πρῶτον μὲν ἀτίζων
Ἔρχεται, ἀλλ' ὅτε κέν τις ἀρηϊθόων αἰζηῶν
Δεξὶ βάλῃ, ἐάλη τε χανὼν, περί τ' ἀφρὸς ὀδόντας
Γίγνεται, ἐν δέ τέ οἱ κραδίη στένει ἄλκιμον ἦτορ,
Οὐρῇ δὲ πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν 170
Μαστίεται, ἔε δ' αὐτὸν ἐποτρύνει μαχέσασθαι·
Γλαυκιόων δ' ἰθὺς φέρεται μένει, ἤν τινα πέφνῃ
Ἀνδρῶν, ἢ αὐτὸς φθίεται πρώτῳ ἐν ὁμίλῳ·
Ὣς Ἀχιλῆ' ὤτρυνε μένος κ' θυμὸς ἀγήνωρ
Ἀντίον ἐλθέμεναι μεγαλήτορος Αἰνείαο. 175
Οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Τὸν πρότερος προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
"Αἰνεία, τί σὺ, τόσσον ὁμίλε πολλὸν ἐπελθὼν,
"Ἔστης; ἦ σέ γε θυμὸς ἐμοὶ μαχέσασθαι ἀνώγει,
"Ἐλπόμενον Τρώεσσιν ἀνάξειν ἱπποδάμοισι 180
"Τιμῆς τῆς Πριάμε; ἀτὰρ εἴ κεν ἐμ' ἐξεναρίζῃς,
"Οὔτοι τέκνα γε Πρίαμος γέρας ἐν χερὶ θήσει·
"Εἰσὶ γάρ οἱ παῖδες· ὁ δὲ ἔμπεδος, ἠδ' ἀεσίφρων.
"Ἦ νύ τί τοι Τρῶες τέμενος τάμον, ἔξοχον ἄλλων,
"Καλὸν φυταλιῆς κ' ἀρούρης, ὄφρα νέμηαι, 185

165. ΣΙΝ. Βλαπτικὸς, κακοῦργος.
166. ΔΗ. Ἐν σχήματι περιφραστικῷ, ἀντὶ ᾧ, οἱ δημόται. ΑΤΙ. Ἀτιμάζων.
167. ΑΡΗ. Ἐν τῷ πολέμῳ εὐκινήτων.
168. ΕΑ. Συνεστράφη, εἰλήθη.
169. ΣΤΕ. Στενάζει, ἢ στενοχωρεῖται.
170. ΟΥ. Τῇ οὐρᾷ μαστίζει ἑαυτὸν, φασὶν, ὁ λέων, οὕτως εἰωθώς· ἔχει δέ τι ἐν τῇ οὐρᾷ ἀναμίσον τῶν τριχῶν κεντρίον μίλαν, ὡς κερατίον· ὑφ' οὗ νυττόμενος, πλέον ἀγριοῦται ἐκ τῆς ὀδύνης.
171. ΕΕ. Ἀντὶ τοῦ, αὐτὸς δὲ ἑαυτὸν ἀγριοῦσθαι ποιεῖ.
172. ΓΛΑΥ. Πυῤῥῶδες καὶ φοβερὸν βλέπων· ἀφ' οὗ ἀγριούμενος.
173. ΦΘΙ. Φθείρεται.
181. ΤΙ. Ἕνεκεν τῆς βασιλείας· ἀντιφέρει δὲ, Οὔτοι τέκνα Πρίαμος γέρας.
183. ΑΕ. Οὐ δὲ κῦφος, κ' ματαιόφρων τὸ φρόνημα.

Αἴ κεν ἐμὲ κτείνῃς; χαλεπῶς δέ σ' ἔολπα τὸ ῥέζειν.
Ἤδη μέν σέ γε, φημὶ, καὶ ἄλλοτε δυρὶ φόβησα.
Ἦ οὐ μέμνῃ, ὅτε πέρ σε βοῶν ἄπο μοῦνον ἐόντα
Σεῦα κατ' Ἰδαίων ὀρέων ταχέεσσι πόδεσσι
Καρπαλίμως; τότε δ' ἔτι μετατροπαλίζεο φεύγων· 190
Ἔνθεν δ' ἐς Λυρνησσὸν ὑπέκφυγες· αὐτὰρ ἐγὼ τὴν
Πέρσα, μεθορμηθεὶς σὺν Ἀθήνῃ καὶ Διὶ πατρί·
Λῃϊάδας δὲ γυναῖκας, ἐλεύθερον ἦμαρ ἀπούρας,
Ἦγον· ἀτάρ σε Ζεὺς ἐρρύσατο, καὶ θεοὶ ἄλλοι.
Ἀλλ' οὐ νῦν σ' ἐρύεσθαι ὀΐομαι, ὡς ἐνὶ θυμῷ 195
Βάλλεαι· ἀλλά σ' ἔγωγ' ἀναχωρήσαντα κελεύω
Ἐς πληθὺν ἰέναι, μηδ' ἀντίος ἵσασ' ἐμεῖο,
Πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιος ἔγνω.'
Τὸν δ' αὖτ' Αἰνείας ἀπαμείβετο, φώνησέν τε·
Πηλείδη, μὴ δή μ' ἐπέεσσί γε, νηπύτιον ὡς, 200
Ἔλπεο δειδίξεσθαι· ἐπεὶ σάφα οἶδα καὶ αὐτὸς
Ἡμὲν κερτομίας ἠδ' αἴσυλα μυθήσασθαι.
Ἴδμεν δ' ἀλλήλων γενεὴν, ἴδμεν δὲ τοκῆας,
Πρόκλυτ' ἀκούοντες ἔπεα θνητῶν ἀνθρώπων·
Ὄψει δ' ἔτ' ἄρ πω σὺ ἐμοὺς ἴδες, ἔτ' ἄρ' ἐγὼ σούς. 205
Φασί σε μὲν Πηλῆος ἀμύμονος ἔκγονον εἶναι,
Μητρὸς δ' ἐκ Θέτιδος, καλλιπλοκάμου ἁλοσύδνης·
Αὐτὰρ ἐγὼν υἱὸς μεγαλήτορος Ἀγχίσαο

186. ΧΑ. Δυσκόλως. ΕΟΛ. Ἐλπίζω.
189. ΣΕΥ. Ἐδίωξα.
190. ΜΕΤ. Οὐδὲ ἐπεστρέφου.
193. ΛΗΙ. Τὰς ἐκ τῆς λείας αἰχμαλώτους.
195. ΩΣ. Ὡς κατὰ διάνοιαν ἐνοῦσῃ.
200. ΝΗ. Νήπιον, ἄφρονα.
201. ΕΛ. Ἔλπιζε. ΔΕΙ. Εἰς δέος ἄξειν, φοβηθῆναι.
202. ΚΕΡ. Ἐριθευτικοὺς καὶ χλευαστικοὺς λόγους.
204. ΠΡΟ. Τὰ ὑπὸ τῶν προτέρων προφημισμένα· παλαιά.
205. ΟΥΕΙ. Ὀφθαλμοῖς.
207. ΑΛΟ. Ἁλιάς θεοῦ, ἐν θαλάσσῃ κατοικοῦσας.

Εὔχομαι ἐκγεγάμεν, μήτηρ δέ μοί ἐς Ἀφροδίτη.
Τῶν δὴ νῦν ἕτεροί γε φίλον παῖδα κλαύσονται 210
Σήμερον· οὐ γάρ φημ' ἐπέεσσί γε νηπυτίοισιν
Ὧδε διακρινθέντε, μάχης ἐξ ἀπονέεσθαι.
Εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι, ὄφρ' εὖ εἰδῆς
Ἡμετέρην γενεὴν, πολλοὶ δέ μιν ἄνδρες ἴσασι·
Δάρδανον αὖ πρῶτον τέκετο νεφεληγερέτα Ζεύς· 215
Κτίσσε δὲ Δαρδανίην, ἐπεὶ ἔπω Ἴλιος ἱρὴ
Ἐν πεδίῳ πεπόλισο, πόλις μερόπων ἀνθρώπων,
Ἀλλ' ἔθ' ὑπωρείας ᾤκεον πολυπιδάκου Ἴδης.
Δάρδανος αὖ τέκεθ' υἱὸν Ἐριχθόνιον βασιλῆα,
Ὃς δὴ ἀφνειότατος γένετο θνητῶν ἀνθρώπων· 220
Τοῦ τριχίλιαι ἵπποι ἕλος κάτα βουκολέοντο
Θήλειαι, πώλοισιν ἀγαλλόμεναι ἀταλῇσι·
Τάων καὶ Βορέης ἠράσσατο βοσκομενάων,
Ἵππῳ δ' εἰσάμενος παρελέξατο κυανοχαίτῃ·
Αἱ δ' ὑποκυσσάμεναι ἔτεκον δυοκαίδεκα πώλους· 225
Αἱ δ' ὅτε μὲν σκιρτῷεν ἐπὶ ζείδωρον ἄρουραν,
Ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέον, οὐδὲ κατέκλων·

209. ΕΚ. Γεγονέναι.

211. ΣΗ. Ὑπερβολικῶς εἴρηκε τὸ σήμερον. Πῶς γὰρ ἔμελλεν ὁ ἐν Φθίᾳ ὢν ἀκούεσθαι; ἢ λείπει τὸ, αἰωνιζόμενα.

212. ΩΔΕ. Οὕτως, νῦν.

215. ΔΑΡ. Τὸ Δαρδάνου γένος δηλονότι πρῶτον ἐποιήσατο ὁ Ζεύς. Δάρδανος, ὁ Διὸς καὶ Ἠλέκτρας τῆς Ἄτλαντος θυγατρὸς, διὰ τὴν Σαμοθράκην, ἐπομβρίας γενομένης, καίασκευάσας σχεδίαν, καὶ ἀσκὸν ἑαυτῷ περιθεὶς, διεκομίσθη εἰς τὴν Ἴδην τῆς Τροάδος· καὶ ἀποβὰς, Διὸς ὑποθεμένου, κτίζει πόλιν· ἣν καὶ ἀφ' ἑαυτοῦ Δαρδανίαν ἐκάλεσεν. Ἱστορεῖ Λυκόφρων.

216. ΔΑΡ. Πόλιν Τροίας.

217. ΠΕ. Ἔκτισο.

218. ΥΠΩ. Τὰ κάτω μέρη τῶν ὀρῶν.

222. ΑΤΑ. Ἀπαλαῖς, νέαις.

223. ΤΑ. Λείπει ἡ ἐκ, πρόθεσις, ἵν' ᾖ, ἐκ τούτων, οὐ γὰρ πασῶν ἠράσθη.

224. ΚΥΑ. Μελαίναις τρίχας ἔχοντι.

225. ΥΠΟ. Ἔγκυοι γενόμεναι.

227. ΑΝΘ. Νῦν, τὸ ἐν τοῖς ταχυσι λεπτῶν ἀθέρων. Ἐλαφρῶς οὖν, φησὶν, ἄνωθεν αὐτῶν διέτρεχον· ὁμοίως καὶ ἐπὶ τῶν κυμάτων ἐπιφανείας, μὴ βαπτιζόμεναι τῷ ὕδατι· κυρίως δὲ ἀνθέριξ καλεῖται, ὁ τοῦ ἀσφοδέλου καυλός· ἔστι δὲ φυτὸν λαχανῶδες.

ἀλλ' ὅτε δὴ σκιρτῶεν ἐπ' εὐρέα νῶτα θαλάσσης,
Ἄκρον ἐπὶ ῥηγμῖνος ἁλὸς πολιοῖο θέεσκον.
Τρῶα δ' Ἐριχθόνιος τέκετο Τρώεσσιν ἄνακτα· 230
Τρῶς δ' αὖ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο,
Ἶλός τ', Ἀσσάρακός τε, καὶ ἀντίθεος Γανυμήδης,
Ὃς δὴ κάλλιστος γένετο θνητῶν ἀνθρώπων·
Τὸν καὶ ἀνηρέψαντο θεοὶ Διΐ οἰνοχοεύειν,
Κάλλεος εἵνεκα οἷο, ἵν' ἀθανάτοισι μετείη. 235
Ἶλος δ' αὖ τέκεθ' υἱὸν ἀμύμονα Λαομέδοντα·
Λαομέδων δ' ἄρα Τιθωνὸν τέκετο, Πρίαμόν τε,
Λάμπον τε, Κλυτίον θ', Ἱκετάονά τ', ὄζον Ἄρηος·
Ἀσσάρακος δὲ Κάπυν· ὁ δ' ἄρ' Ἀγχίσην τέκε παῖδα·
Αὐτὰρ ἔμ' Ἀγχίσης, Πρίαμος δ' ἔτεχ' Ἕκτορα δῖον. 240
Ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι.
Ζεὺς δ' ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε, μινύθει τε,
Ὅππως κεν ἐθέλῃσιν· ὃ γὰρ κάρτιστος ἁπάντων.
Ἀλλ' ἄγε μηκέτι ταῦτα λεγώμεθα, νηπύτιοι ὡς,
Ἑστάτ' ἐν μέσσῃ ὑσμίνῃ δηϊοτῆτος. 245
Ἔστι γὰρ ἀμφοτέροισιν ὀνείδεα μυθήσασθαι
Πολλὰ μάλ'· ἐπεὶ ἂν νῆας ἑκατόνζυγος ἄχθος ἄροιτο.
Στρεπτὴ δὲ γλῶσσ' ἐστὶ βροτῶν, πολέες δ' ἔνι μῦθοι,
Παντοῖοι· ἐπέων δὲ πολὺς νόμος ἔνθα καὶ ἔνθα.
Ὁπποῖόν κ' εἴπῃθα ἔπος, τοῖόν κ' ἐπακούσαις. 250
Ἀλλὰ τίη ἔριδας καὶ νείκεα νῶϊν ἀνάγκη

234. ΑΝΗ. Ἀνήρπασαν.
235. ΚΑΛ. Διὰ τὸ ἴδιον αὐτῷ κάλλος.
242. ΑΡΕ. Εὐδαιμονίαν, ἀνδρίαν. ΜΙ. Φθείρει.
244. ΛΕ. Διαλεγώμεθα. ΝΗ. Ὡς νήπιοι, καὶ ἄφρονες.
247. ΕΚΑ. Ὑπὸ ἑκατὸν ἐρετῶν ἐλαυνομένη. Ζυγὰ γὰρ, αἱ τῶν ἐρισσόντων καθίδραι. ΑΧ. Φορτίον, βάρος. ΑΡΟΙ. Λάβοι, κτήσαιτο.
248. ΣΤΡΕΠ. Εὐκίνητος, μεταβολὰς πολλὰς ἔχουσα.
249. ΝΟ. Νομὴ, διάταξις.
251. ΕΡΙ. Φιλονεικίας. ΝΕΙ. Νεῖκη, ὀνείδη, λόγοι.

‘ Νεικεῖν ἀλλήλοισιν ἐναντίον, ὥστε γυναῖκας,
‘ Αἵτε χολωσάμεναι ἔριδος περὶ θυμοβόροιο
‘ Νεικεῦσ᾽ ἀλλήλῃσι μέσην ἐς ἀγυιὰν ἰοῦσαι,
‘ Πόλλ᾽ ἔτεά τε καὶ ἠνί᾽ χόλος δέ τε καὶ τὰ κελεύει. 255
‘ Ἀλκῆς δ᾽ οὔ μ᾽ ἐπέεσσιν ἀποτρέψεις μεμαῶτα,
‘ Πρὶν χαλκῷ μαχέσασθαι ἐναντίον· ἀλλ᾽ ἄγε, θᾶσσον
‘ Γευσόμεθ᾽ ἀλλήλων χαλκηρεσὶν ἐγχείῃσιν.’
Ἦ ῥα, καὶ ἐν δεινῷ σάκει ἤλασε χάλκεον ἔγχος,
Σμερδαλέῳ· μέγα δ᾽ ἀμφὶ σάκος μύκε δουρὸς ἀκωκῇ. 260
Πηλείδης δὲ σάκος μὲν ἀπὸ ἔο χειρὶ παχείῃ
Ἔχετο, ταρβήσας· φάτο γὰρ δολιχόσκιον ἔγχος
Ῥεῖα δ᾽ ἐλεύσεσθαι μεγαλήτορος Αἰνείαο·
Νήπιος, ἠδ᾽ ἐνόησε κατὰ φρένα καὶ κατὰ θυμόν,
Ὡς οὐ ῥηϊδίη ἐστὶ θεῶν ἐρικυδέα δῶρα 265
Ἀνδράσι γε θνητοῖσι δαμήμεναι, ἠδ᾽ ὑποείκειν.
Οὐδὲ τότ᾽ Αἰνείαο δαΐφρονος ὄβριμον ἔγχος
Ῥῆξε σάκος· χρυσὸς γὰρ ἐρύκακε, δῶρα θεοῖο·
Ἀλλὰ δύω μὲν ἔλασσε διὰ πλύχας, αἱ δ᾽ ἄρ᾽ ἔτι τρεῖς
Ἦσαν· ἐπεὶ πέντε πτύχας ἤλασε Κυλλοποδίων, 270
Τὰς δύο χαλκείας, δύο δ᾽ ἔνθεν κασσιτέροιο,

253. ΧΟ. Ὀργισθεῖσαι.

254. ΝΕΙ. Φιλονεικοῦσι, λοιδοροῦσι. ΑΓ. Εἰς μέσον τὸ ἄμφοδον προιλθοῦσαι.

255. ΠΟΛ. Πολλὰ καὶ ἀληθῆ καὶ ψευδῆ.

258. ΓΕΥ. Ἀντὶ τοῦ, ἀψώμεθα· ὅ ἐστιν, ἀπόπειραν ληψώμεθα τῆς ἀλλήλων δυνάμεως· εἴρηται δὲ μεταφορικῶς.

260. ΜΥ. Ἐψόφησεν· ἡ μεταφορὰ ἀπὸ τῆς φωνῆς.

269. ΑΛ. Ἕως τοῦ, Τῇ ῥ᾽ ἔχετο χάλκεον ἔγχος. Ἀτρώτων ὑπαρχόντων παρ᾽ Ὁμήρῳ τῶν Ἀχιλλέως ὅπλων, ἐξωθεν κατ᾽ ἰνίους τεταμμένης διὰ πλείονα κόσμον τῆς χρυσῆς πλυχὸς, ὥστε ἀποδοτέον τὸν λόγον· ἀλλὰ μέχρι μὲν δύω πλυχῶν προῆλθεν ἡ τοῦ ἔγχους ἐνέργεια, εἴξεως καὶ οἱονεὶ συνιζήσεως γενομένης· ἐπὶ δὲ τῇ τρίτῃ ἐπεχέθη· πῶς φησιν ἄτρωτον ὑποστησάμενος τὴν ἀσπίδα οὖν τοῦτο λέγει; ῥητέον οὖν, ὅτι ὁ χρυσὸς, ὢν μαλθακώτερος χαλκοῦ καὶ σιδήρου, ἐνέδωκε τῷ δόρατι καὶ ἐκοιλάνθη, καὶ ἐγένετο κοιλότης καὶ οὐ τρῶσις.

270. ΠΤΥ. Τὰ ἐλάσματα τῆς ἀσπίδος. ΗΛΑ. Ἔπληξεν, ἔτρωσεν. ΚΥΛ. Χωλός· λέγει δὲ τὸν Ἥφαιστον.

Τὴν δὲ μίαν χρυσῆν· τῇ ῥ' ἔχετο χάλκεον ἔγχος.
Δεύτερος αὖτ' Ἀχιλεὺς ὠρόμει δολιχόσκιον ἔγχος,
Καὶ βάλεν Αἰνείαο κατ' ἀσπίδα πάντοσε ἴσην,
Ἄντυγ' ὕπο πρώτην, ᾗ λεπτότατος θέε χαλκός· 275
Λεπτοτάτη δ' ἐπέην ῥινὸς βοός· ἡ δὲ διὰ πρὸ
Πηλιὰς ἤϊξεν μελίη, λάκε δ' ἀσπὶς ὑπ' αὐτῆς.
Αἰνείας δ' ἐάλη, καὶ ἀπὸ ἕθεν ἀσπίδ' ἀνέσχε
Δείσας· ἐγχείη δ' ἄρ' ὑπὲρ νώτου ἐνὶ γαίῃ
Ἔστη ἰεμένη, διὰ δ' ἀμφοτέρους ἕλε κύκλους 280
Ἀσπίδος ἀμφιβρότης· ὁ δ', ἀλευάμενος δόρυ μακρὸν,
Ἔστη, κάδδ' ἄχος οἱ χύτο μυρίον ὀφθαλμοῖσι,
Ταρβήσας, ὅ οἱ ἄγχι πάγη βέλος· αὐτὰρ Ἀχιλλεὺς
Ἐμμεμαὼς ἐπόρουσεν, ἐρυσσάμενος ξίφος ὀξὺ,
Σμερδαλέα ἰάχων· ὁ δὲ χερμάδιον λάβε χειρὶ 285
Αἰνείας, μέγα ἔργον, ὃ οὐ δύο γ' ἄνδρε φέροιεν,
Οἷοι νῦν βροτοί εἰσ'· ὁ δέ μιν ῥέα πάλλε καὶ οἶος.
Ἔνθα κεν Αἰνείας μὲν ἐπισσύμενον βάλε πέτρῳ,
Ἢ κόρυθ', ἠὲ σάκος, τό οἱ ἤρκεσε λυγρὸν ὄλεθρον·
Τὸν δέ κε Πηλείδης κεδὸν ἄορι θυμὸν ἀπηύρα, 290
Εἰ μὴ ἄρ' ὀξὺ νόησε Ποσειδάων ἐνοσίχθων·
Αὐτίκα δ' ἀθανάτοισι θεοῖς μετὰ μῦθον ἔειπεν·
Ὦ πόποι, ἦ μοι ἄχος μεγαλήτορος Αἰνείαο,
Ὃς τάχα Πηλέωνι δαμεὶς Ἀϊδόσδε κάτεισι,
Πειθόμενος μύθοισιν Ἀπόλλωνος ἑκάτοιο, 295
Νήπιος· οὐδέ τί οἱ χραισμήσει λυγρὸν ὄλεθρον.

272. ΕΣ. Ἐπιχέθη.
275. ΑΝ. Κατὰ τὸν ἔξωθεν κύκλον τῆς ἀσπίδος. ΛΕΠ. Καθ' ὃ μέρος τῇ ἀσπίδι λεπτότατος περιέκειτο χαλκός.
277. ΛΑ. Ἐψόφησεν, ἤχησεν, ἢ διεκόπη, ὡς καὶ ἐν τοῖς ἱματίοις, λακίδες λέγονται αἱ ῥαγοπαί.
278. ΕΑ. Συνεράλη.
280. ΙΕ. Προθυμουμένη, ἱπογομένη. ΔΙΑ. Διείλεν, ἔκοψεν.
282. ΧΥ. Περιεχύθη.
289. ΗΡ. Ἐδοάθησεν, ὠφέλησεν.
294. ΠΗ. Ὑπὸ Ἀχιλλέως ἀναιρεθείς.

‘ Ἀλλὰ τίη νῦν ἧτος ἀναίτιος ἄλγεα πάσχει;
‘ Μάψ ἕνεκ' ἀλλοτρίων ἀχέων; κεχαρισμένα δ' αἰεὶ
‘ Δῶρα θεοῖσι δίδωσι, τοὶ ἠρανὸν εὐρὺν ἔχουσιν;
‘ Ἀλλ' ἄγεθ', ἡμεῖς πέρ μιν ὑπ' ἐκ θανάτου ἀγάγωμεν, 300
‘ Μήπως καὶ Κρονίδης κεχολώσεται, αἴ κεν Ἀχιλλεὺς
‘ Τόνδε κατακτείνῃ· μόριμον δέ οἱ ἐς' ἀλέασθαι,
‘ Ὄφρα μὴ ἄσπερμος γενεὴ καὶ ἄφαντος ὄληται
‘ Δαρδάνου, ὃν Κρονίδης περὶ πάντων φίλατο παίδων,
‘ Οἳ ἔθεν ἐξεγένοντο, γυναικῶν τε θνητάων. 305
‘ Ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρονίων·
‘ Νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει,
‘ Καὶ παῖδες παίδων, τοί κεν μετόπισθε γένωνται.'
Τὸν δ' ἠμείβετ' ἔπεια βοῶπις πότνια Ἥρη·
‘ Ἐννοσίγαι', αὐτὸς σὺ μετὰ φρεσὶ σῇσι νόησον 310
‘ Αἰνείαν, ἤ κέν μιν ἐρύσσεαι, ἤ κεν ἐάσεις
‘ Πηλείδῃ Ἀχιλῆϊ δαμήμεναι, ἐσθλὸν ἐόντα.
‘ Ἤτοι μὲν δὴ νῶϊ πολεῖς ὠμόσσαμεν ὅρκους
‘ Πᾶσι μετ' ἀθανάτοισιν, ἐγὼ καὶ Παλλὰς Ἀθήνη,
‘ Μήποτ' ἐπὶ Τρώεσσιν ἀλεξήσειν κακὸν ἦμαρ, 315
‘ Μηδ' ὁπόταν Τροίη μαλερῷ πυρὶ πᾶσα δάηται
‘ Δαιομένη, δαίωσι δ' ἀρήϊοι υἷες Ἀχαιῶν.'
Αὐτὰρ ἐπεὶ τόγ' ἄκουσε Ποσειδάων ἐνοσίχθων,
Βῆ ῥ' ἴμεν ἄν τε μάχην καὶ ἀνὰ κλόνον ἐγχεσιάων·

302. ΜΟΡ. Εἱμαρμένον, μεμοιραμένον. ΑΛΕ. Ἐκκλῖναι, διασωθῆναι.

303. ΑΣ. Ἄτεκνος, ἄγονος.

304. ΦΙ. Ἐφίλησε.

307. ΑΙΝ. Ἀφροδίτη χρησμῷ ἐκπεσόντος, ὅτι τῆς Πριαμιδῶν ἀρχῆς καταλυθείσης, οἱ ἀπ' Ἀγχίσου Τρῶων βασιλεύσουσιν, Ἀγχίση ἤδη παρηκμακότι συνῆλθεν· τεκοῦσα δ' Αἰνειαν, καὶ βουλομένη προφάσιν κατασκευάσαι τῆς τῶν Πριαμιδῶν καταλύσεως, Ἀλεξάνδρου πόθον Ἑλένης ἐνέβαλε, καὶ μετὰ τὴν ἁρπαγὴν τῷ μὲν δοκεῖν συνεμάχει τοῖς Τρωσὶ, ταῖς δὲ ἀληθείαις, παρηγόρει τὴν ἥτταν αὐτῶν, ἵνα μὴ παντελῶς ἀπελπίσαντες, ἀποδῶσι τὴν Ἑλένην· ἱστορεῖ Ἀκουσίλαος.

311. ΕΡΥΣ. Ῥύσῃ, σώσεις.

313. ΠΟ. Πολλές.

Ἶξε δ', ὄθ' Αἰνείας, ἠδ' ὁ κλυτὸς ἦεν Ἀχιλλεύς. 320
Αὐτίκα τῷ μὲν ἔπειτα κατ' ὀφθαλμῶν χέεν ἀχλὺν,
Πηλείδῃ Ἀχιλῆϊ· ὁ δὲ μελίην εὔχαλκον
Ἀσπίδος ἐξέρυσεν μεγαλήτορος Αἰνείαο·
Καὶ τὴν μὲν προπάροιθε ποδῶν Ἀχιλῆος ἔθηκεν,
Αἰνείαν δ' ἐπέσευεν ἀπὸ χθονὸς ὑψόσ' ἀείρας· 325
Πολλὰς δὲ ῥίχας ἡρώων, πολλὰς δὲ καὶ ἵππων
Αἰνείας ὑπεράλτο, θεὸς ἀπὸ χειρὸς ὀρέξας·
Ἶξε δ' ἐπ' ἐσχατιὴν πολυάϊκος πολέμοιο,
Ἔνθα δὲ Καύκωνες πόλεμον μεταθωρήσσοντο·
Τῷ δὲ μάλ' ἐγγύθεν ἦλθε Ποσειδάων ἐνοσίχθων, 330
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
« Αἰνεία, τίς σ' ὧδε θεῶν ἀτέοντα κελεύει
« Ἀντί' Ἀχιλλῆος πολεμίζειν ἠδὲ μάχεσθαι,
« Ὅς σευ ἄμα κρείσσων, καὶ φίλτερος ἀθανάτοισιν;
« Ἀλλ' ἀναχωρήσαι, ὅτε κεν συμβλήσεαι αὐτῷ, 335
« Μὴ καὶ ὑπὲρ μοῖραν δόμον Ἄϊδος εἰσαφίκηαι·
« Αὐτὰρ ἐπεί κ' Ἀχιλεὺς θάνατον καὶ πότμον ἐπίσπῃ,
« Θαρσήσας δὴ ἔπειτα μετὰ πρώτοισι μάχεσθαι·
« Οὐ μὲν γάρ τίς σ' ἄλλος Ἀχαιῶν ἐξεναρίζει.
Ὣς εἰπὼν, λίπεν αὐτόθ', ἐπεὶ διεπέφραδε πάντα. 340
Αἶψα δ' ἔπειτ' Ἀχιλῆος ἀπ' ὀφθαλμῶν σκέδασ' ἀχλὺν
Θεσπεσίην· ὁ δ' ἔπειτα μεγ' ἔξιδεν ὀφθαλμοῖσιν·
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
« Ὦ πόποι, ἦ μέγα θαῦμα τόδ', ὀφθαλμοῖσιν ὁρῶμαι·

325. ΕΠΕ. Ὥρμησεν, ἐδίωξε.

329. ΚΑΥ. Οἱ μὲν, Τρωϊκὸν ἔθνος βάρβαρον· ἄλλοι δὲ, Παφλαγονίας· οἱ δὲ, τοὺς ἐπίκλην Καυκανίους· ἡ δὲ Καύκασος, πόλις παράλιος Λυκίας καὶ Καρίας· ἐζήτηται δὲ, πῶς τὸν Αἰνείαν σῶν Ἀπόλλων ἐρύσατο, ἀλλὰ Ποσειδῶν· καὶ φασὶν, ὅτι ἡ μεγάλη περὶ θεὸς εὐσέβεια δυσωποῦσα τυγχάνει καὶ τὰς δι' ἐχθρὰς ὄντας.

332. ΑΤΕ. Ἐν ἄτῃ ὄντα, ὅ ἐστι, βλαπτόμενον καὶ ἀφρονοῦντα σαυτῷ.

340. ΔΙΕ. Διεσήμανεν, εἶπε.

341. ΣΚΕ. Ἐσκέδασε.

Τὸν μὲν Ἀχαιῶν ἵπποι ἐπισσώτροις δατέοντο
Πρώτῃ ἐν ὑσμίνῃ· ὁ δ' ἐπ' αὐτῷ Δημολέοντα, 395
Ἐθλὸν ἀλεξητῆρα μάχης, Ἀντήνορος υἱὸν,
Νύξε κατὰ κρόταφον, κυνέης διὰ χαλκοπαρῄξ·
Οὐδ' ἄρα χαλκείη κόρυς ἔσχεθεν, ἀλλὰ δι' αὐτῆς
Αἰχμὴ ἱεμένη ῥῆξ' ὀστέον, ἐγκέφαλος δὲ
Ἔνδον ἅπας πεπάλακτο· δάμασσε δέ μιν μεμαῶτα. 400
Ἱπποδάμαντα δ' ἔπειτα καθ' ἵππων αἰσσοντα,
Πρόσθεν ἔθεν φεύγοντα, μετάφρενον ἔτασε δορί·
Αὐτὰρ ὁ θυμὸν ἄϊσθε καὶ ἤρυγεν, ὡς ὅτε ταῦρος
Ἤρυγεν ἑλκόμενος Ἑλικώνιον ἀμφὶ ἄνακτα,
Κούρων ἑλκόντων· γάνυται δέ τε τοῖς Ἐνοσίχθων· 405
Ὣς ἄρα τόνγ' ἐρυγόντα λίπ' ὀστέα θυμὸς ἀγήνωρ.
Αὐτὰρ ὁ βῆ σὺν δορὶ μετ' ἀντίθεον Πολύδωρον,
Πριαμίδην· τὸν δ' ἔτι πατὴρ εἴασκε μάχεσθαι,
Οὕνεκά οἱ μετὰ παισὶ νεώτατος ἔσκε γόνοιο,
Καί οἱ φίλτατος ἔσκε, πόδεσσι δὲ πάντας ἐνίκα. 410
Δὴ τότε νηπιέῃσι, ποδῶν ἀρετὴν ἀναφαίνων,
Θοῦνε διὰ προμάχων, εἴως φίλον ὤλεσε θυμόν.
Τὸν βάλε μέσσον ἄκοντι ποδάρκης δῖος Ἀχιλλεὺς,

394. ΕΠΙ. Καθοῖς. ΔΑ. Διέκοπλον.

396. ΑΔΕΞ. Μάχης ἀποτρεπτικὸν, βοηθόν.

398. ΕΣ. Ἐπέχεν, κώλυσε.

400. ΠΕ. Ἐπεμόλυντο.

403. ΑΙΣ. Ἐξέπνευσεν. ΗΡ. Ἐμυκήσαιο, ἀνερύγανε, πνεῦμα σφοδρὸν ἀφῆκεν.

404. ΕΛΙ. Τὸν Ποσειδῶνα· ἤτοι, ὅτι ἐν Ἑλικῶνι, ὄρει τῆς Βοιωτίας, τιμᾶται, ἢ, ἐν Ἑλίκῃ· μᾶλλον ὂν παρὰ τὸν ἐν Ἑλίκῃ θεόν· διαφέρει γὰρ Ἑλικὼν καὶ Ἑλίκη· ὅτι Ἑλικὼν μὲν, ὄρος Βοιωτίας· Ἑλίκη δὲ, νῆσος Ἀχαΐας, ἐν ᾗ ἱερὸν Ποσειδῶνος· ἡ δὲ ἱστορία αὕτη. Νηλεὺς, ὁ Κόδρου, χρησμὸν λαβὼν, ἀποικίαν ἔστελλεν εἰς Μίλητον, καὶ Καρίαν, ἔνθα ἱερὸν Ποσειδῶνος ἱδρύσατο· καὶ ἀπὸ τοῦ ἐν Ἑλίκῃ τιμένους, Ἑλικώνιον τὸν θεὸν προσηγόρευσε· δοκεῖ δὲ ἐπειδὰν θύωσι, βοησάντων μὲν τῶν βοῶν, προσδέχεσθαι τὸ θεῖον τὴν θυσίαν· σιγώντων δὲ, λυπεῖσθαι καὶ μηνιᾶν νομίζεσθαι· ἡ ἱστορία παρὰ Κλειτοφῶντι.

405. ΓΑ. Ἥδεται, χαίρει.

411. ΝΗ. Ἀφροσύναις, ἀνοίαις.

Νῶτα παραΐσσοντος, ὅθι ζωστῆρος ὀχῆες
Χρύσειοι σύνεχον, καὶ διπλόος ἤντετο θώρηξ· 415
Ἀντικρὺ δὲ διέχε παρ' ὀμφαλὸν ἔγχεος αἰχμή·
Γνὺξ δ' ἔριπ' οἰμώξας· νεφέλη δέ μιν ἀμφεκάλυψε
Κυανέη, πρότι οἱ δ' ἔλαβ' ἔντερα χερσὶ λιαθείς.
Ἕκτωρ δ' ὡς ἐνόησε κασίγνητον Πολύδωρον,
Ἔντερα χερσὶν ἔχοντα, λιαζόμενον προτὶ γαίῃ, 420
Κάρρα οἱ ὀφθαλμῶν κέχυτ' ἀχλὺς, ὐδ' ἄρ' ἔτ' ἔτλη
Δηρὸν ἑκὰς ςρωφᾶθ', ἀλλ' ἀντίος ἦλθ' Ἀχιλῆϊ,
Ὀξὺ δόρυ κραδάων, φλογὶ εἴκελος· αὐτὰρ Ἀχιλλεὺς
Ὡς εἶδ', ὡς ἀνέπαλτο, καὶ εὐχόμενος ἔπος ηὔδα·
'Ἐγγὺς ἀνὴρ, ὃς ἐμόν γε μάλις' ἐσεμάσσατο θυμὸν, 425
'Ὃς μοι ἑταῖρον ἔπεφνε τετιμένον· ὐδ' ἄρ' ἔτι δὴν
'Ἀλλήλυς πτώσσοιμεν ἀνὰ πτολέμοιο γεφύρας.'
Ἦ, καὶ ὑπόδρα ἰδὼν προσεφώνεεν Ἕκτορα δῖον·
'Ἄσσον ἴθ', ὥς κεν θᾶσσον ὀλέθρυ πείραθ' ἵκηαι.'
Τὸν δ' οὐ ταρβήσας προσέφη κορυθαίολος Ἕκτωρ· 430
'Πηλέιδη, μὴ δή μ' ἐπέεσσί γε, νηπύτιον ὡς,
'Ἔλπεο δειδίξεσθαι· ἐπεὶ σάφα οἶδα καὶ αὐτὸς
'Ἠμὲν κερτομίας ἠδ' αἴσυλα μυθήσασθαι·
'Οἶδα δ', ὅτι σὺ μὲν ἐσθλὸς, ἐγὼ δὲ σέθεν πολὺ χείρων.
'Ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γύνασι κεῖται, 435
'Αἴ κέ σε χειρότερός περ ἐὼν ἀπὸ θυμὸν ἕλωμαι,
'Δυρὶ βαλών· ἐπεὶ καὶ ἐμὸν βέλος ὀξὺ πάροιθεν.'

414. ΟΧΗ. Οἱ συνίχοιλες τ' ζωςῆρα μάντες.
416. ΔΙ. Διῆλθε.
417. ΓΝΥΞ. Ἐπὶ γόνυ. ΟΙ. Στενάξας.
418. ΠΡΟ. Πρὸς ἑαυτόν. ΛΙ. Ἐκκλίνας.
420. ΛΙ. Πρὸς τῇ γῇ κεκλιμένον, ὅ ἐςι, κείμενον.
425. ΕΣΕ. Καθίκετο, ἐλύπησε.
426. ΤΕ. Τετιμημένον.
427. ΠΤΩ. Φοβοίμεθα. ΓΕΦ. Τὰ μεταξὺ τῶν πολεμούντων διαςήματα.
433. ΑΙ. Τὰ παρὰ τὸ καθῆκον γιγνόμενα· ἄδικα.
437. ΟΞΥ. Ἔξυρο ὑ ἔμπροσθεν μέρος, κατὰ τὴν ἀκμήν.

Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δόρυ, καὶ τόγ' Ἀθήνη
Πνοιῇ Ἀχιλλῆος πάλιν ἔτραπε κυδαλίμοιο,
Ἧκα μάλα ψύξασα· τὸ δ' ἂψ ἵκεθ' Ἕκτορα δῖον, 440
Αὐτῷ δὲ προπάροιθε ποδῶν πέσεν· αὐτὰρ Ἀχιλλεὺς
Ἐμμεμαὼς ἐπόρουσε, κατακτάμεναι μενεαίνων,
Σμερδαλέα ἰάχων· τὸν δ' ἐξήρπαξεν Ἀπόλλων
Ῥεῖα μάλ', ὥστε θεὸς, ἐκάλυψε δ' ἄρ' ἠέρι πολλῇ.
Τρὶς μὲν ἔπειτ' ἐπόρουσε ποδάρκης δῖος Ἀχιλλεὺς 445
Ἐγχεϊ χαλκείῳ, τρὶς δ' ἠέρα τύψε βαθεῖαν·
Ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο, δαίμονι ἶσος,
Δεινὰ δ' ὁμοκλήσας ἔπεα πτερόεντα προσηύδα·
Ἐξ αὖ νῦν ἔφυγες θάνατον, κύον· ἦτέ τοι ἄγχι
Ἦλθε κακὸν, νῦν αὖτέ σ' ἐρύσσατο Φοῖβος Ἀπόλλων, 450
Ὦ μέλλεις εὔχεσθαι, ἰὼν ἐς δαῖπον ἀκόντων.
Ἦ θήν σ' ἐξανύω γε καὶ ὕστερον ἀντιβολήσας,
Εἴ πού τις καὶ ἔμοιγε θεῶν ἐπιτάρροθός ἐστι·
Νῦν δ' ἄλλους Τρώων ἐπιείσομαι, ὅν κε κιχείω.
Ὡς εἰπὼν, Δρύοπ' ἔτα κατ' αὐχένα μέσσον ἄκοντι· 455
Ἤριπε δὲ προπάροιθε ποδῶν· ὁ δὲ τὸν μὲν ἔασε,
Δημοῦχον δὲ Φιλητορίδην ἠΰν τε μέγαν τε
Καγγόνι δουρὶ βαλὼν ἠρύκακε· τὸν μὲν ἔπειτα
Οὐτάζων ξίφεϊ μεγάλῳ, ἐξαίνυτο θυμόν.
Αὐτὰρ ὁ Λαόγονον καὶ Δάρδανον, υἷε Βίαντος, 460
Ἄμφω ἐφορμηθεὶς, ἐξ ἵππων ὦσε χαμᾶζε,
Τὸν μὲν δουρὶ βαλὼν, τὸν δὲ σχεδὸν ἄορι τύψας.

439. ΠΝΟΙ. Πνεύματι. ΠΑ. Ἐπὶ τὸ ἕτερον μέρος Ἀχιλλέως, ὅ ἐστι, τὸ ἐναντίον.

440. ΗΚΑ. Πάνυ ἠρέμα καὶ πράως καταπνεύσασα καὶ ὑποκλάσασα τῆς ὁρμῆς· ἢ κοῦφον ποιήσασα.

448. ΟΜΟ. Ἀπειλήσας.

450. ΕΡΥ. Ἔσωσε.

451. ΜΕΛ. Ἔοικας. ΔΟΥ. Ἐπὶ τὴν ἄφεσιν τῶν δοράτων, ἐπὶ τὴν μάχην.

459. ΕΞ. Ἀφηρεῖτο, ἐλάμβανε.

Τρῶα δ' Ἀλαστορίδην· ὁ μὲν ἀντίος ἤλυθε, γέων,
Εἴπως εὖ πεφίδοιτο, λαβὼν, καὶ ζωὸν ἀφείη,
Μηδὲ κατακτείνειεν, ὁμηλικίην ἐλεήσας· 465
Νήπιος, οὐδὲ τὸ ἤδη, ὃ οὐ πείσεσθαι ἔμελλεν.
Οὐ γάρ τι γλυκύθυμος ἀνὴρ ἦν, οὐδ' ἀγανόφρων,
Ἀλλὰ μάλ' ἐμμεμαώς· ὁ μὲν ἥπτετο χείρεσι γέων,
Ἱέμενος λίσσεσθ', ὁ δὲ φασγάνῳ ὄτα καθ' ἥπαρ·
Ἐκ δέ οἱ ἥπαρ ὅλισθεν, ἀτὰρ μέλαν αἷμα κατ' αὐτῷ 470
Κόλπον ἐνέπλησεν, τὸν δὲ σκότος ὄσσε κάλυψε,
Θυμῷ δευόμενον· ὁ δὲ Μύλιον ὄτα παρασὰς
Δερὶ κατ' ὄς· εἶθαρ δὲ δι' ὄατος ἦλθ' ἑτέροιο
Αἰχμὴ χαλκείη· ὁ δ' Ἀγήνορος υἱὸν Ἔχεκλον
Μέσσην κακκεφαλὴν ξίφει ἤλασε κωπήεντι· 475
Πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι· τὸν δὲ κατ' ὄσσε
Ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.
Δευκαλίωνα δ' ἔπειθ', ἵνα τε ξυνέχυσι τένοντες
Ἀγκῶνος, τῇ τόν γε φίλης διὰ χειρὸς ἔπειρεν
Αἰχμὴ χαλκείη· ὁ δέ μιν μένε χεῖρα βαρυθεὶς, 480
Πρόσθ' ὁρόων θάνατον· ὁ δὲ φασγάνῳ αὐχένα θείνας
Τῆλ' αὐτῇ πήληκι κάρη βάλε, μυελὸς αὖτε
Σφονδυλίων ἔκπαλθ'· ὁ δ' ἐπὶ χθονὶ κεῖτο τανυσθείς.
Αὐτὰρ ὁ βῆ ῥ' ἰέναι μετ' ἀμύμονα Πείρεω υἱὸν,
Ῥίγμον, ὃς ἐκ Θρήκης ἐριβώλακος εἰληλέθει· 485
Τὸν βάλε μέσσον ἄκοντι, πάγη δ' ἐν νηδύϊ χαλκός·
Ἤριπε δ' ἐξ ὀχέων· ὁ δ' Ἀρηΐθοον θεράποντα,

464. ΠΕΦ. Εἴπως αὐτῷ φείδοιτο.
467. ΓΑΥ. Ἀνειμένος, καὶ προσηνὴς τῇ ψυχῇ. ΑΓΑ. Πρᾶος τὸ φρόνημα.
470. ΟΛΙ. Ἔπεσεν.
471. ΕΝΕ. Ἐπλήρωσεν.
478. ΙΝΑ. Ὅπου. ΤΕ. Τὰ τεινόμενα νεῦρα.
479. ΕΠΕΙ. Ἐπείρασε.
481. ΠΡΟΣΘ. Ἔχων πρὸ ὀφθαλμῶν τὸν θάνατον.
483. ΣΦΟΝ. Σφονδύλων, οἵ εἰσιν κθ'. ἐν τῇ ῥάχει. ΕΚ. Ἐξεπάθησε.
486. ΝΗ. Γαστρί.

Ἂψ ἵππους τρέψαντα, μετάφρενον ὀξέϊ δουρὶ
Νύξ', ἀπὸ δ' ἅρματος ὦσε· κυκήθησαν δέ οἱ ἵπποι.
Ὡς δ' ἀναμαιμάει βαθέ' ἄγκεα θεσπιδαὲς πῦρ · 490
Οὔρεος ἀζαλέοιο, βαθεῖα δὲ καίεται ὕλη,
Πάντη τε κλονέων ἄνεμος φλόγα εἰλυφάζει·
Ὡς ὅγε πάντη θῦνε σὺν ἔγχεϊ, δαίμονι ἶσος,
Κτεινομένους ἐφέπων, ῥέε δ' αἵματι γαῖα μέλαινα.
Ὡς δ' ὅτε τις ζεύξῃ βόας ἄρσενας εὐρυμετώπους, 495
Τριβέμεναι κρῖ λευκὸν ἐϋτροχάλῳ ἐν ἀλωῇ,
Ῥίμφα τε λέπη' ἐγένοντο βοῶν ὑπὸ ὤσσ' ἐριμύκων·
Ὡς ὑπ' Ἀχιλλῆος μεγαθύμου μώνυχες ἵπποι
Στεῖβον ὁμῶς νέκυάς τε καὶ ἀσπίδας· αἵματι δ' ἄξων
Νέρθεν ἅπας πεπάλακτο, καὶ ἄντυγες αἱ περὶ δίφρον, 500
Ἃς ἄρ' ἀφ' ἱππείων ὁπλέων ῥαθάμιγγες ἔβαλλον,
Αἵ τ' ἀπ' ἐπισσώτρων· ὁ δὲ ἵετο κῦδος ἀρέσθαι
Πηλείδης, λύθρῳ δὲ παλάσσετο χεῖρας ἀάπτους.

490. ΑΝΑ. Ἀναφέρεται, ἢ εὐθυσιᾷ. ΘΕΣ. Ὑπὸ θεῶν ἀναπτόμενον, θεῖον.
491. ΑΖΑ. Ξηροῦ.
492. ΚΛΟ. Ταράσσων. ΕΙ. Εἰλεῖ, συγχέει.
494. ΚΤΕΙ. Ἔδει εἰπεῖν, ἔφεσπε κτείνων.
495. ΕΥ. Πλατυμετώπους.
496. ΤΡΙ. Ἀλοᾶν.
497. ΕΡΙ. Μεγάλως μυκωμένων.
499. ΣΤΕΙ. Ἐπάτουν τοὺς νεκρούς.
501. ΑΣ. Ἃς ἀποπίπτουσαι τῶν ἱππείων ὁπλῶν, ὅ ἐστιν, ὀνύχων, αἱ ῥανίδες ἔβαλλον. ΡΑ. Ῥανίδες.
503. ΑΥ. Ὁ ἐκ τῆς πολεμικῆς ἐνεργείας μολυσμὸς, ἢ τὸ μετὰ κονιορτοῦ καὶ ἱδρῶτος ἀνθρώπειον αἷμα, λύθρος καλεῖται. ΑΑΠ. Ἀπροσπελάστους, χαλεπάς.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΙΛΙΑΔΟΣ Φ.

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

ΤΩΝ Τρώων εἰς δύο διαιρεθέντων μέρη, τὰς μὲ εἰς τὴν πόλιν, τὰς δὲ εἰς τὸν Σκάμανδρον Ἀχιλλεὺς διώκει, καὶ δικαδύο νεανίας ζωγρεῖ εἰς ποινὴν Πατρόκλου· τὸν δὲ Λυκάονα, τὸν Πριάμου, καὶ Ἀγηροπαῖον αἰχμαιρεῖ· ἵπτεται τῶ ποταμῶ πλημμύραντος, κινδυνεύοντα αὐτὸν σώζει Ἥφαιστος, ἐμπρήσας τὸν ποταμὸν καὶ τὸ πεδίον· μετὰ ταῦτα θεῶν μάχη γίνεται πρὸς ἀλλήλους. Ἀχιλλέα δὲ Ἀπόλλων εἴργει, Ἀγήνορι ὁμοιωθεὶς, καὶ φεύγων ἐξαπατᾶ, ἕως οἱ Τρῶες διασώζονται εἰς τὴν πόλιν.

Παραποτάμιος μάχη.

Φῖ, μόθος Αἰακίδαο παρ' ἠιόνας ποταμοῖο.

Ἀλλ' ὅτε δὴ πόρον ἶξον ἐυῤῥεῖος ποταμοῖο
Βάνθυ δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεὺς,
Ἔνθα διατμήξας, τὰς μὲν πεδίονδ' ἐδίωκε
Πρὸς πόλιν, ἦπερ Ἀχαιοὶ ἀτυζόμενοι φοβέοντο
Ἤματι τῷ πρωτέρῳ, ὅτε μαίνετο φαίδιμος Ἕκτωρ· 5

1. ΠΟΡ. Ἤτοι τὸν ποταμὸν περιφραγκῶς, ἢ τὸ βαθὺ αὐτοῦ μέρος, καθ' ὃν διαπορεύονται αὐτόν· διατὶ δὴ, πάντων τῶν ποταμῶν ἐξ ὠκεανοῦ ῥεόντων, περὶ μόνου τοῦ Βάνθου ὁ Ποιητὴς φησιν· Ὃν ἀθάνατος τέκετο Ζεύς; πῶς ἐν τῷ Ὠκεανοῦ καὶ Διὸς παῖς; καὶ ῥητέον, ὅτι εἰπόντων ἂν καὶ Διὸς καλοῖτο παῖς· εἴγε οἱ ὄμβροι μὲ ἐκ Διός· ὄμβρω δὲ ὕτος αὐξάνεται. Φαίνεται δὲ καὶ ἄλλη τις ἱστορία, ὅτι ὁ Ἡρακλῆς ποτὲ δίψει καταχθεὶς, ηὔξατο τῷ πατρὶ Διὶ, ἐπιδεῖξαι αὐτῷ ῥεῦμα· ὁ δὲ μὴ θέλων αὐτὸν τύχεσθαι, ῥίψας κεραυνὸν, ἀνέδωκε μικρὰν λιβάδα· ἣν θεασάμενος Ἡρακλῆς, καὶ σκάψας ὡς εἰς τὸ πλουσιώτερον μετεισφέρεσθαι, μετωνόμασε Σκάμανδρον, οἱονεὶ Κάμανδρον γενόμενον καμάτου ἄκος ἑαυτῷ. Βάνθος δ' ἐκλήθη, ὅτι λυσάμενος τοῦ ὕδατος αἱ Τρωάδες ξανθὰς κόμας ἔχον.

3. ΔΙ. Διατεμὼν, εἰς δύο χωρίσας.

4. ΑΤΥ. Ταρασσόμενοι, φοβέ-

Τῇ ῥ' οἴγε προχέοντο πεφυζότες· ἠέρα δ' Ἥρη
Πίτνα πρόσθε βαθεῖαν, ἐρυκέμεν· ἡμίσεες δὲ
Ἐς ποταμὸν εἰλεῦντο βαθύῤῥοον, ἀργυροδίνην·
Ἐν δ' ἔπεσον μεγάλῳ πατάγῳ· βράχε δ' αἰπὰ ῥέεθρα,
Ὄχθαι δ' ἀμφὶ περὶ μεγάλ' ἴαχον· οἱ δ' ἀλαλητῷ 10
Ἔννεον ἔνθα καὶ ἔνθα, ἑλισσόμενοι κατὰ δίνας.
Ὡς δ' ὅθ' ὑπαὶ ῥιπῆς πυρὸς ἀκρίδες ἠερέθονται
Φευγέμεναι ποταμόνδε, τὸ δὲ φλέγει ἀκάματον πῦρ
Ὄρμενον ἐξαίφνης, ταὶ δὲ πλώσσουσι κατ' ὕδωρ·
Ὡς ὑπ' Ἀχιλλῆος Ξάνθου βαθυδινήεντος 15
Πλῆτο ῥόος κελάδων ἐπιμίξ ἵππων τε καὶ ἀνδρῶν.
Αὐτὰρ ὁ διογενὴς δόρυ μὲν λίπεν αὐτοῦ ἐπ' ὄχθαις,
Κεκλιμένον μυρίκῃσιν· ὁ δ' ἔνθορε, δαίμονι ἶσος,
Φάσγανον οἶον ἔχων, κακὰ δὲ φρεσὶ μήδετο ἔργα·
Τύπτε δ' ἐπιστροφάδην· τῶν δὲ στόνος ὤρνυτ' ἀεικὴς 20
Ἄρρι θεινομένων, ἐρυθαίνετο δ' αἵματι ὕδωρ.
Ὡς δ' ὑπὸ δελφῖνος μεγακήτεος ἰχθύες ἄλλοι
Φεύγοντες πιμπλᾶσι μυχὸς λιμένος εὐόρμου,
Δειδιότες· μάλα γάρ τε κατεσθίει, ὅν κε λάβῃσιν·
Ὡς Τρῶες ποταμοῖο κατὰ δεινοῖο ῥέεθρα 25

6. ΠΡΟ. Ἀθρόως ἔφευγον. ΠΕ. Πεφευγότες, πεφοβημένοι. ΗΕ. Ἀέρα, σκότος.

7. ΠΙΤ. Ἐξέτεινεν, ἐπέβαλεν.

8. ΑΡ. Λαμπρόν.

9. ΠΑ. Ψόφῳ, ἠχῳ. ΒΡΑ. Ἐψόφησεν, ἤχησε· μεταφορικῶς. ΑΙ. Νῦν, βαθία.

10. ΟΧ. Τὰ τῶν ποταμῶν χείλη, οἱ κρημνοί. ΑΜ. Μέγα περιήχει.

11. ΕΝ. Ἐπήχοντο. ΕΛΙΣ. Στριφόμενοι.

12. ΡΙ. Ὁρμῆς. ΗΕ. Ἤτοι, ἱριδίζονται, ἢ εἰς ἀέρα ἀίρονται, καὶ ἀποκρύπτονται.

13. ΑΚΑ. Ἀκοπίαστον, πολύ.

14. ΟΡΜΕ. Διεγερθὲν, κινούμενον. ΠΤΩΣ. Καταδύονται, κρύπτονται.

16. ΠΛΗ. Ἐπληρώθη. ΚΕ. Ἦχον παροξυτόνως.

18. ΚΕ. Ὑπὸ μυρικῶν περιεχόμενοι, κεκαλυμμένοι. ΕΝ. Ἐνήλατο, ἐπήδησε. ΔΑΙ. Θεῷ ὅμοιος.

20. ΕΠΙ. Ἐπιστρεφόμενος πανταχῶς. ΑΕΙ. Ἀποικὼς, χαλεπός.

21. ΑΟ. Ξίφει.

23. ΠΙΜ. Πληροῦσι. ΜΥ. Φωλεὸς λέγει δὲ τὰς ἰσωτάτας τόπους καὶ ἀποκρύφους. ΕΥ. Κοιλὰς ὅρμους ἔχοντος.

Πτῶσσον ὑπὸ κρημνῶς· ὁ δ', ἐπεὶ κάμε χεῖρας ἐναίρων,
Ζωὸς ἐκ ποταμοῖο δυώδεκα λέξατο κούρους,
Ποινὴν Πατρόκλοιο Μενοιτιάδαο θανόντος·
Τοὺς ἐξῆγε θύραζε τεθηπότας, ἠΰτε νεβρούς,
Δῆσε δ' ὀπίσσω χεῖρας ἐϋτμήτοισιν ἱμᾶσι, 30
Τοὺς αὐτοὶ φορέεσκον ἐπὶ στρεπτοῖσι χιτῶσι·
Δῶκε δ' ἑταίροισιν κατάγειν κοίλας ἐπὶ νῆας·
Αὐτὰρ ὁ ἂψ ἐπόρουσε, δαϊζέμεναι μενεαίνων.
Ἔνθ' υἱεῖ Πριάμοιο συνήντετο Δαρδανίδαο,
Ἐκ ποταμοῦ φεύγοντι, Λυκάονι· τόν ῥά ποτ' αὐτὸς 35
Ἦγε, λαβὼν ἐκ πατρὸς ἀλωῆς οὐκ ἐθέλοντα,
Ἐννύχιος προμολών· ὁ δ' ἐρινεὸν ὀξέϊ χαλκῷ
Τάμνε, νέους ὄρπηκας, ἵν' ἅρματος ἄντυγες εἶεν·
Τῷ δ' ἄρ' ἀνώϊστον κακὸν ἤλυθε δῖος Ἀχιλλεύς·
Καὶ τότε μέν μιν Λῆμνον ἐϋκτιμένην ἐπέρασσε, 40
Νηυσὶν ἄγων· ἀτὰρ υἱὸς Ἰήσονος ὤνον ἔδωκε.
Κεῖθεν δὲ ξεῖνός μιν ἐλύσατο, πολλὰ δ' ἔδωκεν,
Ἴμβριος Ἠετίων, πέμψεν δ' ἐς δῖαν Ἀρίσβην·
Ἔνθεν ὑπεκπροφυγὼν, πατρώϊον ἵκετο δῶμα.
Ἔνδεκα δ' ἤματα θυμὸν ἐτέρπετο οἷσι φίλοισιν, 45
Ἐλθὼν ἐκ Λήμνοιο· δυωδεκάτῃ δέ μιν αὖτις
Χερσὶν Ἀχιλλῆος θεὸς ἔμβαλεν, ὅς μιν ἔμελλε
Πέμψειν εἰς Ἀΐδαο, κοὐκ ἐθέλοντα νέεσθαι.

26. ΠΤΩΣ. Ἐφοβεῦντο, ἐκφύγοντο. ΚΡΗΜ. Τὰς τῶν ποταμῶν ὄχθας.
29. ΤΕ. Ἐκπεπληγμένους.
31. ΣΤΡ. Ἤτοι, εὐκλώστοις.
36. ΑΛΩ. Γῆς, κήπου, νῦν.
37. ΕΝ. Διὰ νυκτός. ΠΡΟ. Προελθών. ΕΡΙ. Συκῆν ἀγρίαν.
38. ΟΡ. Κλάδους.
39. ΑΝΩ. Ἀντοικήτου, ἀπροσδοκήτου.
40. ΕΠΕ. Πίραν θαλάσσης ἐπώλησεν.
41. ΥΙ. Ὁ Εὔνηος. ΩΝΟΝ. Ὠνὴν, τιμήν.
42. ΕΛΥ. Ἐλυτρώσατο.
43. ΑΡΙΣ. Πόλιν Θρᾴκης ὑφ' Ἑλλήσποντον.

Τὸν δ' ὡς ἴδν ἐνόησε ωοδάρκης δῖος Ἀχιλλεὺς
Γυμνὸν ἄτερ κόρυθός τε καὶ ἀσπίδος, ἠδὲ ἔχεν ἔγχος, 50
Ἀλλὰ τὰ μέν ῥ' ἀπὸ πάντα χαμαὶ βάλε· τεῖρε γὰρ ἰδρὼς
Φεύγοντ' ἐκ ποταμοῦ, κάματος δ' ὑπὸ γούνατ' ἐδάμνα·
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
"Ὦ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·
Ἦ μάλα δὴ Τρῶες μεγαλήτορες, ὅσπερ ἔπεφνον, 55
Αὖτις ἀναστήσονται ὑπὸ ζόφου ἠερόεντος·
Οἷον δὴ καὶ ὅδ' ἦλθε, φυγὼν ὕπο νηλεὲς ἦμαρ,
Λῆμνον ἐς ἠγαθέην ωεπερημένος· ἠδέ μιν ἔοχε
Πόντος ἁλὸς πολιῆς, ὃ πολεῖς ἀέκοντας ἐρύκει,
Ἀλλ' ἄγε δὴ καὶ δουρὸς ἀκωκῆς ἡμετέροιο 60
Γεύσεται, ὄφρα ἴδωμαι ἐνὶ φρεσὶν, ἠδὲ δαείω,
Ἦ ἄρ' ὁμῶς καὶ κεῖθεν ἐλεύσεται, ἤ μιν ἐρύξει
Γῆ φυσίζοος, ἥτε κατὰ κρατερόν περ ἐρύκει."
Ὡς ὥρμαινε μένων· ὁ δέ οἱ ἀχεδὸν ἦλθε τεθηπὼς,
Γούνων ἅψασθαι μεμαώς· πέρι δ' ἤθελε θυμῷ 65
Ἐκφυγέειν θάνατόν τε κακὸν καὶ κῆρα μέλαιναν.
Ἤτοι ὁ μὲν δόρυ μακρὸν ἀνέσχετο δῖος Ἀχιλλεὺς,
Οὐτάμεναι μεμαώς· ὁ δ' ὑπέδραμε καὶ λάβε γούνων,
Κύψας· ἐγχείη δ' ἄρ' ὑπὲρ νώτου ἐνὶ γαίῃ
Ἔστη, ἱεμένη χροὸς ἄμμεναι ἀνδρομέοιο. 70
Αὐτὰρ ὁ τῇ ἑτέρῃ μὲν ἑλὼν ἐλλίσσετο γούνων,
Τῇ δ' ἑτέρῃ ἔχεν ἔγχος ἀκαχμένον, ἠδὲ μεθίει·
Καί μιν λισσόμενος ἔπεα ωτερόεντα ωροσηύδα·
"Γνοῦμαί σ', Ἀχιλεῦ· σὺ δέ μ' οὔδεο, καί μ' ἐλέησον·

57. ΝΗ. Ἀτηλεῆ, λέγει δὲ τὸν θάνατον.
58. ΠΕ. Πεπιραιωμένῳ, ωεπεραμένῳ.
64. ΩΡ. Διενοεῖτο, ἐλογίζετο. ΤΕ. Ἐκπεπληγμένος.
70. ΑΜ. Πληρωθῆναι, κορεσθῆναι.
72. ΜΕ. Οὐκ εἶα.
74. ΓΟΥ. Γονάτων ἅπτομαι, ἱκετεύω.

Ἀντί τοί εἰμ' ἱκέταο, διοτρεφὲς, αἰδοίοιο. 75
Πὰρ γάρ σοι πρώτῳ πασάμην Δημήτερος ἀκτὴν,
Ἤματι τῷ, ὅτε μ' εἶλες ἐϋκτιμένῃ ἐν ἀλωῇ,
Καί μ' ἐπέρασσας, ἄνευθεν ἄγων πατρός τε, φίλων τε,
Λῆμνον ἐς ἠγαθέην· ἑκατόμβοιον δέ τοι ἦλφον.
Νῦν δ' ἐλύμην, τρὶς τόσσα πορών· ἠὼς δέ μοί ἐστιν 80
Ἥδε δυωδεκάτη, ὅτ' ἐς Ἴλιον εἰλήλυθα,
Πολλὰ παθών· νῦν αὖ με τεῆς ἐν χερσὶν ἔθηκε
Μοῖρ' ὀλοή· μέλλω πυ ἀπέχθεσθαι Διΐ πατρὶ,
Ὅς μέ σοι αὖτις ἔδωκε· μινυνθάδιον δέ με μήτηρ
Γείνατο Λαοθόη, θυγάτηρ Ἄλταο γέροντος, 85
Ἄλτεω, ὃς Λελέγεσσι φιλοπτολέμοισιν ἀνάσσει,
Πήδασον αἰπήεσσαν ἔχων ὑπὸ Σατνιόεντι·
Τῇ δ' ἔχε θυγατέρα Πρίαμος, πολλὰς δὲ καὶ ἄλλας·
Τῆσδε δύω γενόμεσθα, σὺ δ' ἄμφω δειροτομήσεις·
Ἤτοι τὸν πρώτοισι μετὰ πρυλέεσσι δάμασσας, 90
Ἀντίθεον Πολύδωρον, ἐπεὶ βάλες ὀξέϊ δουρί·
Νῦν δὲ δὴ ἐνθάδε μοι κακὸν ἔσσεται· οὐ γὰρ ἔοιγε
Σὰς χεῖρας φεύξεσθαι, ἐπεί ῥ' ἐπέλασσέ γε δαίμων.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι·
Μή με κτεῖν', ἐπεὶ οὐχ ὁμογάστριος Ἕκτορός εἰμι, 95

75. ΑΝ. Ἀντὶ ἱκέτου σοί εἰμι. ΑΙ. Αἰδοῦς καὶ ἐντροπῆς ἀξίου.

76. ΠΑ. Ἐγευσάμην. ΔΗ. Τὸν ἄρτον, περιφραστικῶς.

78. ΕΠΕ. Πωλήσας.

79. ΕΚΑ. Τιμὴν ἑκατὸν βοῶν ἀξίαν· οἱ παλαιοὶ, πρὶν ἐπινοηθῇ τὰ νομίσματα, τὰς συναλλαγὰς ἐποιοῦντο διὰ τῶν τετραπόδων, ὅθεν ὕστερον ἐφευρεθέντων τῶν νομισμάτων, βοῦν ἐπ' αὐτῶν ἐξετύπουν, ἐνδεικνύμενοι τὸ ἀρχαῖον ἔθος· καὶ παροιμία, Βοῦς ἐπὶ γλώσσης· ὅ ἐστι νόμισμα· ἁρμόζει δὲ ἡ παροιμία αὕτη ἐπὶ τῶν ῥητόρων τῶν λαμβανόντων νομίσματα ὑπὲρ τοῦ μὴ καταδυναστεύειν τινὶ, ἀλλὰ σιωπῆσαι. ΗΛ. Εὗρον.

80. ΕΛΥΜ. Λυτρωσάμην.

82. ΤΕ. Ταῖς σαῖς.

83. ΑΠΕΧ. Μισοῦσθαι.

87. ΣΑΤ. Ποταμὸς Τροίας.

89. ΔΕΙ. Τὸν τράχηλον κόψεις· δειρὴ γὰρ, ὁ τράχηλος.

90. ΠΡΥ. Πιεζοῖς. ΔΑ. Ἀπέκτεινας.

95. ΟΜΟ. Ὁ ἐκ τῆς αὐτῆς γαστρὸς ἀδελφός.

'Ὅς τοι ἑταῖρον ἔπεφνεν ἐνηέα τε, κρατερόν τε.'
Ὣς ἄρα μιν Πριάμοιο προσηύδα Φαίδιμος υἱὸς,
Λισσόμενος ἐπέεσσιν· ἀμείλικτον δ' ὄπ' ἄκουσε·
'Νήπιε, μή μοι ἄποινα παραύσκεο, μηδ' ἀγόρευε·
'Πρὶν μὲν γὰρ Πάτροκλον ἐπισπεῖν μόρσιμον ἦμαρ, 100
'Τόφρα τί μοι παφιδέσθαι ἐνὶ φρεσὶ φίλτερον ἦεν
'Τρώων, καὶ πολλοὺς ζωοὺς ἕλον, ἠδ' ἐπέρασσα·
'Νῦν δ' ἐκ ἔασθ', ὅς κεν θάνατον φύγῃ, ὅν κε θεός γε
'Ἰλίου προπάροιθεν ἐμῆς ἐν χερσὶ βάλῃσι,
'Συμπάντων Τρώων, περὶ δ' αὖ Πριάμοιό γε παίδων. 105
'Ἀλλὰ, φίλος, θάνε καὶ σύ· τίη ὀλοφύρεαι οὕτως;
'Κάτθανε καὶ Πάτροκλος, ὅπερ σέο πολλὸν ἀμείνων.
'Οὐχ ὁράας, οἷος κἀγὼ, καλός τε, μέγας τε;
'Πατρὸς δ' εἰμ' ἀγαθοῖο, θεὰ δέ μ' ἐγείνατο μήτηρ·
'Ἀλλ' ἐπί τοι καὶ ἐμοὶ θάνατος καὶ μοῖρα κραταιὴ 110
'Ἔσσεται, ἢ ἠὼς, ἢ δείλης, ἢ μέσον ἦμαρ·
'Ὁππότε τις καὶ ἐμεῖο ἄρει ἐκ θυμὸν ἕληται,
'Ἢ ὄγε δουρὶ βαλὼν, ἢ ἀπὸ νευρῆφιν ὀϊστῷ.'
Ὣς φάτο· τοῦ δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ.
Ἔγχος μὲν ῥ' ἀφέηκεν, ὁ δ' ἕζετο χεῖρε πετάσσας 115
Ἀμφοτέρας· Ἀχιλεὺς δὲ ἐρυσσάμενος ξίφος ὀξὺ
Τύψε κατὰ κληῖδα παρ' αὐχένα· πᾶν δέ οἱ εἴσω
Δῦ ξίφος ἄμφηκες· ὁ δ' ἄρα πρηνὴς ἐπὶ γαίῃ
Κεῖτο ταθείς· ἐκ δ' αἷμα μέλαν ῥέε, δεῦε δὲ γαῖαν.
Τὸν δ' Ἀχιλεὺς ποταμόνδε, λαβὼν ποδὸς, ἧκε φέρεσθαι, 120
Καί οἱ ἐπευχόμενος ἔπεα πτερόεντ' ἀγόρευεν·

98. ΑΜΕΙ. Ἀπηνῆ, σκληράν.
99. ΑΠ. Περὶ λύτρων μὴ δ' ὅλως μοι διαλέγου.
100. ΕΠΙΣ. Ἐπιδιῶξαι, πληρῶσαι. ΜΟΡ. Τὸν θάνατον.
110. ΑΛΛ. Τὸ ἑξῆς, ἀλλὰ καὶ ἐμοὶ ἐπελεύσεται θάνατος.
112. ΑΡΕΙ. Σίδηρος τὴν ψυχὴν ἀφέληται.
119. ΔΕΥΕ. Ἔδρηχεν.

Ἐνταυθοῖ νῦν κεῖσο μετ' ἰχθύσιν, οἵ σ' ὠτειλῆς
Αἷμ' ἀπολιχμήσονται, ἀκηδέες· ἠδέ σε μήτηρ
Ἐνθεμένη λεχέεσσι γοήσεται· ἀλλὰ Σκάμανδρος
Οἴσει δινήεις εἴσω ἁλὸς εὐρέα κόλπον. 125
Θρώσκων τις κατὰ κῦμα μέλαιναν ῥῖν' ὑπαλύξει
Ἰχθὺς, ὥς κε φάγῃσι Λυκάονος ἀργέτα δημόν.
Φθείρεσθ', εἰσόκεν ἄστυ κιχείομεν Ἰλίου ἱρῆς,
Ὑμεῖς μὲν φεύγοντες, ἐγὼ δ' ὄπιθεν κεραΐζων·
Οὐδ' ὑμῖν ποταμός περ ἐῤῥοος ἀργυροδίνης 130
Ἀρκέσει, ᾧ δὴ δηθὰ πολεῖς ἱερεύετε ταύρους,
Ζωοὺς δ' ἐν δίνῃσι καθίετε μώνυχας ἵππους.
Ἀλλὰ καὶ ὣς ὀλέεσθε κακὸν μόρον, εἰσόκε πάντες
Τίσετε Πατρόκλοιο φόνον, καὶ λοιγὸν Ἀχαιῶν,
Οὓς ἐπὶ νηυσὶ θοῇσιν ἐπέφνετε, νόσφιν ἐμεῖο.' 135
Ὣς ἄρ' ἔφη· Ποταμὸς δὲ χολώσατο κηρόθι μᾶλλον·
Ὥρμηνεν δ' ἀνὰ θυμὸν, ὅπως παύσειε πόνοιο
Δῖον Ἀχιλλῆα, Τρώεσσι δὲ λοιγὸν ἀλάλκοι.
Τόφρα δὲ Πηλέος υἱὸς, ἔχων δολιχόσκιον ἔγχος,
Ἀσκεροπαίῳ ἐπᾶλτο, κατακτάμεναι μενεαίνων, 140
Υἱεῖ Πηλεγόνος· τὸν δ' Ἀξιὸς εὐρυρέεθρος
Γείνατο, καὶ Περίβοια, Ἀκεσσαμενοῖο θυγατρῶν

122. ΕΝ. Ἐνταῦθα ἀρτίως κατάκεισο.

123. ΑΠΟ. Ἀπολείξουσιν. ΑΚΗ. Ἀφόρτιγοι.

124. ΓΟΗ. Θρηνήσεται.

126. ΘΡΩΣ. Καὶ τὰ ἑξῆς. Ἐφαλλόμενος καὶ νηχόμενος τὶς τῶν ἰχθύων κατὰ θάλασσαν, καὶ ἐμπληθεὶς τῆς Λυκάονος πιμελῆς, πάλιν ὑπὸ τὴν μέλαιναν ῥῖκα κατιλεύσεται. Ῥῖξ δέ ἐστιν ἡ ἀριμαία τοῦ ὕδατος κίνησις. ΥΠΑΛΥ. Ὁ δὲ κῦς, ὁ δὲ ἰχθὺς οὐκ ἐπικολῆς γενήσεται, ἀλλ' ἐπὶ τὴν ῥῖκα αἴξει· τὰ γὰρ νεοσφαγῆ τῶν σωμάτων ἄνωθεν ἐπιπλεῖ.

127. ΦΑ. Οὐ δεῖ τὸ, ὅς κε φάγῃσιν, ἄρθρον ὑποτακτικὸν λαμβάνειν, ἀλλ' ἀντὶ τοῦ, ὥς κεν, ἐπίῤῥημα. ΑΡ. Τὸν λευκὸν ἐπίπλεν, τὸ λίπος.

129. ΚΕ. Διαφθείρων.

131. ΑΡ. Ἐπαρκέσει, βοηθήσει. ΔΗ. Πολλὰ καὶ πολλούς. ΙΕ. Θύετε.

136. ΚΗ. Ἐκ ψυχῆς.

137. ΩΡ. Διευσεῖτο.

138. ΑΛΑ. Ἀποτρέψει, βοηθήσει.

140. ΕΠΑΛ. Ἐφάλατο, ἄρμησε.

Πρεσβυτάτη· τῇ γάρ ῥα μίγη Ποταμὸς βαθυδίνης.
Τῷ ῥ' Ἀχιλεὺς ἐπόρουσεν· ὁ δ' ἀντίος ἐκ ποταμοῖο
Ἔστη, ἔχων δύο δοῦρε· μένος δέ οἱ ἐν φρεσὶ θῆκε 145
Ξάνθος, ἐπεὶ κεχόλωτο δαϊκταμένων αἰζηῶν,
Τοὺς Ἀχιλεὺς ἐδάϊζε κατὰ ῥόον, οὐδ' ἐλέαιρεν.
Οἱ δ' ὅτε δὴ ὀχεθὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Τὸν πρότερος προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
'Τίς, πόθεν εἶς ἀνδρῶν, ὅ μευ ἔτλης ἀντίος ἐλθεῖν; 150
'Δυσήνωρ δέ τε παῖδες ἐμῷ μένει ἀντιόωσι.'
Τὸν δ' αὖ Πηλεγόνος προσεφώνεε φαίδιμος υἱός·
'Πηλεΐδη μεγάθυμε, τίη γενεὴν ἐρεείνεις;
'Εἰμ' ἐκ Παιονίης ἐριβώλου, τηλόθ' ἐούσης,
'Παίονας ἄνδρας ἄγων δολιχεγχέας· ἤδε δέ μοι νῦν 155
'Ἠὼς ἐνδεκάτη, ὅτ' ἐς Ἴλιον εἰλήλουθα·
'Αὐτὰρ ἐμοὶ γενεὴ ἐξ Ἀξιοῦ εὐρὺ ῥέοντος,
'Ἀξιοῦ, ὃς κάλλιστον ὕδωρ ἐπὶ γαῖαν ἵησιν,
'Ὃς τέκε Πηλεγόνα κλυτὸν ἔγχεϊ· τὸν δέ μέ φασι
'Γείναθαι· νῦν αὖτε μαχώμεθα, φαίδιμ' Ἀχιλλεῦ.' 160
Ὣς φάτ' ἀπειλήσας· ὁ δ' ἀνέχετο δῖος Ἀχιλλεὺς
Πηλιάδα μελίην· ὁ δ' ὁμαρτῇ δούρασιν ἀμφὶς
Ἥρως Ἀστεροπαῖος, ἐπεὶ περιδέξιος ἦεν·
Καί ῥ' ἑτέρῳ μὲν δουρὶ σάκος βάλεν, οὐδὲ διὰ πρὸ
Ῥῆξε σάκος· χρυσὸς γὰρ ἐρύκακε, δῶρα θεοῖο· 165
Τῷ δ' ἑτέρῳ μιν πῆχυν ἐπιγράψην βάλε χειρὸς

146. ΔΑΙΚ. Τῶν ἐν πολέμοις ἀναιρουμένων.
147. ΕΔΑΙ. Διέφθειρεν, ἐφόνευε.
151. ΔΥ. Κακοδαιμόνων, δυστυχῶν.
154. ΕΡΙ. Μεγαλοβώλου, εὐγείου.
155. ΔΟ. Μακρὰ δόρατα ἔχοντας.
157. ΑΞΙ. Ποταμὸς Παιονίας· ἡ δὲ Παιονία τῆς Θρᾴκης.
161. ΑΠΕΙ. Νῦν, αὐχήσας, ἢ ὀργιωθείς.
162. ΟΜΑΡ. Ὁ δὲ ἀμφότερα τὰ δόρατα ὁμῶ ἀφῆκε.
163. ΠΕ. Ἀμφοτέραις ταῖς χερσὶ δεξιῶς χρώμενος.
165. ΕΡΥ. Ἐπέσχεν, ἐκώλυσεν.
166. ΕΠΙ. Ἄχρι τοῦ ἐπιξύσαι μόνον τὸ δέρμα.

Δεξιτερῆς, σύτο δ' αἷμα κελαινεφές· ἡ δ' ὑπὲρ αὐτῆς
Γαίῃ ἐνεστήρικτο, λιλαιομένη χροὸς ἆσαι.
Δεύτερος αὖτ' Ἀχιλεὺς μελίην ἰθυπτίωνα
Ἀστεροπαίῳ ἐφῆκε, κατακτάμεναι μενεαίνων· 170
Καὶ τοῦ μέν ῥ' ἀφάμαρτεν· ὁ δ' ὑψηλὴν βάλεν ὄχθην,
Μεσσοπαγὲς δ' ἄρ' ἔθηκε κατ' ὄχθης μείλινον ἔγχος.
Πηλείδης δ', ἄορ ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ,
Ἆλτ' ἐπὶ οἷ μεμαώς· ὁ δ' ἄρα μελίην Ἀχιλῆος
Οὐ δύνατ' ἐκ κρημνοῖο ἐρύσσαι χειρὶ παχείῃ· 175
Τρὶς μέν μιν πελέμιξεν, ἐρύσσασθαι μενεαίνων,
Τρὶς δὲ μεθῆκε βίῃ· τὸ δὲ τέτρατον, ἤθελε θυμῷ
Ἄξαι ἐπιγνάμψας δόρυ μείλινον Αἰακίδαο,
Ἀλλὰ πρὶν Ἀχιλεὺς ἀχεδὸν ἄορι θυμὸν ἀπηύρα·
Γαστέρα γάρ μιν τύψε παρ' ὀμφαλόν· ἐκ δ' ἄρα πᾶσαι 180
Χύντο χαμαὶ χολάδες· τὸν δὲ σκότος ὄσσε κάλυψεν
Ἀθμαίνοντ'· Ἀχιλεὺς δ' ἄρ' ἐνὶ στήθεσσιν ὀρέξας,
Τεύχεά τ' ἐξεναρίζε, καὶ εὐχόμενος ἔπος ηὔδα·
'Κεῖσ' ἔτω· χαλεπόν τοι ἐριθενέος Κρονίωνος
'Παισὶν ἐριζέμεναι, Ποταμοῖό περ ἐκγεγαῶτι. 185
'Φῆθα σὺ μὲν Ποταμῷ γένος ἔμμεναι εὐρὺ ῥέοντος·
'Αὐτὰρ ἐγὼ γενεὴν μεγάλου Διὸς εὔχομαι εἶναι·
'Τίκτε μ' ἀνὴρ, πολλοῖσιν ἀνάσσων Μυρμιδόνεσσι,
'Πηλεὺς Αἰακίδης· ὁ δ' ἄρ' Αἰακὸς ἐκ Διὸς ἦεν·
'Τῷ κρείσσων μὲν Ζεὺς Ποταμῶν ἁλιμυρηέντων· 190

167. ΣΥ. Ἀπηνέχθη, ἐρρύη.
168. ΕΝΕ. Ἐνεπάγη. ΧΡΟ. Τοῦ σώματος κορεσθῆναι.
169. ΙΟΥΠ. Ἐπ' εὐθείας φερομένην, καὶ οἱονεὶ ἱπταμένην.
172. ΜΕΣ. Μέχρι τοῦ ἡμίσεος καταπεπηγὸς τῇ γῇ· ἐὰν δὲ μεσοπαλὲς, ἐκ μέσου σειόμενον.
174. ΟΙ. Ἐπὶ αὐτῷ.
177. ΜΕ. Ἀπέλιπεν, εἴασεν.
178. ΕΠΙΓ. Ἐπικάμψας.
181. ΧΥΝ. Ἀπεχύθησαν ἀθρόως. ΧΟ. Τὰ ἔντερα.
182. ΟΡΟΥ. Ὁρμῶν.
190. ΑΛΙ. Εἰς τὴν θάλασσαν ῥεόντων.

ἑ Κρείσσων δ' αὖτε Διὸς γενεὴ Ποταμοιο τέτυκται.
ἑ Καὶ γάρ σοι Ποταμός γε πάρα μέγας, εἰ δύναταί τι
ἑ Χραισμεῖν· ἀλλ' οὐκ ἔστι Διὶ Κρονίωνι μάχεσθαι·
ἑ Τῷ ἐδὲ κρείων Ἀχελώϊος ἰσοφαρίζει,
ἑ Οὐδὲ βαθυῤῥείταο μέγα σθένος Ὠκεανοῖο, 195
ἑ Ἐξ ὅπερ πάντες ποταμοὶ, καὶ πᾶσα θάλασσα,
ἑ Καὶ πᾶσαι κρῆναι, καὶ φρείατα μακρὰ νάουσιν·
ἑ Ἀλλὰ καὶ ὃς δείδοικε Διὸς μεγάλοιο κεραυνὸν,
ἑ Δεινήν τε βροντὴν, ὅτ' ἀπ' οὐρανόθεν σμαραγήσῃ.'
Ἦ ῥα, καὶ ἐκ κρημνοῖο ἐρύσσατο χάλκεον ἔγχος. 200
Τὸν δὲ κατ' αὐτόθι λεῖπεν, ἐπεὶ φίλον ἦτορ ἀπηύρα,
Κείμενον ἐν ψαμάθοισι, δίαινε δέ μιν μέλαν ὕδωρ.
Τὸν μὲν ἄρ' ἐγχέλυές τε καὶ ἰχθύες ἀμφεπένοντο,
Δημὸν ἐρεπτόμενοι ἐπινεφρίδιον κείροντες.
Αὐτὰρ ὁ βῆ ῥ' ἰέναι μετὰ Παίονας ἱπποκορυστὰς, 205
Οἵ ῥ' ἔτι πὰρ ποταμὸν πεφοβήατο δινήεντα,
Ὡς εἶδον τὸν ἄριστον ἐνὶ κρατερῇ ὑσμίνῃ
Χέρσ' ὕπο Πηλείδαο καὶ ἄορι ἶφι δαμέντα.
Ἔνθ' ἔλε Θερσίλοχόν τε, Μύδωνά τε, Ἀστύπυλόν τε,
Μνῆσόν τε, Θράσιόν τε, καὶ Αἴνιον, ἠδὲ Ὄφελέστην· 210

194. ΑΧΕ. Ἡρακλῆς εἰς ᾅδου κατελθὼν ἐπὶ τὸν Κέρβερον, συνέτυχε Μελεάγρῳ τῷ Οἰνέως· οὗ καὶ δεηθέντος γῆμαι τὴν ἀδελφὴν Δηϊάνειραν, ἐπανελθὼν εἰς φῶς, ἔσπευσεν εἰς Αἰτωλίαν πρὸς Οἰνέα· καταλαβὼν δὲ μνηστευομένην τὴν κόρην Ἀχελῷον, τὸν πλησίον ποταμὸν, διεπάλαισεν αὐτῷ, ταύρου μορφὴν ἔχοντι· οὗ καὶ ἀποσπάσας τὸ ἕτερον τῶν κεράτων ἔλαβε τὴν παρθένον· φασὶ δὲ αὐτὸν τὸν Ἀχελῷον, παρ' Ἀμαλθείας τῆς Ὠκειανοῦ κέρας λαβόντα, δοῦναι τῷ Ἡρακλεῖ, καὶ τὸ ἴδιον ἀπολαβεῖν· δοκεῖ δὲ τῶν ἐν τῇ Ἑλλάδι ποταμῶν μέγιστος εἶναι ὁ Ἀχελῷος· διὸ καὶ πᾶν ὕδωρ τῇ τούτου προσηγορίᾳ καλεῖται· ἱστορεῖ Πίνδαρος. ΑΧΕ. Ποταμὸς, μεταξὺ Αἰτωλίας καὶ Ἀκαρνανίας· κοινῶς δὲ πᾶν ὕδωρ Ἀχελῷος καλεῖται. ΙΣΟ. Ἴσος ἐστὶ, ἐξισοῦται.

197. ΦΡΕΙ. Φρέατα. ΜΑ. Νῦν, βαθία. ΝΑ. Ῥέουσι.

199. ΣΜΑ. Ἠχήσῃ.

204. ΕΡΕΠ. Ἐσθίοντες. Τὸ ἐρεπτόμενοι καὶ κείροντες, διλογεῖται· δεῖ συνάπτειν δημὸν ἐπινεφρίδιον· ἐπὶ τῶ νεφρῶν γὰρ ἐπίκειται ἡ πιμελή. ΕΠΙ. Τὸ περὶ τὰς νεφρὰς λίπος.

Καί νύ κ' ἔτι πλέονας κτάνε Παίονας ὠκὺς Ἀχιλλεὺς,
Εἰ μὴ χωσάμενος προσέφη Ποταμὸς βαθυδίνης,
Ἀνέρι εἰσάμενος, βαθέης δ' ἐκφθέγξατο δίνης·
"Ω Ἀχιλεῦ, περὶ μὲν κρατέεις, περὶ δ' αἴσυλα ῥέζεις
Ἀνδρῶν· αἰεὶ γάρ τοι ἀμύνουσιν θεοὶ αὐτοί. 215
Εἴ τοι Τρῶας ἔδωκε Κρόνου παῖς πάντας ὀλέσσαι,
Ἐξ ἐμέθεν γ' ἐλάσας, πεδίον κάτα μέρμερα ῥέζειν·
Πλήθει γὰρ δή μοι νεκύων ἐρατεινὰ ῥέεθρα,
Οὐδέ τί πῃ δύναμαι προχέειν ῥόον εἰς ἅλα δῖαν,
Στεινόμενος νεκύεσσι· σὺ δὲ κτείνεις ἀϊδήλως. 220
Ἀλλ' ἄγε δὴ καὶ ἔασον· ἄγη μ' ἔχει, ὄρχαμε λαῶν.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ἔσται ταῦτα, Σκάμανδρε διοτρεφὲς, ὡς σὺ κελεύεις·
Τρῶας δ' οὐ πρὶν λήξω ὑπερφιάλους ἐναρίζων,
Πρὶν ἕλσαι κατὰ ἄστυ, καὶ Ἕκτορι πειρηθῆναι 225
Ἀντιβίην, ἤ κέν με δαμάσσεται, ἤ κεν ἐγὼ τόν.
Ὣς εἰπὼν, Τρώεσσιν ἐπέσσυτο, δαίμονι ἶσος.
Καὶ τότ' Ἀπόλλωνα προσέφη Ποταμὸς βαθυδίνης·
Ὦ πόποι, Ἀργυρότοξε, Διὸς τέκος, οὐ σύ γε βουλὰς
Εἰρύσαο Κρονίωνος, ὅ τοι μάλα πόλλ' ἐπέτελλε 230
Τρωσὶ παριστάμεναι καὶ ἀμύνειν, εἰσόκεν ἔλθῃ
Δείελος ὀψὲ δύων, σκιάσῃ δ' ἐρίβωλον ἄρουραν.
Ἦ, καὶ Ἀχιλλεὺς μὲν δουρικλυτὸς ἔνθορε μέσσῳ,
Κρημνῷ ἀπαΐξας· ὁ δ' ἐπέσσυτο, οἴδματι θύων·
Πάντα δ' ὄρινε ῥέεθρα κυκώμενος· ὦσε δὲ νεκροὺς 235

213. ΕΙ. Ὁμοιωθείς.
214. ΡΕ. Πράτιεις.
220. ΣΤΕΙ. Στινούμενος. ΑΙ. Ἀφανιστικῶς, ὀλεθρίως.
221. ΑΓΗ. Ἔκπληξις, θαῦμα.
225. ΕΛ. Συνιλάσαι, συγκλεῖσαι.
230. ΕΙ. Ἐφύλαξας.
232. ΔΕΙ. Ἡ ὀψινὴ κατάστασις τοῦ ἡλίου, παρ' Ἀτλικοῖς δείλος λεγομένη.
234. ΟΙΔ. Οἰδήματι, κύματι. ΘΥ. Πληθύων καὶ ἐνθουσιωδῶς ὁρμῶν.
235. ΚΥ. Ταρασσόμενος.

Πολλὺς, οἵ ῥα κατ' αὐτὸν ἅλις ἔσαν, ὃς κτάν' Ἀχιλλεύς·
Τὺς ἔκβαλλε θύραζε, μεμυκὼς ἠΰτε ταῦρος,
Χέρσονδε· ζωὺς δ' ἐσάω κατὰ καλὰ ῥέεθρα,
Κρυπτῶν ἐν δίνῃσι βαθείῃσιν μεγάλῃσι.
Δεινὸν δ' ἀμφ' Ἀχιλῆα κυκώμενον ἵστατο κῦμα, 240
Ὤθει δ' ἐν σάκεϊ πίπτων ῥόος, οὐδὲ πόδεσσιν
Εἶχε στηρίζαθαι· ὁ δὲ πτελέην ἕλε χερσὶν
Εὐφυέα, μεγάλην· ἡ δ' ἐκ ῥιζῶν ἐριποῦσα
Κρημνὸν ἅπαντα διῶσεν, ἐπέσχε δὲ καλὰ ῥέεθρα
Ὀζοισιν πυκινοῖσι· γεφύρωσεν δέ μιν αὐτὸν, 245
Εἴσω πᾶσ' ἐριποῦσ'· ὁ δ' ἄρ' ἐκ λίμνης ἀνορούσας,
Ἤϊξεν πεδίοιο ποσὶ κραιπνοῖσι πέτεσθαι,
Δείσας· οὐδ' ἔτ' ἔληγε μέγας θεὸς, ὦρτο δ' ἐπ' αὐτὸν
Ἀκροκελαινιόων, ἵνα μιν παύσειε πόνοιο
Δῖον Ἀχιλῆα, Τρώεσσι δὲ λοιγὸν ἀλάλκοι. 250
Πηλείδης δ' ἀπόρουσεν, ὅσον τ' ἐπὶ δουρὸς ἐρωὴ,
Αἰετοῦ οἴματ' ἔχων μέλανος, τοῦ θηρητῆρος,
Ὃς θ' ἅμα κάρτιστός τε καὶ ὠκιστος πετεηνῶν·
Τῷ εἰκὼς ἤϊξεν· ἐπὶ στήθεσσι δὲ χαλκὸς
Σμερδαλέον κονάβιζεν· ὕπαιθα δὲ τοῖο λιαθεὶς 255
Φεῦγ', ὁ δ' ὄπιθε ῥέων ἕπετο μεγάλῳ ὀρυμαγδῷ.

237. ΘΥ. Ἔξω. ΜΕ. Ἐντεῦθεν κινηθέντες οἱ μεθ' Ὅμηρον ποιηταὶ, ταυρομόρφους λέγουσιν εἶναι τοὺς ποταμούς.

238. ΧΕΡ. Εἰς τὴν γῆν.

242. ΣΤ. Οὐ δὲ ἠδύνατο στῆναι τοῖς ποσίν.

243. ΕΥ. Εὐπεφυκυῖαν, μεγάλην.

244. ΔΙΩ. Συνεμόχλευσεν, ἀπεώσατο.

245. ΓΕ. Διαβατὸν ἐποίησεν.

246. ΕΡΙ. Πεσοῦσα.

249. ΑΚΡΟ. Τὸ ἄνω μέρος τοῦ κύματος ἐξ ἐπιπολῆς μελαινόμενος· τοιοῦτοι δέ εἰσι πάντες οἱ ὀξεῖς ποταμοί.

252. ΟΙ. Ὁρμήματα. ΜΕ. Μέλανος ὄντος· εἶτα ἀπὸ ἄλλης ἀρχῆς ὃ θηρητῆρος· τινὲς δὲ, μέλανός τυ, ἤγουν μέλανός τινος· μελανόστυ Ἀριστοτέλης, συνθέτως, κατὰ βαρεῖαν τάσιν, ὡς Ὀρέστου. Φησὶ γὰρ τοὺς ἀετοὺς μέλανα ὀστέα ἔχειν· τινὲς δὲ γράφουσι μελανόσσου, παρὰ τὸ μέλανας ὀφθαλμοὺς ἔχειν.

253. ΩΚΙ. Τάχιστος.

254. ΕΙ. Ὁμοιωθείς.

255. ΥΠΑΙ. Ἐκ πλαγίου, ἢ ἔμπροσθεν. ΔΙΑΣ. Χωρισθεὶς, ἐκκλίνας.

Ὡς δ' ὅτ' ἀνὴρ ὀχετηγὸς ἀπὸ κρήνης μελανύδρου
Ἀμφυτὰ καὶ κήπους ὕδατος ῥόον ἡγεμονεύει,
Χερσὶ μάκελλαν ἔχων, ἀμάρης δ' ἐξ ἔχματα βάλλων·
Τοῦ μέν τε πορρέοντος ὑπὸ ψηφῖδες ἅπασαι 260
Ὀχλεῦνται, τὸ δέ τ' ὦκα κατειβόμενον κελαρύζει
Χώρῳ ἔνι προαλεῖ, φθάνει δέ τε καὶ τὸν ἄγοντα·
Ὡς αἰεὶ Ἀχιλῆα κιχήσατο κῦμα ῥόοιο,
Καὶ λαιψηρὸν ἐόντα· θεοὶ δέ τε φέρτεροι ἀνδρῶν.
Ὁσσάκι δ' ὁρμήσειε ποδάρκης δῖος Ἀχιλλεὺς 265
Στῆναι ἐναντίβιον, καὶ γνώμεναι, εἴ μιν ἅπαντες
Ἀθάνατοι φοβέουσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
Τοσσάκι μιν μέγα κῦμα διϊπετέος ποταμοῖο
Πλάζ' ὤμους καθύπερθεν· ὁ δ' ὑψόσε ποσσὶν ἐπήδα,
Θυμῷ ἀνιάζων· ποταμὸς δ' ὑπὸ γούνατ' ἐδάμνα 270
Λάβρος, ὕπαιθα ῥέων, κονίην δ' ὑπέρεπλε ποδοῖϊν·
Πηλείδης δ' ὤμωξεν, ἰδὼν ἐς οὐρανὸν εὐρύν·
"Ζεῦ πάτερ, ὡς ὅτις με θεῶν ἐλεεινὸν ὑπέσχη
"Ἐκ ποταμοῖο σαώσαι· ἔπειτα δὲ καί τι πάθοιμι.
"Ἄλλος δ' ὅτις μοι τόσον αἴτιος οὐρανιώνων, 275
"Ἀλλὰ φίλη μήτηρ, ἥ με ψεύδεσσιν ἔθελγεν·
"Ἡ μ' ἔφατο Τρώων ὑπὸ τείχεϊ θωρηκτάων
"Λαιψηροῖς ὀλέεσθαι Ἀπόλλωνος βελέεσσιν.
"Ὡς μ' ὄφελ' Ἕκτωρ κτεῖναι, ὃς ἐνθάδε γ' ἔτραφ' ἄριστος,

257. ΟΧΕ. Ὑδραγωγὸς, ὁ τὸν τοῦ ὕδατος ὀχετὸν καθαίρων.

259. ΜΑ. Μακέλλην· ἔτι δὲ εἶδος ἀργαλείου. ΑΜΑ. Τῆς ὑδροῤῥόης τοῦ ὀχετοῦ. ΕΧ. Ἐμφράγματα.

261. ΚΑ. Καταφερόμενον, καταῤῥέον. ΚΕ. Ποιὸν ἦχον ἀποτελεῖ.

262. ΠΡΟ. Κατωφερεῖ.

269. ΠΛΑ. Ἀστίκρουεν, ἐπλάνα, ἢ προσεπίλαζεν.

270. ΑΝΙ. Ἀνιώμενος, λυπούμενος.

271. ΛΑ. Ἀθρόος, σφοδρός. ΚΟ. Κόνιν, τίφραν. ΥΠΕ. Ὑπέσυρεν, ὑφήρπαζε, ὄπισθεν ὑπεδύετο.

274. ΕΠΕΙ. Σωθείην ἐκ τοῦ ποταμοῦ· ἔπειτα δὲ καὶ πάθοιμί τι· κατὰ τὸ, ἢν δὲ φάει καὶ ὄλεσσον.

276. ΕΘΕΛ. Ἐξηπάτα.

278. ΛΑΙ. Ταχέσι.

Ἦ, καὶ ἐπῶρτ' Ἀχιλῆϊ κυκώμενος, ὑψόσε θύων,
Μορμύρων ἀφρῷ τε, καὶ αἵματι, καὶ νεκύεσσι. 325
Περφύρεον δ' ἄρα κῦμα διϊπετέος ποταμοῖο
Ἴσατ' ἀειρόμενον, κατὰ δ' ἤρεε Πηλέϊωνα.
Ἤρη δὲ μέγ' ἄυσε, περιδδείσασ' Ἀχιλῆϊ,
Μή μιν ἀποέρσειε μέγας Ποταμὸς βαθυδίνης·
Αὐτίκα δ' Ἥφαιστον προσεφώνεεν ὃν φίλον υἱόν· 330
Ὄρσεο, Κυλλοπόδιον, ἐμὸν τέκος· ἄντα σέθεν γὰρ
Ξάνθον δινήεντα μάχη ἠΐσκομεν εἶναι·
Ἀλλ' ἐπάμυνε τάχιστα, πιφαύσκεο δὲ φλόγα πολλήν·
Αὐτὰρ ἐγὼ Ζεφύροιο καὶ ἀργέστεω Νότοιο
Εἴσομαι ἐξ ἀλόθεν χαλεπὴν ὄρσουσα θύελλαν, 335
Ἦ κεν ἀπὸ Τρώων κεφαλὰς καὶ τεύχεα κήαι,
Φλέγμα κακὸν φορέουσα· σὺ δὲ Ξάνθοιο παρ' ὄχθας
Δένδρεα καῖε, ἐν δ' αὐτὸν ἵει πυρί· μηδέ σε πάμπαν
Μειλιχίοις ἐπέεσσιν ἀποτρεπέτω καὶ ἀρειῇ·
Μηδὲ πρὶν ἀπόπαυε τεὸν μένος, ἀλλ' ὁπόταν δὴ 340
Φθέγξομ' ἐγὼν ἰάχουσα, τότε σχεῖν ἀκάματον πῦρ.
Ὣς ἔφαθ'· Ἥφαιστος δὲ τιτύσκετο θεσπεσιδαὲς πῦρ.
Πρῶτα μὲν ἐν πεδίῳ πῦρ δαίετο, καῖε δὲ νεκροὺς
Πολλοὺς, οἵ ῥα κατ' αὐτὸν ἅλις ἔσαν, ὃς κτάν' Ἀχιλλεύς·

γαῖρ, ὁ τάφος· τὸ πλῆρες, τυμβοχοΐσαι· ὕπνος Ἀρίσταρχος, καὶ Ἀσκαλωνίτης, καὶ οἱ πλείους· ἄμεινον γὰρ ἐν τῷ ῥήματι τὸ πρᾶγμα λαμβάνειν, ἢ τῷ ὀνόματι.

324. ΘΥ. Πληθύων καὶ ὁρμῶν.

325. ΜΟΡ. Ἀναζίων, πληθύων.

326. ΠΟΡ. Νῦν, βαθύ. ΔΙ. Τοῦ ὀκ τῶ ὄμβρων ὑπὸ Διὸς γιγνόμενος.

327. ΑΕΙ. Ἐπαιρόμενον, ὑψούμενον. ΚΑ. Κατελάμβανε δέ.

331. ΚΥΛ. Χωλέ· λέγει δὲ τὸν Ἥφαιστον. ΑΝ. Κατὰ σὲ γὰρ ἄξιον ἀνταγωνιστὴν ἡγούμεθα τὸν Ξάνθον.

333. ΠΙ. Ἐνδείκνυσο δὲ, καὶ δίεγειρε πολλὴν φλόγα ἐμφαίνων, ἵνα γνῶ τὴν τοῦ πυρὸς δύναμιν.

335. ΕΙ. Ὁρμήσω, πορεύσομαι.

336. ΚΗ. Καύσει.

337. ΦΛΕΓ. Φλόγωσιν, πύρωσιν.

338. ΙΕΙ. Καὶ αὐτὸν δὲ τὸν Ξάνθον περιβαλλε πολλῇ φλογί.

341. ΣΧΕΙΝ. Ἐπιχεῖν. ΑΚΑ. Ἀκατάπαυστον, πολύ· ἢ παρ' ὅσον τὸ πῦρ ἀκμητὶ ἐκβόσκεται τὴν ὕλην.

342. ΤΙΤΥΣ. Καλεσκεύαζεν, ἠτρέπιζεν.

Πᾶν δ' ἐξηράνθη πεδίον, ἀχέτο δ' ἀγλαὸν ὕδωρ. 345
Ὡς δ' ὅτ' ὀπωρινὸς Βορέης νεοαρδέ' ἀλωὴν
Αἶψ' ἂν ξηράνῃ, χαίρει δέ μιν ὅστις ἐθείρει·
Ὡς ἐξηράνθη πεδίον πᾶν, κάδδ' ἄρα νεκρὺς
Κῆεν, ὁ δ' ἐς ποταμὸν τρέψε φλόγα παμφαάων·
Καίοντο πτελέαί τε, καὶ ἰτέαι, ἠδὲ μυρῖκαι, 350
Καίετο δὲ λωτός τ', ἠδὲ θρύον, ἠδὲ κύπειρον,
Τὰ περὶ καλὰ ῥέεθρα ἅλις ποταμοῖο πεφύκει·
Τείροντ' ἐγχέλυές τε, καὶ ἰχθύες, οἱ κατὰ δίνας,
Οἱ κατὰ καλὰ ῥέεθρα κυβίστων ἔνθα κ' ἔνθα,
Πνοιῇ τειρόμενοι πολυμήτιος Ἡφαίστοιο. 355
Καίετο δ' ἐν Ποταμοῖο, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
"Ἥφαιστ', ἔστις σοί γε θεῶν δύνατ' ἀντιφερίζειν,
Οὐδ' ἂν ἐγὼ σοί γ' ὧδε πυρὶ φλεγέθοντι μαχοίμην·
Λῆγ' ἔριδος· Τρῶας δὲ καὶ αὐτίκα δῖος Ἀχιλλεὺς
Ἄστεος ἐξελάσειε· τί μοι ἔριδος καὶ ἀρωγῆς; 360
Φῇ πυρὶ καιόμενος· ἀνὰ δ' ἔφλυε καλὰ ῥέεθρα.
Ὡς δὲ λέβης ζεῖ ἔνδον, ἐπειγόμενος πυρὶ πολλῷ,
Κνίσσῃ μελδόμενος ἀπαλοτρεφέος σιάλοιο,
Πάντοθεν ἀμβαλάδην, ὑπὸ δὲ ξύλα κάγκανα κεῖται·
Ὡς τὼ καλὰ ῥέεθρα πυρὶ φλέγετο, ζέε δ' ὕδωρ· 365
Οὐδ' ἔθελε προρέειν, ἀλλ' ἴχετο· τείρε δ' ἀϋτμὴ,
Ἡφαίστοιο βίηφι πολύφρονος· αὐτὰρ ὅγ' Ἥρην,

346. ΟΠΠ. Ὁ κατὰ τὴν ὀπώραν πνέων. ΝΕΟ. Νωγὶ σπιστισμένην καὶ ἀρδευθεῖσαν.

347. ΕΘΕΙ. Ἐξ ἔθους ἐπιμελοῖτο.

351. ΘΡΥ. Εἶδος πόας, ὃ λεγόμενος θρύσις. ΚΥ. Ἑνιοί φασι κόριον.

355. ΠΝΟΙ. Θέρμῃ. ΠΟ. Πολυτέχνου.

356. ΙΣ. Δύναμις.

361. ΑΝΑ. Ἀνίζει.

363. ΚΝΙΣ. Ἀντὶ τοῦ, τὰ λίπη τήκει· παθητικὸν ἀντὶ ἐνεργητικοῦ τὸ μέλδων. ΣΙΑ. Εὐτραφοῦς, λιπαροῦ.

364. ΑΜ. Ἀναβάλλων. ΚΑΓ. Καλάξηρα, παρὰ τὸ κῆαι.

366. ΕΘ. Νῦν, οὐκ ἠδύνατο. ΙΕ. Ἀλλὰ ἐπίχετο.

Πολλὰ λισσόμενος, ἔπεά τε τερόεντα προσηύδα·
‘Ἥρη, τίπτε σὸς υἱὸς ἐμὸν ῥόον ἔχραε κήδειν
‘Ἐξ ἄλλων; οὐ μέν τοι ἐγὼ τόσον αἴτιός εἰμι, 370
‘Ὅσσον οἱ ἄλλοι πάντες, ὅσοι Τρώεσσιν ἀρωγοί.
‘Ἀλλ’ ἤτοι μὲν ἐγὼν ἀποπαύσομαι, εἰ σὺ κελεύεις·
‘Παυέσθω δὲ καὶ ἄλλος· ἐγὼ δ’ ἐπὶ καὶ τόδ’ ὀμόσσαι,
‘Μήποτ’ ἐπὶ Τρώεσσιν ἀλεξήσειν κακὸν ἦμαρ,
‘Μηδ’ ὁπόταν Τροίη μαλερῷ πυρὶ πᾶσα δάηται 375
‘Καιομένη, καίωσι δ’ ἀρήϊοι υἷες Ἀχαιῶν.’
Αὐτὰρ ἐπεὶ τόγ’ ἄκουσε θεὰ λευκώλενος Ἥρη,
Αὐτίκ’ ἄρ’ Ἥφαιστον προσεφώνεεν ὃν φίλον υἱόν·
‘Ἥφαιστε, σχέο, τέκνον ἀγακλέες· οὐ γὰρ ἔοικεν
‘Ἀθάνατον θεὸν ὧδε βροτῶν ἕνεκα συφελίζειν.’ 380
Ὣς ἔφαθ’· Ἥφαιστος δὲ κατέσβεσε θεσπιδαὲς πῦρ·
Ἄψορρον δ’ ἄρα κῦμα κατέσσυτο καλὰ ῥέεθρα.
Αὐτὰρ ἐπεὶ Ξάνθοιο δάμη μένος, οἱ μὲν ἔπειτα
Παυσάσθην· Ἥρη γὰρ ἐρύκακε χωομένη περ.
Ἐν δ’ ἄλλοισι θεῇσιν ἔρις τέσε βεβριθυῖα, 385
Ἀργαλέη, δίχα δέ σφιν ἐνὶ φρεσὶ θυμὸς ἄητο·
Σὺν δ’ ἔπεσον μεγάλῳ ὀμάδῳ, βράχε δ’ εὐρεῖα χθών·
Ἀμφὶ δὲ σάλπιγξεν μέγας οὐρανός· ἄϊε δὲ Ζεὺς
Ἥμενος Οὐλύμπῳ, ἐγέλασσε δέ οἱ φίλον ἦτορ
Γηθοσύνῃ, ὅθ’ ὁρᾶτο θεὺς ἔριδι ξυνιόντας. 390

369. ΕΧΡΑ. Ἐπεὶ ἐξαρχῆς ἐπηνέχθη σφοδρῶς. ΚΗ. Λυπεῖν, κακῶν.
370. ΕΞ. Ὑπὲρ τοὺς ἄλλους.
375. ΜΑ. Τῷ πάντα μαραίνοντι.
ΔΑ. Καίηται.
379. ΣΧΕ. Ἐπίχεις.
380. ΣΤΥ. Ταράσσειν, θλίβειν, κακοῦν.
382. ΚΑ. Γράφεται καὶ κατέσσυτο, ἵν’ ἡ τὰ καλὰ ῥεῖθρα ὥρμησε.
385. ΒΕ. Βαρεῖα, δεινή.
386. ΔΙ. Διχῶς δὲ αὐτῶν ὡρμήθη ἡ ψυχή· τυτέτι, διάφορον ἔχον τὴν γνώμην. ΑΗ. Ἐκινεῖτο, ὥρμα.
388. ΑΜ. Περιήχησεν δὲ ἡ σάλπιγξ, ἐξ ὧν προείρηται, ὅτι τῶν ἰδίων χρόνων ἀπόμακε τὴν σάλπιγγα ὁ Ποιητής.

Ἔνθ' οἴγ' οὐκ ἔτι δηρὸν ἀφέσασαν· ἦρχε γὰρ Ἄρης
Ῥινοτόρος, καὶ πρῶτος Ἀθηναίῃ ἐπόρσυνε,
Χάλκεον ἔγχος ἔχων· καὶ ὀνείδειον φάτο μῦθον·
Τίπτ' αὖ, ὦ κυνόμυια, θεὸς ἔριδι ξυνελαύνεις,
Θάρσος ἄπτον ἔχουσα; μέγας δέ σε θυμὸς ἀνῆκεν. 395
Ἦ οὐ μέμνῃ, ὅτε Τυδείδην Διομήδε' ἀνῆκας
Οὐτάμεναι; αὐτὴ δὲ πανόψιον ἔγχος ἐλοῦσα,
Ἰθὺς ἐμεῦ ὦσας, διὰ δὲ χρόα καλὸν ἔδαψας·
Τῷ σ' αὖ νῦν οἴω ἀποτισέμεν, ὅσσα μ' ἔοργας.
Ὣς εἰπὼν, ἔτυψε κατ' Αἰγίδα θυσσανόεσσαν, 400
Σμερδαλέην, ἣν οὐδὲ Διὸς δάμνησι κεραυνός·
Τῇ μιν Ἄρης ἔτυψε μιαιφόνος ἔγχεϊ μακρῷ·
Ἡ δ' ἀναχασσαμένη λίθον εἵλετο χειρὶ παχείῃ,
Κείμενον ἐν πεδίῳ, μέλανα, τρηχύν τε, μέγαν τε,
Τόν ῥ' ἄνδρες πρότεροι θέσαν ἔμμεναι οὖρον ἀρούρης· 405
Τῷ βάλε θοῦρον Ἄρηα κατ' αὐχένα, λῦσε δὲ γυῖα·
Ἑπτὰ δ' ἐπέσχε πέλεθρα πεσών, ἐκόνισσε δὲ χαίτας·
Τεύχεά τ' ἀμφαράβησε· γέλασσε δὲ Παλλὰς Ἀθήνη,
Καί οἱ ἐπευχομένη ἔπεα πτερόεντα προσηύδα·
Νηπύτε, οὐδέ νύ πώ περ ἐπεφράσω, ὅσσον ἀρείων 410
Εὔχομ' ἐγὼν ἔμεναι, ὅτι μοι μένος ἀντιφερίζεις;
Οὕτω κεν τῆς μητρὸς ἐρινύας ἐξαποτίνοις,

392. ΡΙ. Ὁ τιτρώσκων καὶ διακόπτων τοὺς ῥινούς· ῥινοὶ δὲ καλοῦνται αἱ ἀσπίδες, ὅτι ἐκ βοείων βυρσῶν εἰσιν, ὁμοίως δὲ καὶ τὸ τῶν ἀνθρώπων δέρμα.

393. ΟΝΕΙ. Ὀνειδιστικόν.

394. ΚΥ. Ἀναιδὴς ὡς μυῖα· ἐκ δύο ἀναιδῶν τελείων, θῆ τε κυνὸς, καὶ τ' μυίας, διὰ τὸ ὑπερβάλλον τῆς ἀναιδείας. ΣΥ. Συμβάλλεις εἰς μάχην.

395. ΑΗ. Μέγιστον θάρσος.

397. ΠΑ. Ἐν τῇ πάντων ὄψει ἐρώμενον, πᾶσιν ὁρώμενον· οἱονεὶ πανόπτατον.

398. ΕΔΑ. Ἔκοψας.

403. ΑΝΑ. Ὑποχωρήσασα.

405. ΟΥ. Ὅρον χώρας.

408. ΑΜ. Περιήχησεν.

410. ΕΠΕ. Ἐπίγνως, ἐνόησας. ΑΡΕΙ. Βελτίων.

412. ΟΥ. Οὕτως ἂν σε αἱ τῆς μητρὸς ἐρινύες μετέλθοιεν.

«Ἦ τοι χωομένη κακὰ μήδεται, ἕνεκ' Ἀχαιοὺς
«Κάλλιπες, αὐτὰρ Τρωσὶν ὑπερφιάλοισιν ἀμύνεις.»
Ὣς ἄρα φωνήσασα, πάλιν τράπεν ὄσσε φαεινώ· 415
Τὸν δ' ἄγε χειρὸς ἑλοῦσα Διὸς θυγάτηρ Ἀφροδίτη,
Πυκνὰ μάλα στενάχοντα· μόγις δ' ἐσαγείρατο θυμόν.
Τὴν δ' ὡς οὖν ἐνόησε θεὰ λευκώλενος Ἥρη,
Αὐτίκ' Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα·
«Ὦ πόποι, αἰγιόχοιο Διὸς τέκος, ἀπρυτόνη, 420
«Καὶ δ' αὖθ' ἡ κυνόμυια ἄγει βροτολοιγὸν Ἄρηα
«Δηΐου ἐκ πολέμοιο κατὰ κλόνον· ἀλλὰ μέτελθε.»
Ὣς φάτ'· Ἀθηναίη δὲ μετέσσυτο, χαῖρε δὲ θυμῷ·
Καί ῥ' ἐπιεισαμένη, πρὸς στῆθεα χειρὶ παχείῃ
Ἥλασε, τῆς δ' αὐτοῦ λύτο γύατα καὶ φίλον ἦτορ. 425
Τὼ μὲν ἄρ' ἄμφω κεῖντο ποτὶ χθονὶ παλυβοτείρῃ·
Ἡ δ' ἄρ' ἐπευχομένη ἔπεα πτερόεντ' ἀγόρευε·
«Τοιοῦτοι νῦν πάντες, ὅσοι Τρώεσσιν ἀρωγοί,
«Εἶεν, ὅτ' Ἀργείοισι μαχοίατο θωρηκτῆσιν,
«Ὧδέ τε θαρσαλέοι καὶ τλήμονες, ὡς Ἀφροδίτῃ 430
«Ἦλθεν Ἄρει ἐπίκουρος, ἐμῷ μένει ἀντιόωσα·
«Τῷ κεν δὴ πάλαι ἄμμες ἐπαυσάμεθα πτολέμοιο,
«Ἰλίου ἐκπέρσαντες εὐκτίμενον πτολίεθρον.»
Ὣς φάτο· μείδησεν δὲ θεὰ λευκώλενος Ἥρη.
Αὐτὰρ Ἀπόλλωνα προσέφη κρείων Ἐνοσίχθων· 435
«Φοῖβε, τίη δὴ νῶϊ διέσταμεν; ἠδὲ ἔοικεν,
«Ἀρχάντων ἑτέρων· τὸ μὲν αἴσχιον, αἴ κ' ἀμαχητὶ
«Ἴομεν Οὔλυμπόνδε, Διὸς πότι χαλκοβατὲς δῶ.

413. ΧΩ. Νῦν, ὀργιζομένη.
422. ΜΕ. Ἐπ' αὐτὴν παραγινοῦ· τιμώρησον.
423. ΜΕ. Ὥρμησεν.
424. ΕΠΙ. Ἐφορμήσασα.
430. ΘΑΡ. Εὐθαρσεῖς.
437. ΑΙ. Ὀνειδιστικόν.
438. ΚΑ. Ἰσχυρόν.

Ἄρχε· σὺ γὰρ γενεῇφι νεώτερος· οὐ γὰρ ἔμοιγε
Καλὸν, ἐπεὶ πρότερος γενόμην, καὶ πλείονα οἶδα. 440
Νηπύτι', ὡς ἄνοον κραδίην ἔχες· ἠδέ νυ τῶν περ
Μέμνηαι, ὅσα δὴ πάθομεν κακὰ Ἴλιον ἄμφι,
Μῦνοι νῶϊ θεῶν, ὅτ' ἀγήνορι Λαομέδοντι
Πὰρ Διὸς ἐλθόντες θητεύσαμεν εἰς ἐνιαυτὸν,
Μισθῷ ἔπι ῥητῷ, ὁ δὲ σημαίνων ἐπέτελλεν. 445
Ἤτοι ἐγὼ Τρώεσσι πόλιν πέρι τεῖχος ἔδειμα
Εὐρύ τε καὶ μάλα καλὸν, ἵν' ἄῤῥηκτος πόλις εἴη·
Φοῖβε, σὺ δ' εἰλίποδας ἕλικας βοῦς βουκολέεσκες
Ἴδης ἐν κνημοῖσι πολυπτύχου, ὑληέσσης.
Ἀλλ' ὅτε δὴ μισθοῖο τέλος πολυγηθέες Ὧραι 450
Ἐξέφερον, τότε νῶϊ βιήσατο μισθὸν ἅπαντα
Λαομέδων ἔκπαγλος, ἀπειλήσας δ' ἀπέπεμπε.
Σοὶ μὲν ὅγ' ἠπείλησε πόδας καὶ χεῖρας ὕπερθε
Δήσειν, καὶ περάαν νήσων ἔπι τηλεδαπάων·
Στεῦτο δ' ὅγ' ἀμφοτέρων ἀποκοψέμεν ἄατα χαλκῷ. 455

443. ΑΓΗ. Ἀνδρείῳ.

444. ΘΗ. Ἐπὶ μισθῷ ἐδουλεύσαμεν.

445. ΡΗ. Ἐπὶ ὡμολογημένῳ καὶ ὡρισμένῳ μισθῷ· πῶς δὲ, φησὶν, Ἀπόλλων μὲν οὐ μέμνηται τῆς παρὰ Λαομέδοντος θητείας, Ποσειδῶν δὲ μνείαν ταύτης ποιεῖται; καὶ ῥητέον, ὅτι Ποσειδῶν μὲν εἰκότως τοῖς Ἕλλησι βοηθεῖ, καὶ προσέτι παροξύνεται τῇ μνήμῃ. Ἀπόλλων δὲ οὐ μνησικακεῖ, διότι μᾶλλον τιμᾶται παρ' αὐτῶν· ἡ δὲ τελευταία χάρις, κἂν ἐλάσσων ᾖ, δύναται μεῖζον ἔγκλημα λῦσαι.

446. ΕΔΕΙ. Ὠκοδόμησα.

448. ΦΟΙ. Φασὶ τὸν Ἀπόλλωνα κεκλῆσθαι νόμιον, διὰ τοιαύτην αἰτίαν· οἱ παλαιοὶ τὰς λοιμὰς ἐξ Ἀπόλλωνος ἐνέμιζον· πᾶς δὲ λοιμὸς ἀπὸ τῶν ἀλόγων ἄρχεται, ὡς φησι καὶ Ὅμηρος· Οὐρῆας μὲν πρῶτον ἐπώχετο, καὶ κύνας ἀργοὺς· βελόμενοι δὲ τὸν θεὸν δυσωπεῖν, ἵνα τὰς λοιμὰς ἀποστρέψῃ, νόμιον καὶ φύλακα τῶν βοσκημάτων ἐκάλεσαν· ὅθεν ἠδύναιο Ὅμηρος εἰπεῖν ἑβουκόλησε παρὰ Λαομέδοντι, καὶ Ἀδμήτου ἱπποφόρβησεν· ὅτως ἐγορεῖ Ἀπολλόδωρος. ΒΟΥ. Ἔνεμες, ἔβοσκες· ἕλικας δὲ τὰς βοῦς φησιν ἐπιθετικῶς, ἤτοι ἀπὸ τῆς κινήσεως τῶν ποδῶν, καθ' ὃ εἰλίποδες λέγονται, ἢ τὰς ἑλικοειδῆ τὰ κέρατα ἔχοντας, ὅ ἐστιν, ἐπικαμπῆ.

449. ΚΝΗ. Ταῖς προβάσεσι τῶν ὁρῶν. ΠΟ. Πολλὰς ἐξοχὰς καὶ ἀποκλίσεις ἔχοντος.

450. ΠΟ. Πολλὴν χαρὰν τοῖς ἀνθρώποις τῇ αὐτῶν ἐπελεύσει ἐμποιοῦσαι.

451. ΒΙ. Μετὰ βίας ἀφείλετο.

454. ΠΕ. Περᾶσαι. ΤΗ. Πέρᾳ ὑσῶν.

455. ΣΤΕΥ. Διεβεβαιοῦτο, ὑπεσχνεῖτο. ΑΠΟ. Ἀπολεῖσαι. ΟΥ. Ὅτα.

'Νῶϊ δέ τ' ἄψορροι κίομεν κεκοτηότι θυμῷ,
'Μιθῦ χωόμενοι, τὸν ὑποσὰς οὐκ ἐτέλεσσε.
'Τῦ δὴ νῦν λαοῖσι φέρεις χάριν; ὐδὲ μεθ' ἡμέων
'Πειρᾷ, ὥς κεν Τρῶες ὑπερφίαλοι ἀπόλωνται
'Πρόχνυ κακῶς, σὺν παισὶ κ᾽ αἰδοίης ἀλόχοισι;' 460
Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἑκάεργος Ἀπόλλων·
'Ἐννοσίγαι, οὐκ ἄν με σαόφρονα μυθήσαιο
'Ἔμμεναι, εἰ δή σοί γε βροτῶν ἕνεκα πολεμίζω,
'Δειλῶν, οἳ φύλλοισιν ἐοικότες, ἄλλοτε μέν τε
'Ζαφλεγέες τελέθυσιν, ἀρύρης καρπὸν ἔδοντες, 465
'Ἄλλοτε δ' αὖ φθινύθυσιν ἀκήριοι· ἀλλὰ τάχιστα
'Παυσώμεθα μάχης· οἱ δ' αὐτοὶ θηριαάσθων.'
Ὣς ἄρα φωνήσας πάλιν ἐτράπετ'· αἴδετο γάρ ῥα
Πατροκασιγνήτοιο μιγήμεναι ἐν παλάμῃσι.
Τὸν δὲ κασιγνήτη μάλα νείκεσε, πότνια θηρῶν, 470
Ἄρτεμις ἀγροτέρη, κ᾽ ὀνείδειον φάτο μῦθον·
'Φεύγεις δή, Ἑκάεργε; Ποσειδάωνι δὲ νίκην
'Πᾶσαν ἐπέτρεψας; μέλεον δέ οἱ εὖχος ἔδωκας;
'Νηπύτιε, τί νυ τόξον ἔχεις ἀνεμώλιον αὔτως;
'Μή σεῦ νῦν ἔτι πατρὸς ἐνὶ μεγάροισιν ἀκούσω 475
'Εὐχομένου, ὡς τὸ πρὶν ἐν ἀθανάτοισι θεοῖσιν,
'Ἄντα Ποσειδάωνος ἐναντίβιον πολεμίζειν.'
Ὣς φάτο· τὴν δ' ὅτι προσέφη ἑκάεργος Ἀπόλλων·

456. ΚΕ. Ὀργίλῳ. Ὀργισμένῃ τῇ ψυχῇ.
458. ΤΟΥ. Διὰ ὧν τὰς τοιαύτας αἰτίας, τοῖς τούτου ὄχλοις φέρεις χάριν.
460. ΠΡΟΧ. Παντελῶς πρόρριζοι.
462. ΣΑΟ. Σάφρονα, φρόνιμον.
464. ΔΕΙ. Δειλέων, ἀθλίων. ΕΟ. Ἀντὶ τῦ, φύλλοις ὅμοιοι, διὰ τὸ κ᾽ αὐτὰ ἀποῤῥέοντα ἀφανίζεσθαι.
465. ΖΑ. Μεγάλως ἔνθερμοι, ἐνεργεῖς, δρασήριοι, ἢ λαμπροὶ κ᾽ αὐξανόμενοι. ΤΕ. Γίγνονται.
467. ΔΗ. Φιλονεικείτωσαν.
468. ΑΙ. Ἠδεῖτο.
469. ΠΑ. Εἰς χεῖρα ἐλθεῖν τῦ πατρὸς ἀδελφοῦ.
471. ΑΓΡΟ. Κυνηγετικὴ, θηρατική· λέγει δὲ τὴν Ἄρτεμιν.
473. ΜΕ. Μάταιον.

Ἀλλὰ χολωσαμένη Διὸς αἰδοίη παράκοιτις
Νείκεσεν Ἰοχέαιραν ὀνειδείοις ἐπέεσσι· 480
‘Πῶς δὲ σὺ νῦν μέμονας, κύον ἀδδεὲς, ἀντί ἐμεῖο
‘Στήσαθαι; χαλεπή τοι ἐγὼ μένος ἀντιφέρεσθαι,
‘Τοξοφόρῳ περ ἐοῦσα· ἐπεί σε λέοντα γυναιξὶ
‘Ζεὺς θῆκεν, καὶ ἔδωκε κατακτάμεν, ἥν κ' ἐθέλῃθα.
‘Ἤτοι βέλτερόν ἐστι κατ' ἄρεα θῆρας ἐναίρειν, 485
‘Ἀγροτέρας τ' ἐλάφους, ἢ κρείσσοσιν ἶφι μάχεσθαι.
‘Εἰ δ' ἐθέλεις πολέμοιο δαήμεναι· ὄφρ' εὖ εἰδῇς,
‘Ὅσσον φερτέρη εἰμί, ὅτι μοι μένος ἀντιφερίζεις.’
Ἦ ῥα, καὶ ἀμφοτέρας ἐπὶ καρπῷ χεῖρας ἔμαρπτε
Σκαιῇ, δεξιτερῇ δ' ἄρ' ἀπ' ὤμων αἴνυτο τόξα· 490
Αὐτοῖσιν δ' ἄρ' ἔθεινε παρ' ἤατα μειδιόωσα
Ἐντροπαλιζομένην· ταχέες δ' ἐκπτῆσαν ὀϊστοί·
Δακρυόεσσα δ' ἔπειτα θεὰ φύγεν, ὥστε πέλεια,
Ἣ ῥά θ' ὑπ' ἴρηκος κοίλην εἰσέπτατο πέτρην,
Χηραμόν· ἐδ' ἄρα τῇ γε ἁλώμεναι οὐ μέμορον ἦεν· 495
Ὣς ἡ δακρυόεσσα φύγεν, λίπε δ' αὐτόθι τόξα.
Λητῶ δὲ προσέειπε διάκτορος Ἀργειφόντης·
‘Λητοῖ, ἐγὼ δέ τοι ἔτι μαχήσομαι· ἀργαλέον δὲ
‘Πληκτίζεαι' ἀλόχοισι Διὸς νεφεληγερέταο·
‘Ἀλλὰ μάλα πρόφρασσα μετ' ἀθανάτοισι θεοῖσιν 500
‘Εὔχεσθαι ἐμὲ νικῆσαι κρατερῇφι βιήφιν.’

481. ΑΔ. Μὴ διδοικυῖα, θρασεῖα.
482. ΜΕ. Ἐναλίζεσθαι τὴν δύναμιν.
483. ΛΕ. Ἐπίφοβον, ὡς λέοντα.
485. ΒΕΛ. Βέλτιον, κρεῖττον.
486. ΑΓΡΟ. Ἀγρίας.
487. ΔΑ. Μαθεῖν.
489. ΚΑΡ. Ἀμφοτέρας τὰς χεῖρας συνέλαβε τῷ καρπῷ. ΕΜΑΡΠ. Κατέλαβεν.
490. ΑΙ. Ἀφῃρεῖτο.
491. ΕΘΕΙ. Ἔτυψεν.
493. ΠΕ. Περιστεράν.
494. ΙΡΗ. Ἱέρακος. Προσλαμπτέον τὸ, διωκομένη.
495. ΧΗΡΑ. Χώρημα, κατάδυσιν. ΑΛΙΣ. Ληφθῆναι εἱμαρμένον ἦν.
499. ΠΛΗΚ. Διαπαλαίζεσθαι, γυμνάζειν.

Ὣς ἄρ' ἔφη· Λητὼ δὲ συναίνυτο καμπύλα τόξα,
Πεπθεῶτ' ἄλλυδις ἄλλα μετὰ στροφάλιγγι κονίης·
Ἡ μὲν τόξα λαβοῦσα πάλιν κίε θυγατέρος ἧς·
Ἡ δ' ἄρ' Ὄλυμπον ἵκανε, Διὸς ποτὶ χαλκοβατὲς δῶ, 505
Δακρυόεσσα δὲ πατρὸς ἐφέζετο γούνασι κούρη,
Ἀμφὶ δ' ἄρ' ἀμβρόσιος ἑανὸς τρέμε· τὴν δὲ προτὶ οἷ
Εἷλε πατὴρ Κρονίδης, καὶ ἀνήρετο, ἡδὺ γελάσας·
Τίς νύ σε τοιάδ' ἔρεξε, φίλον τέκος, οὐρανιώνων
Ἀμφιδίως, ὡσεί τι κακὸν ῥέζουσαν ἐνωπῇ; 510
Τὸν δ' αὖτε προσέειπεν εὐστέφανος Κελαδεινή·
Σή μ' ἄλοχος συφέλιξε, πάτερ, λευκώλενος Ἥρη,
Ἐξ ἧς ἀθανάτοισιν ἔρις καὶ νεῖκος ἐφῆπται.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Αὐτὰρ Ἀπόλλων Φοῖβος ἐδύσετο Ἴλιον ἱρήν· 515
Μέμβλετο γὰρ οἱ τεῖχος ἐϋδμήτοιο πτόλιος,
Μὴ Δαναοὶ πέρσειαν ὑπὲρ μόρον ἤματι κείνῳ.
Οἱ δ' ἄλλοι πρὸς Ὄλυμπον ἴσαν θεοὶ αἰὲν ἐόντες,
Οἱ μὲν, χωόμενοι, οἱ δὲ, μέγα κυδιόωντες·
Κάδδ' ἵζον παρὰ πατρὶ κελαινεφεῖ. Αὐτὰρ Ἀχιλλεὺς 520
Τρῶας ὁμῶς αὐτούς τ' ὄλεκεν καὶ μώνυχας ἵππους.
Ὡς δ' ὅτε καπνὸς ἰὼν εἰς οὐρανὸν εὐρὺν ἱκάνει
Ἄστεος αἰθομένοιο, θεῶν δέ ἑ μῆνις ἀνῆκε·
Πᾶσι δ' ἔθηκε πόνον, πολλοῖσι δὲ κήδε' ἐφῆκεν·
Ὡς Ἀχιλεὺς Τρώεσσι πόνον καὶ κήδε' ἔθηκεν. 525
Εἱστήκει δ' ὁ γέρων Πρίαμος θείου ἐπὶ πύργου,
Ἐς δ' ἐνόησ' Ἀχιλῆα πελώριον· αὐτὰρ ὑπ' αὐτῷ

502. ΣΥ. Συνελάμβανε.
503. ΠΕΠ. Πεπλωκότα. ΣΤΡΟ. Συστροφῆ.
507. ΕΑ. Πέπλος. ΠΡΟ. Πρὸς ἑαυτόν.
511. ΕΥ. Καλὴν στεφάνην ἔχουσα· στεφάνη δέ ἐστι κόσμος γυναικεῖος, καὶ περικεφαλαίας εἶδος.
516. ΜΕΜ. Ἔμελλεν.
521. ΟΛΕ. Ἀνήρει.

Τρῶες ἄφαρ κλονέοντο πεφυζότες, ἠδέ τις ἀλκὴ
Γίνετ'· ὁ δ' οἰμώξας ἀπὸ πύργου βαῖνε χαμᾶζε,
Ὀτρυνέων παρὰ τεῖχος ἀγακλειτοὺς πυλαωρούς· 530
Πεπταμένας ἐν χερσὶ πύλας ἔχετ', εἰσόκε λαοὶ
Ἔλθωσι προτὶ ἄστυ πεφυζότες· ἦ γὰρ Ἀχιλλεὺς
Ἐγγὺς ὅδε κλονέων· νῦν οἴω λοίγιε ἔσεσθαι·
Αὐτὰρ ἐπεί κ' ἐς τεῖχος ἀναπνεύσωσιν ἀλέντες,
Αὖτις ἐπ' ἀλψ θέμεναι σανίδας πυκινῶς ἀραρυίας· 535
Δείδια γὰρ, μὴ ἕλκος ἀνὴρ ἐς τεῖχος ἄλητα.
Ὣς ἔφαθ'· οἱ δ' ἄνεσάν τε πύλας, καὶ ἀπῶσαν ὀχῆας·
Αἱ δὲ πεταθεῖσαι τεῦξαν φάος. Αὐτὰρ Ἀπόλλων
Ἀντίος ἐξέθορε, Τρώων ἵνα λοιγὸν ἀλάλκοι.
Οἱ δ' ἰθὺς πόλιος καὶ τείχεος ὑψηλοῖο, 540
Δίψῃ καρχαλέοι, κεκονιμένοι, ἐκ πεδίοιο
Φεῦγον· ὁ δὲ σφεδανὸν ἕφεπ' ἔγχεϊ· λύσσα δέ οἱ κῆρ
Αἰὲν ἔχε κρατερὴ, μενέαινε δὲ κῦδος ἀρέσθαι.
Ἔνθα κεν ὑψίπυλον Τροίην ἕλον υἷες Ἀχαιῶν,
Εἰ μὴ Ἀπόλλων Φοῖβος Ἀγήνορα δῖον ἀνῆκε, 545
Φῶτ', Ἀντήνορος υἱὸν, ἀμύμονά τε, κρατερόν τε.
Ἐν μέν οἱ κραδίῃ θάρσος βάλε, παὶρ δέ οἱ αὐτὸς
Ἕστη, ὅπως θανάτοιο βαρείας χεῖρας ἀλάλκοι,
Φηγῷ κεκλιμένος· κεκάλυπτο δ' ἄρ' ἠέρι πολλῇ.
Αὐτὰρ ὅγ', ὡς ἐνόησεν Ἀχιλλῆα πολίπορθον, 550
Ἕστη, πολλὰ δέ οἱ κραδίη πόρφυρε μένοντι·

530. ΑΓΑ. Ἐνδόξους. ΠΥ. Πυλωρούς.

531. ΠΕΠ. Ἀνεῳγμένας.

534. ΑΛΕΝ. Συγραφέντες.

535. ΑΥ. Πάλιν ἐπικλεῖσαι, καὶ ἐπιθεῖναι. ΣΑ. Θύρας.

537. ΑΝΕ. Ἀνίσειλαν, ἀνέῳξαν. ΟΧΗ. Νῦν, μοχλός.

538. ΠΕΤ. Ἐξαπλωθεῖσαι, ἀνοιχθεῖσαι.

541. ΔΙ. Ἠηροὶ ὑπὸ δίψης. ΚΑΡ. Ἠηροί. Ἔνιοι, καρφαλέοι.

542. ΣΦΕ. Ἀντὶ τοῦ, σφεδανῶς, ἐπεσπευσμένως, ἢ καταπληκτικῶς.

549. ΚΕΚΛ. Ἀντὶ τοῦ, περιεχόμενος ὑπὸ φηγοῦ, καὶ περικεκλιμένος αὐτῇ.

551. ΠΟΡ. Κατὰ βάθος ἐμερίμνα, καὶ διενοεῖτο.

Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
"Ὦ μοι ἐγὼν, εἰ μέν κεν ὑπὸ κρατερῷ Ἀχιλῆος
Φεύγω, τῇπερ οἱ ἄλλοι ἀτυζόμενοι φοβέονται,
Αἰρήσει με κ' ὣς, καὶ ἀνάλκιδα δειροτομήσει· 555
Εἰ δ' ἂν ἐγὼ τούτους μὲν ὑποκλονέεσθαι ἐάσω
Πηλείδῃ Ἀχιλῆϊ, ποσὶν δ' ἀπὸ τείχεος ἄλλῃ
Φεύγω πρὸς πεδίον Ἰλήϊον, ὄφρ' ἂν ἵκωμαι
Ἴδης τε κνημοὺς, κατά τε ῥωπήϊα δύω,
Ἑσπέριος δ' ἂν ἔπειτα λοεσσάμενος ποταμοῖο, 560
Ἰδρῶ ἀποψυχθεὶς, ποτὶ Ἴλιον ἀπονεοίμην·
Ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
Μή μ' ἀπαειρόμενον πόλεως πεδίονδε νοήσῃ,
Καί με μεταΐξας μάρψῃ ταχέεσσι πόδεσσιν·
Οὐκ ἔτ' ἔπειτ' ἔσται θάνατον καὶ κῆρας ἀλύξαι· 565
Λίην γὰρ κρατερὸς περὶ πάντων ἔς' ἀνθρώπων.
Εἰ δέ κέν οἱ προπάροιθε πόλεως κατεναντίον ἔλθω·
Καὶ γάρ θην τούτῳ τρωτὸς χρὼς ὀξέϊ χαλκῷ,
Ἐν δὲ ἵα ψυχὴ, θνητὸν δέ ἑ φασ' ἄνθρωποι
Ἔμμεναι· αὐτάρ οἱ Κρονίδης Ζεὺς κῦδος ὀπάζει. 570
Ὣς εἰπὼν, Ἀχιλῆα ἀλεὶς μένεν· ἐν δέ οἱ ἦτορ
Ἄλκιμον ὡρμᾶτο πολεμίζειν ἠδὲ μάχεσθαι.
Ἠΰτε πόρδαλις εἶσι βαθείης ἐκ ζυλόχοιο
Ἀνδρὸς θηρητῆρος ἐναντίον, ὐδέ τι θυμῷ
Ταρβεῖ, ὐδὲ φοβεῖται, ἐπεί κεν ὑλαγμὸν ἀκούσῃ· 575
Εἴπερ γὰρ φθάμενός μιν ἢ ὐτάσῃ, ἠὲ βάλῃσιν,

556. ΥΠΟ. Ὑπὸ Ἀχιλλέως συγχωρήσω ταράσσεσθαι.
558. ΙΛ. Τόπος ἐν ᾧ Ἴλου τάφος ἐστί.
559. ΡΩ. Ἰμαντώδη φυτὰ, ἀφ' οὗ τὰ δάσεα τῆς ὕλης.
562. ΔΙΕ. Διελογίσατο.
563. ΑΠΑ. Ἀπαίροντα.
564. ΜΑΡ. Καταλάβῃ.
567. ΠΡ. Ἐὰν δὲ αὐτῷ ἔμπροσθεν τῆς πόλεως.
570. ΟΠΑ. Κατόπιν διώκει.
571. ΑΛΕΙΣ. Συγραφεὶς.
573. ΕΥ. Ἰλιάδας τόκα συνδίνδεα.

Ἀλλά τε καὶ περὶ δυρὶ πεπαρμένη οὐκ ἀπολήγει
Ἀλκῆς, πρίν γ' ἢὲ ξυμβλήμεναι, ἢὲ δαμῆναι·
Ὡς Ἀντήνορος υἱὸς ἀγαυοῦ, δῖος Ἀγήνωρ,
Οὐκ ἔθελεν φεύγειν, πρὶν πειρήσαιτ' Ἀχιλῆος. 580
Ἀλλ' ὅγ' ἄρ' ἀσπίδα μὲν προὸ ἔσχετο πάντοσε ἴσην,
Ἐγχείῃ δ' αὐτοῖο τιτύσκετο, καὶ μέγ' ἀύτει·
Ἦ δή πυ μάλ' ἔολπας ἐνὶ φρεσὶ, φαίδιμ' Ἀχιλλεῦ,
Ἤματι τῷδε πόλιν πέρσειν Τρώων ἀγερώχων·
Νηπύτι', ἦτ' ἔτι πολλὰ τετεύξεται ἄλγε' ἐπ' αὐτῇ· 585
Ἐν γάρ οἱ πολέες τε καὶ ἄλκιμοι ἀνέρες εἰμὲν,
Οἵ κεν προὸ φίλων τοκέων, ἀλόχων τε, καὶ υἱῶν,
Ἴλιον εἰρύομεθα· σὺ δ' ἐνθάδε πότμον ἐφέψεις,
Ὧδ' ἔκπαγλος ἐὼν, καὶ θαρσαλέος πολεμιστής.
Ἦ ρα, καὶ ὀξὺν ἄκοντα βαρείης χειρὸς ἀφῆκε· 590
Καί ῥ' ἔβαλε κνήμην ὑπὸ γούνατος, οὐδ' ἀφάμαρτεν·
Ἀμφὶ δέ μιν κνημὶς νεοτεύκτου κασσιτέροιο
Σμερδαλέον κονάβησε· πάλιν δ' ἀπὸ χαλκὸς ὄρουσε
Βλημένου, οὐδ' ἐπέρησε· θεοῦ δ' ἠρύκακε δῶρα.
Πηλείδης δ' ὡρμήσατ' Ἀγήνορος ἀντιθέοιο 595
Δεύτερος· οὐδέ τ' ἔασεν Ἀπόλλων κῦδος ἀρέσθαι,
Ἀλλά μιν ἐξήρπαξε, κάλυψε δ' ἄρ' ἠέρι πολλῇ,
Ἡσύχιον δ' ἄρα μιν πολέμου ἔκπεμπε νέεσθαι.
Αὐτὰρ ὁ Πηλείωνα δόλῳ ἀποέργαθε λαοῦ·
Αὐτῷ γάρ ῥ' Ἑκάεργος, Ἀγήνορι πάντα ἐοικὼς, 600
Ἕστη προὸ ποδῶν, ὁ δ' ἐπέσσυτο ποσσὶ διώκειν.
Ἕως ὁ τὸν πεδίοιο διώκετο πυροφόροιο,
Στρέψας παρ ποταμὸν βαθυδινήεντα Σκάμανδρον,

578. ΑΛ. Νῦν, ἀλεξήσιος, βοηθείας.
582. ΑΥΤΕΙ. Ἐβόα.
583. Η ΔΗ. Ὅλως δὴ πάνυ ἤλπικας.
584. ΑΓΕ. Αὐθαδῶν.
588. ΕΙ. Φυλάττομαι. ΠΟΤ. Τεθνήξῃ, ἐπὶ θάνατον ἔλθῃς.
594. ΗΡΥ. Κατίσχειν.
599. ΑΠΟ. Ἀπώρνυ, ἔσωζε.

Τυτθὸν ὑπεκπροθέοντα· δόλῳ δ' ἄρ' ἔθελγεν Ἀπόλλων,
Ὡς αἰεὶ ἔλποιτο κιχήσεσθαι ποσὶν οἷσι· 605
Τόφρ' ἄλλοι Τρῶες πεφοβημένοι ἦλθον ὁμίλῳ
Ἀσπάσιοι προτὶ ἄστυ· πόλις δ' ἔμπλητο ἀλέντων.
Οὐδ' ἄρα τοί γ' ἔτλαν πόλεως καὶ τείχεος ἐκτὸς
Μεῖναι ἔτ' ἀλλήλους, κ' γνώμεναι, ὅς τε πεφεύγοι,
Ὅς τ' ἔθαν' ἐν πολέμῳ· ἀλλ' ἀσπασίως ἐσέχυντο 610
Ἐς πόλιν, ὅντινα τῶν γε πόδες καὶ γοῦνα σάωσαν.

604. ΕΘΕΛ. Νῦν, ἠπάτα. 610. ΕΣΕ. Ἀθρόως ἐπῆλθον.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΙΛΙΑΔΟΣ Χ.

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

ΤΩΝ Τρώων ἐγκλειοθέντων εἰς τὴν πόλιν, μόνος Ἕκτωρ ὑπομείνας Ἀχιλλέα, τὸ μὲν πρῶτον φεύγει, ἔπειτα δὲ ἀνθίσταται, Ἀθηνᾶς αὐτὸν πεισάσης· καὶ ἀναιρεῖται. Ἑξάψας δὲ αὐτὸν τοῦ ἅρματος Ἀχιλλεὺς, διὰ τοῦ πεδίου ἐπὶ τὸν ναύσταθμον ἕλκει· οἱ δὲ κατὰ τὴν πόλιν ὀδύρονται ταῦτα ὁρῶντες ἐγκεκλεισμένοι.

Ἕκτορος ἀναίρεσις.

Χῖ δ' ἄρα, τρὶς περὶ τεῖχος ἄγων κτάνεν Ἕκτορ' Ἀχιλλεύς.

Ὡς οἱ μὲν κατὰ ἄστυ πεφυζότες, ἠΰτε νεβροὶ,
Ἱδρῷ ἀπεψύχοντο, πίον τ', ἀκέοντό τε δίψαν,
Κεκλιμένοι καλῆσιν ἐπάλξεσιν· αὐτὰρ Ἀχαιοὶ
Τείχεος ἄσσον ἴσαν, σάκε' ὤμοισι κλίναντες.
Ἕκτορα δ' αὐτοῦ μεῖναι ὀλοιὴ μοῖρ' ἐπέδησεν 5
Ἰλίου προπάροιθε, πυλάων τε Σκαιάων.
Αὐτὰρ Πηλείωνα προσηύδα Φοῖβος Ἀπόλλων·
Τίπτε με, Πηλέος υἱὲ, ποσὶν ταχέεσσι διώκεις,

1. ΑΣ. Κατὰ τὴν πόλιν. ΠΕ. Διδυλιακότες, ἐκπεπληγμένοι, ἢ μᾶλλον δίνος πεφευγότες.

2. ΑΠΕ. Πρὸς ἄνεμον ἐξηραίνοντο, ἀνεκτῶντο ἑαυτούς. ΑΚΡ. Ἐθεραπεύοντο· μυρίως μαίεσθαι, τὸ ἄχος ἰᾶσθαι· καὶ τὸ ἄπνευστα θεραπεύειν, ὅθεν Φρύγες ἀνεγεῖν τὸν ἰατρόν, καὶ Ἀθηναῖοι ἀπέγορα, φασί.

3. ΚΕ. Παρακεκλιμένοι, ὅ ἐστι, περιεχόμενοι ὑπὸ τῶν τειχῶν· ἐπάλξεις γὰρ, οἱ τῶν τειχῶν καλούμενοι προμαχῶνες.

4. ΙΣΑΝ. Παρεγένοντο. ΣΑ. Τοὺς ὤμους ταῖς ἀσπίσι καλύψαντες.

5. ΟΔΟ. Ὀλεθρία.

‘ Αὐτὸς θνητὸς ἐὼν θεὸν ἄμβροτον; ἠδέ νύ πώ με
‘ Ἔγνως ὡς θεός εἰμι, σὺ δ᾽ ἀσπερχὲς μενεαίνεις. 10
‘ Ἦ νύ τοι ἔτι μέλει Τρώων πόνος, ὃς ἐφόβησας,
‘ Οἱ δή τοι εἰς ἄσυ ἄλεν, σὺ δὲ δεῦρο λιάσθης·
‘ Οὐ γάρ με κτανέεις, ἐπεὶ ἔτοι μόρσιμός εἰμι.’
Τὸν δὲ μέγ᾽ ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
‘ Ἔβλαψάς μ᾽, Ἑκάεργε, θεῶν ὀλοώτατε πάντων, 15
‘ Ἐνθάδε νῦν τρέψας ἀπὸ τείχεος· ἦ κ᾽ ἔτι πολλοὶ
‘ Γαῖαν ὀδὰξ εἵλον, πρὶν Ἴλιον εἰσαφικέσθαι.
‘ Νῦν δ᾽ ἐμὲ μὲν μέγα κῦδος ἀφείλεο, τοὺς δ᾽ ἐσάωσας
‘ Ῥηϊδίως, ἐπεὶ ἔτι τίσιν γ᾽ ἔδδεισας ὀπίσσω·
‘ Ἦ σ᾽ ἂν τισαίμην, εἴ μοι δύναμίς γε παρείη.’ 20
Ὣς εἰπὼν, προτὶ ἄσυ μέγα φρονέων ἐβεβήκει,
Σευάμενος, ὥσθ᾽ ἵππος ἀεθλοφόρος σὺν ὄχεσφιν,
Ὅς ῥά τε ῥεῖα θέῃσι τιταινόμενος πεδίοιο·
Ὣς Ἀχιλεὺς λαψηρὰ πόδας καὶ γένατ᾽ ἐνώμα.
Τὸν δ᾽ ὁ γέρων Πρίαμος πρῶτος ἴδεν ὀφθαλμοῖσι, 25
Παμφαίνονθ᾽, ὥς τ᾽ ἀστέρ᾽, ἐπεσσύμενον πεδίοιο,
Ὅς ῥά τ᾽ ὀπώρης εἶσιν· ἀρίζηλοι δέ οἱ αὐγαὶ
Φαίνονται πολλοῖσι μετ᾽ ἄστρασι νυκτὸς ἀμολγῷ·
Ὅν τε κύν᾽ Ὠρίωνος ἐπίκλησιν καλέουσι·

11. ΠΟΝ. Τὸ κατὰ Τρώων ἔργον.
12. ΑΛΕΝ. Συνεγράφησαν, ἔφυγον. ΑΙ. Ἐξίφυγες, ἐξέκλινας, ἢ ἐπλανήθης.
13. ΜΟΡ. Μοίρα ὑποκείμενος, θνητός.
15. ΟΛΟ. Ὀλεθριώτατε.
17. ΟΔΑΞ. Τοῖς ὀδοῦσιν.
19. ΟΠΗΣ. Ὕστερον, χρονικῶς.
20. ΤΙ. Ἐτιμωρησάμην ἄν σε.
22. ΣΕΥ. Ὁρμήσας. ΑΕΘ. Ἀγωνιστής.
23. ΘΕ. Τρέχῃ. ΤΙ. Τείων, ἕλκων.
24. ΛΑΙ. Ταχέα. ΕΝΩ. Κατέφερεν, ἐκίνει.
27. ΟΠΩ. Κατὰ τὸ φθινόπωρον. ΕΙ. Ἀνατέλλει, ἄνεισι τὴν ἑῴαν ἀνατολὴν δηλονότι. ΑΡΙ. Λαμπραὶ, εὐσύνοπτοι.
29. ΚΥΝ. Τὸν ἀστρῶον κύνα ὕτως ἔφη· ἔνιοι δέ φασι τόνδε τὸν κατηστερισμένον κύνα, οὐκ Ὠρίωνος, ἀλλὰ Ἠριγόνης ὑπάρχειν, ὃν καθηστερισθῆναι διὰ τοιαύτην αἰτίαν. Ἰκάριος, γένους μὲ ἦν Ἀθηναῖος, ἔχει δὲ θυγατέρα Ἠριγόνην, ἥτις κύνα νήπιον ἔτρεφε· ξενίσας δέ ποτε ὁ Ἰκάριος Διόνυσον, ἔλαβε παρ᾽ αὐτοῦ οἶνόν τε καὶ

Λαμπρότατος μὲν ὅγ' ἐστὶ, κακὸν δέ τε σῆμα τέτυκται, 30
Καί τε φέρει πολλὸν πυρετὸν δειλοῖσι βροτοῖσιν·
Ὡς τοῦ χαλκὸς ἔλαμπε περὶ στήθεσσι θέοντος.
Ὤμωξεν δ' ὁ γέρων, κεφαλὴν δ' ὄγε κόψατο χερσὶν,
Ὑψόσ' ἀναχόμενος, μέγα δ' οἰμώξας ἐγεγώνει,
Λισσόμενος φίλον υἱόν· ὁ δὲ προπάροιθε πυλάων 35
Εἱστήκει, ἄμοτον μεμαὼς Ἀχιλῆϊ μάχεσθαι·
Τὸν δ' ὁ γέρων ἐλεεινὰ προσηύδα, χεῖρας ὀρεγνύς·
"Ἕκτορ, μή μοι μίμνε, φίλον τέκος, ἀνέρα τοῦτον
Οἶος, ἄνευθ' ἄλλων· ἵνα μὴ τάχα πότμον ἐπίσπῃς,
Πηλείωνι δαμείς· ἐπεὶ πολὺ φέρτερός ἐστιν. 40
Σχέτλιος, αὔτε θεοῖσι φίλος τοσσόνδε γένοιτο,
Ὅσσον ἐμοί· τάχα κέν ἑ κύνες καὶ γῦπες ἔδονται
Κείμενον· ἦ κέ μοι αἶνον ἀπὸ πραπίδων ἄχος ἔλθοι·
Ὅς μ' υἱῶν πολλῶν τε καὶ ἐσθλῶν εὖνιν ἔθηκε,
Κτείνων, καὶ πέρνας νήσων ἔπι τηλεδαπάων. 45
Καὶ γὰρ νῦν δύο παῖδε Λυκάονα καὶ Πολύδωρον
Οὐ δύναμαι ἰδέειν, Τρώων εἰς ἄστυ ἀλέντων,

ἀμπέλου κλῆμα· κατὰ δὲ τὰς τοῦ θεοῦ ὑποθήκας, σπείρει τὴν γῆν, προφαίνων τὴν τοῦ Διονύσου χάριν, ἔχων σὺν ἑαυτῷ καὶ τὸν κύνα· γενόμενος δὲ ἐκτὸς τῆς πόλεως, βουκόλοις οἶνον παρέχει· οἱ δὲ ἀθρόως ἐμφορησάμενοι, οἱ μὲν εἰς βαθὺν ὕπνον ἐτράπησαν· ὀψὲ δὲ ἐγειρθέντες, καὶ νομίσαντες πεφαρμάχθαι, τὸν Ἰκάριον ἀπέκτειναν· ὁ δὲ κύων ὑποστρέψας πρὸς τὴν Ἠριγόνην, δι' ὠρυγμοῦ ἐμήνυσεν αὐτῇ τὰ γενόμενα· ἡ δὲ μαθοῦσα τὸ ἀληθὲς, ἑαυτὸν ἀνήρτησε· νόσου δὲ ἐν Ἀθήναις γενομένης, καὶ χρησμὸν Ἀθηναῖοι τόν τε Ἰκάριον καὶ τὴν Ἠριγόνην ἐνιαυσιαίαις ἐγέραιρον τιμαῖς· οὗ καὶ κατηστερισθέντες, Ἰκάριος μὲν Βοώτης ἐκλήθη, Ἠριγόνη δὲ παρθένος, ὁ ζ κύων τὴν αὐτὴν ὀνομασίαν ἔχει· ἱστορεῖ Ἐρατοσθένης.

30. ΣΗ. Σημεῖον.

31. ΠΥ. Ἤτοι κυρίως ὡς ἡμεῖς λέγομεν, ἢ τὴν τοῦ ἀέρος ἔκκαυσιν.

39. ΑΝΕΥ. Χωρὶς τῶν λοιπῶν.

40. ΠΗ. Ὑπὸ Ἀχιλλέως ἀναιρεθείς.

41. ΤΟΣ. Τοσοῦτον.

43. ΑΧΟΣ. Οὕτως ἂν ἀπόλοιτο μου τὰ κακὰ τῶν φρενῶν.

44. ΕΥ. Ἔρημος, χῆρος, ἠρημένος· εὖνις, ὅ ἐστιν, εὐναζόμενος, ἐξ οὗ τὸ ἡσυχάζοντα, ἐξ οὗ ἠρημωμένος, ἐξ οὗ ἐστερημένος, ἢ παρὰ τὸ εἷς ἑνὸς, ἕνις καὶ εὖνις, ὁ μιμουμένος.

45. ΠΕΡ. Πιπράσκων. ΤΗ. Πόρρω ὤσων.

47. ΑΛΕΝ. Συγκραφέντων, συγκλωσθέντων, φυγόντων.

Τύς μοι Λαοθόη τέκετο, κρείυσα γυναικῶν.
Ἀλλ' εἰ μὲν ζώυσι μετὰ ςρατῷ, ἦτ' ἂν ἔπειτα
Χαλκῦ τε χρυσῦ τ' ἀπολυσόμεθ'· ἔςι γὰρ ἔνδον 50
Πολλὰ γὰρ ὤπασε παιδὶ γέρων ὀνομακλυτὸς Ἄλτης.
Εἰ δ' ἤδη τεθνᾶσι, καὶ εἰν Ἀΐδαο δόμοισιν,
Ἄλγος ἐμῷ θυμῷ καὶ μητέρι, τοὶ τεκόμεθα.
Λαοῖσιν δ' ἄλλοισι μινυνθαδιώτερον ἄλγος
Ἔσσεται, ἢν μὴ καὶ σὺ θάνῃς, Ἀχιλῆϊ δαμασθείς. 55
Ἀλλ' εἰσέρχεο τεῖχος, ἐμὸν τέκος, ὄφρα σαώσῃς
Τρῶας καὶ Τρῳὰς, μηδὲ μέγα κῦδος ὀρέξῃς
Πηλείδῃ, αὐτὸς δὲ φίλης αἰῶνος ἀμερθῇς·
Πρὸς δ' ἐμὲ τὸν δύςηνον ἔτι φρονέοντ' ἐλέαιρε,
Δύσμορον, ὅν ῥα πατὴρ Κρονίδης ἐπὶ γήραος οὐδῷ 60
Αἴσῃ ἐν ἀργαλέῃ φθίσει, κακὰ πόλλ' ἐπιδόντα,
Υἷάς τ' ὀλλυμένυς, ἑλκυσθείσας τε θύγατρας,
Καὶ θαλάμυς κεραϊζομένυς, καὶ νήπια τέκνα
Βαλλόμενα πρὸς γαίῃ, ἐν αἰνῇ δηϊότῃτι,
Ἑλκομένας τε νυὸς ὀλοῇς ὑπὸ χερσὶν Ἀχαιῶν. 65
Αὐτὸν δ' ἂν πύματόν με κύνες πρώτῃσι θύρῃσιν
Ὠμῆσαὶ ἐρύυσι, ἐπεί κέ τις ὀξέϊ χαλκῷ
Τύψας, ἢὲ βαλὼν, ῥεθέων ἐκ θυμὸν ἕληται,

48. ΚΡΕΙ. Κρατιςεύυσα.
50. ΑΠΟ. Ἀπολυτρωσόμεθα.
51. ΟΝΟ. Ἔνιοι, ὀνομάκλυτος. Ἔνδοξος· ἀναγνωςέον δὲ ὑφ' ἕν.
54. ΜΙ. Ὀλιγοχρονιώτερον.
58. ΑΙ. Βίυ, ζωῆς. ΑΜΕΡ. Στερηθῆς, ἀφαιρεθῆς.
59. ΦΡΟ. Ἔτι σωφρονοῦντα, πρὶν ἐπιςῆναί σοι τὺς πολεμίυς· ἤγυν ἕως τῦ φρονεῖν εἶμι κύριος.
60. ΟΥ. Ἐπὶ τῇ τοῦ γήρως ἐξόδῳ, ἐπὶ τῷ τέρματι.
61. ΕΠΙ. Θεασάμενον.
62. ΕΑ. Ἀντὶ τοῦ, αἰχμαλωτισθείσας.
63. ΚΕ. Πορθυμένας.
64. ΒΑΛ. Προσρηγνύμενα τῇ γῇ.
65. ΝΥ. Νύμφας.
66. ΠΥ. Τελευταῖον, ἔσχατον. ΠΡΩ. Ταῖς πρώταις θύραις, τοῖς προαυλίοις.
67. ΩΜΗ. Ὠμοφάγοι. ΕΡΥ. Ἑλκύσυσι.
68. ΤΥ. Ἐκ χειρὸς πλήξας. ΡΕ. Τῶν τῦ σώματος μελῶν, ὅτι κατὰ φαυτὸς μέλους τὸ ζωτικὸν καὶ ψυχικόν ἐςι· ῥίζη δὲ τὰ ζῶντα μέλη, δ' ἂν ῥίζωμέν

Οὓς τρέφον ἐν μεγάροισι, τραπεζῆας, πυλαωροὺς,
Οἵ κ' ἐμὸν αἷμα πιόντες, ἀλύσσοντες περὶ θυμῷ, 70
Κείσοντ' ἐν προθύροισι· νέῳ δέ τε πάντ' ἐπέοικεν
Ἀρηϊ κταμένῳ, δεδαϊγμένῳ ὀξέϊ χαλκῷ,
Κεῖθαι· πάντα δὲ καλὰ θανόντι περ, ὅ, τι φανείη·
Ἀλλ' ὅτε δὴ πολιόν τε κάρη, πολιόν τε γένειον,
Αἰδῶ τ' αἰσχύνωσι κύνες κταμένοιο γέροντος, 75
Τοῦτο δὴ οἴκτιστον πέλεται δειλοῖσι βροτοῖσιν.'
Ἦ ῥ' ὁ γέρων, πολιὰς δὴ ἄρ' ἀνὰ τρίχας ἕλκετο χερσὶ,
Τίλλων ἐκ κεφαλῆς· ὐδὴ Ἕκτορι θυμὸν ἔπειθε.
Μήτηρ δὴ αὖθ' ἑτέρωθεν ὀδύρετο δακρυχέουσα,
Κόλπον ἀνιεμένη, ἑτέρῃφι δὲ μαζὸν ἀνέσχε, 80
Καί μιν δακρυχέουσ' ἔπεα πτερόεντα προσηύδα·
'Ἕκτορ, τέκνον ἐμὸν, τάδε τ' αἴδεο, καί μ' ἐλέησον
Αὐτὴν, εἴποτέ τοι λαθικηδέα μαζὸν ἐπέσχον,
Τῶν μνῆσαι, φίλε τέκνον· ἄμυνε δὲ δηΐον ἄνδρα
Τείχεος ἐντὸς ἰών· μηδὲ πρόμος ἵστασο τούτῳ· 85
Σχέτλιος· εἴπερ γάρ σε κατακτάνῃ, οὐ σέ τ' ἔγωγε
Κλαύσομαι ἐν λεχέεσσι, φίλον θάλος, ὃν τέκον αὐτὴ,
Οὐδ' ἄλοχος πολυδωρος· ἄνευθε δέ σε μέγα νῶϊν
Ἀργείων παρὰ νηυσὶ κύνες ταχέες κατέδονται.'

τι. Αἰολεῖς δὲ τὸ πρόσωπον, καὶ ῥεθομαλίδας, τὰς εὐπροσώπους.

69. ΤΡΑ. Τὺς ἐν τραπέζῃ τρεφομένους. ΠΥ. Πυλωροὺς, φύλακας.

70. ΑΛΥΣ. Ὑπὸ πλησμονῆς ἀλύοντες· οἷον ἐν ἄλῃ ὄντες, δυσφορεῦντες· οἱ δὲ εἶπον, ἄγαν λυτιῶντες.

71. ΚΕΙ. Κείσονται ἐν τοῖς προθύροις.

74. ΠΟ. Ἡ τὸ πεπολιωμένον, ἢ τὸ ἔντιμον, καὶ αἰδοῦς ἄξιον τοῦ σώματος.

75. ΑΙΣ. Καταισχύνωσιν, ἐνυβρίσωσιν.

76. ΟΙΚ. Ἐλεεινὸν, οἰκτρόν. ΔΕΙ. Δειλαίοις, ἀθλίοις.

80. ΚΟΛ. Γυμνοῦσα τὸν κόλπον· λέγει δὲ τὸ κατὰ στῆθος μέρος. ΑΝΕΣ. Ἀνέτεινεν.

82. ΑΙ. Αἰδοῦ, ἐντρέπου.

83. ΛΑ. Τὸν λήθην ἐμποιοῦντα τοῖς παισὶ τῶν κακῶν πάντων.

84. ΑΜΥ. Ἀμύνου. ΔΗΙ. Πολεμικὸν, ἐχθρόν.

87. ΘΑ. Βλάστημα, φυτὸν πᾶν τὸ νέον, ἀπὸ τοῦ θάλλειν τῇ αὐξήσει.

88. ΠΟ. Πολλὰ δωρουμένη ἀγαθά· ἢ, ἡ μετὰ πολλῶν δώρων καὶ ἄλλων γυναικῶν μνημένη.

Ὣς τώ γε κλαίοντε προσαυδήτην φίλον υἱόν, 90
Πολλὰ λισσομένω· ἀδὶ Ἕκτορι θυμὸν ἔπειθον·
Ἀλλ' ὅγε μίμν' Ἀχιλῆα πελώριον ἄσσον ἰόντα.
Ὡς δὲ δράκων ἐπὶ χειῇ ὀρέστερος ἄνδρα μένησι,
Βεβρωκὼς κακὰ φάρμακ', ἐδὺ δέ τέ μιν χόλος αἰνὸς,
Σμερδαλέον δὲ δέδορκεν, ἑλισσόμενος περὶ χειῇ· 95
Ὡς Ἕκτωρ, ἄσβεστον ἔχων μένος, οὐχ ὑπεχώρει,
Πύργῳ ἔπι προὔχοντι φαεινὴν ἀσπίδι ἐρείσας.
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
Ὦ μοι ἐγὼν, εἰ μέν κε πύλας καὶ τείχεα δύω,
Πηλυδάμας μοι πρῶτος ἐλεγχείην ἀναθήσει, 100
Ὃς μ' ἐκέλευσε Τρωσὶ ποτὶ πόλιν ἠγήσασθαι
Νύχθ' ὕπο τήνδι ὀλοήν, ὅτε τ' ὤρετο δῖος Ἀχιλλεύς.
Ἀλλ' ἐγὼ οὐ πιθόμην· ἦτ' ἂν πολὺ κέρδιον ἦεν·
Νῦν δ' ἐπεὶ ὤλεσα λαὸν ἀταθαλίῃσιν ἐμῇσιν,
Αἰδέομαι Τρῶας καὶ Τρωάδας ἑλκεσιπέπλους, 105
Μήποτέ τις εἴπῃσι κακώτερος ἄλλος ἐμεῖο,
Ἕκτωρ ἥφι βίηφι πιθήσας ὤλεσε λαόν.
Ὡς ἐρέουσιν· ἐμοὶ δὲ τότ' ἂν πολὺ κέρδιον εἴη
Ἀντην ἢ Ἀχιλῆα κατακτείναντα νέεσθαι,
Ἠέ κεν αὐτὸν ὀλέσθαι ἐϋκλειῶς πρὸ πόληος. 110
Εἰ δέ κεν ἀσπίδα μὲν καταθείομαι ὀμφαλόεσσαν,
Καὶ κόρυθα βριαρὴν, δόρυ δὲ πρὸς τεῖχος ἐρείσας,
Αὐτὸς ἰὼν Ἀχιλῆος ἀμύμονος ἀντίος ἔλθω,

93. ΧΕΙ. Σχισμῇ· λέγει δὲ, τῇ τοῦ δράκοντος καταδύσει. ΟΡΕ. Ἐν ὄρει διατρίβων· ὀρείος· ἐξ οὗ ἄγριος.

94. ΒΕ. Φαγὼν τὰ κακωτικὰ καὶ ἰᾷ ποιητικὰ φάρμακα· λέγει δὲ μύρμηκας καὶ καθάρας.

95. ΔΕ. Βλέπει· διὰ γὰρ τοῦτο καὶ δράκων εἴρηται, διὰ τὸ ὀξέως δεδορκέναι. ΕΛΙΣ. Συστρεφόμενος, εἰλούμενος.

97. ΠΡΟΥ. Προέχοντι.

100. ΕΛΕΓ. Ὀνειδος.

102. ΩΡΕ. Ὥρμησεν.

104. ΑΤΑΣ. Ἁμαρτίαις, βλάβαις.

106. ΕΙ. Περὶ ἐμοῦ εἴπῃ.

110. ΕΥ. Ἐνδόξως.

Καὶ οἱ ὑπόχωμαι Ἑλένην, καὶ κτήματ' ἄμ' αὐτῇ
Πάντα μάλ', ὅσσα τ' Ἀλέξανδρος κοίλῃς ἐνὶ νηυσὶν
Ἠγάγετο Τροίηνδ', ἥ τ' ἔπλετο νείκεος ἀρχή,
Δωσέμεν Ἀτρεΐδῃσιν ἄγειν, ἅμα τ' ἀμφὶς Ἀχαιοῖς
Ἀλλ' ἀποδάσσεσθαι, ὅσσα πόλις ἥδε κέκευθε·
Τρωσὶν δ' αὖ μετόπισθε γεραίσιον ὅρκον ἕλωμαι,
Μήτι κατακρύψειν, ἀλλ' ἄνδιχα πάντα δάσασθαι,
Κτῆσιν ὅσην πολίεθρον ἐπήρατον ἐντὸς ἐέργει.
Ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
Μή μιν ἐγὼ μὲν ἴκωμαι ἰών· ὁ δέ μ' οὐκ ἐλεήσει,
Οὐδέ τί μ' αἰδέσεται, κτενέει δέ με, γυμνὸν ἐόντα,
Αὔτως, ὥς τε γυναῖκα, ἐπεί κ' ἀπὸ τεύχεα δύω.
Οὐ μέν πως νῦν ἐστὶν ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης
Τῷ ὀαριζέμεναι, ἅτε παρθένος ἠΐθεός τε,
Παρθένος ἠΐθεός τ' ὀαρίζετον ἀλλήλοισιν.
Βέλτερον αὖτ' ἔριδι ξυνελαυνέμεν· ὄφρα τάχιστα
Εἴδομεν, ὁππότερῳ κεν Ὀλύμπιος εὖχος ὀρέξῃ.
Ὡς ὥρμαινε μένων· ὁ δέ οἱ σχεδὸν ἦλθεν Ἀχιλλεύς,
Ἴσος Ἐνυαλίῳ, κορυθαίκι πολεμιστῇ,
Σείων Πηλιάδα μελίην κατὰ δεξιὸν ὦμον,
Δεινήν· ἀμφὶ δὲ χαλκὸς ἐλάμπετο εἴκελος αὐγῇ

118. ΚΕΚ. Κέκευθεν, ἐν αὐτῇ εἶχε.

119. ΓΕ. Τὸν ἐπὶ τῶν ἐντίμων ὅρκον, ὃν ἐν τοῖς ἐντίμοις ἐξῆν ὀμόσαι.

123. ΙΚΩ. Νῦν, ἀντὶ ΨΩ, ἱκετεύσω.

124. ΑΙ. Προσδέξεται, ὡς ἱκέτην· οἱ γὰρ ἱκέται αἰδοῖοι.

126. ΔΡΥ. Οὐκ ἔστι, φησὶν, ἄντικρυς Ἀχιλλέως μύθους διηγεῖσθαι, ὁποίους ἂν παρθένοι καὶ ἠΐθεοι· οἱ γὰρ παλαιοὶ τὰ ἐκλελειμμένα βρέφη παρὰ δρυσὶν, ἢ πέτραις εὑρίσκοντες, ἐνόμιζον ἐκ τούτων γεγεννῆσθαι· ἐκ τοιούτου δὲ ἐγένετο ἡ ὑπόληψις· οἱ γὰρ παλαιοὶ νομαδικῷ ἐχρῶντο βίῳ, οἰκίας μηδέπω κεκτημένοι· αἱ οὖν γυναῖκες τίκτουσαι ἐν τοῖς ὄρεσιν ὑπὸ τὰ κοιλώματα τῶν πετρῶν καὶ δρυῶν ἀνίσριφον εὑρίσκοντες δέ τινες, ἐνόμιζον ἐκεῖθεν γεγεννῆσθαι· ἡ ἱστορία παρὰ Διδύμῳ.

127. ΟΑ. Γυναικώδεις προσδιαλέγεσθαι λόγους· ὅαροι γὰρ, αἱ γυναῖκες.

128. ΗΙ. Ἀκμάζων νέος.

129. ΞΥ. Συμβάλλειν.

130. ΕΙ. Μάθωμεν.

132. ΚΟ. Πολεμικῷ, κινοῦντι τὴν περικεφαλαίαν, καταπλήξεως ἕνεκα καὶ φόβου τῶν ἐναντίων.

Ἢ πυρὸς αἰθομένου, ἢ ἠελίου ἀνιόντος. 135
Ἕκτορα δ', ὡς ἐνόησεν, ἔλε τρόμος, οὐδ' ἄρ' ἔτ' ἔτλη
Αὖθι μένειν, ὀπίσω δὲ πύλας λίπε, βῆ δὲ φοβηθείς.
Πηλείδης δ' ἐπόρουσε, ποσὶ κραιπνοῖσι πεποιθώς·
Ἠΰτε κίρκος ὄρεσφιν, ἐλαφρότατος πετεηνῶν,
Ῥηϊδίως οἴμησε μετὰ τρήρωνα πέλειαν· 140
Ἡ δέ θ' ὑπαιθα φοβεῖτο· ὁ δ' ἐγγύθεν ὀξὺ λεληκὼς
Ταρφὲ ἐπαΐσσει, ἐλέειν τέ ἑ θυμὸς ἀνώγει·
Ὡς ἄρ' ὅγ' ἐμμεμαὼς ἰθὺς πέτετο· τρέσε δ' Ἕκτωρ
Τεῖχος ὕπο Τρώων, λαιψηρὰ δὲ γούνατ' ἐνώμα.
Οἱ δὲ παρὰ σκοπιὴν καὶ ἐρινεὸν ἠνεμόεντα 145
Τείχεος αἰὲν ὑπ' ἐκ κατ' ἀμαξιτὸν ἐσσεύοντο·
Κρουνὼ δ' ἵκανον καλλιῤῥόω, ἔνθα δὲ πηγαὶ
Δοιαὶ ἀναΐσσουσι Σκαμάνδρου δινήεντος.
Ἡ μὲν γάρ θ' ὕδατι λιαρῷ ῥέει, ἀμφὶ δὲ καπνὸς
Γίνεται ἐξ αὐτῆς, ὡσεὶ πυρὸς αἰθομένοιο· 150
Ἡ δ' ἑτέρη θέρεϊ προρέει εἰκυῖα χαλάζῃ,
Ἢ χιόνι ψυχρῇ, ἢ ἐξ ὕδατος κρυσάλλῳ.
Ἔνθα δ' ἐπ' αὐτάων πλυνοὶ εὐρέες ἐγγὺς ἔασι
Καλοὶ, λαΐνεοι, ὅθι εἵματα σιγαλόεντα
Πλύνεσκον Τρώων ἄλοχοι, καλαί τε θύγατρες, 155
Τὸ πρὶν ἐπ' εἰρήνης, πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν.
Τῇ ῥα παραδραμέτην, φεύγων, ὁ δ' ὄπιθε διώκων·
Πρόσθε μὲν ἐσθλὸς ἔφευγε, δίωκε δέ μιν μέγ' ἀμείνων

140. ΟΙ. Ὥρμησι. ΠΕ. Περιστεράν.
141. ΦΟ. Φεύγει δί. ΛΕ. Κεκραγὼς, νῦν δὲ ἦχον διὰ τῆς ωτήσεως ἀποτελῶν.
145. ΗΝΕ. Καλαπνεόμενον, ὑψηλόν· τὰ γὰρ ὑψηλότερα μέρη μᾶλλον καταφυσᾶται τῶ κοίλων.
146. ΑΜΑΞ. Ἀμαξήλατον ὁδόν. ΕΣ. Ὥρμων.
147. ΚΡΟΥ. Κυρίως μὲν, αἱ ἀρχαὶ τῶν ῥευμάτων, νῦν δὲ, οἱ τόποι, ὅπου ωλύνουσι.
148. ΑΝΑΙΣ. Ἀνορμῶσι.
154. ΛΑΙ. Λίθινοι.

Καρπαλίμως· ἐπεὶ οὐχ ἱερήϊον, ἠδὲ βοείην
Ἀρνύσθην, ἅ, τε πωσσὶν ἀέθλια γίνεται ἀνδρῶν, 160
Ἀλλὰ περὶ ψυχῆς θέον Ἕκτορος ἱπποδάμοιο.
Ὡς δ' ὅτ' ἀεθλοφόροι περὶ τέρματα μώνυχες ἵπποι
Ῥίμφα μάλα τρωχῶσι· τὸ δὲ μέγα κεῖται ἄεθλον,
Ἠ τρίπος, ἠὲ γυνή, ἀνδρὸς κατατεθνειῶτος·
Ὡς τὼ τρὶς Πριάμοιο πόλιν περιδινηθήτην 165
Καρπαλίμοισι πόδεσσι· θεοὶ δέ τε πάντες ὁρῶντες.
Τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
"Ὦ πόποι, ἦ φίλον ἄνδρα διωκόμενον περὶ τεῖχος
"Ὀφθαλμοῖσιν ὁρῶμαι· ἐμὸν δ' ὀλοφύρεται ἦτορ
"Ἕκτορος, ὅς μοι πολλὰ βοῶν ἐπὶ μηρί' ἔκηεν, 170
"Ἰδης ἐν κορυφῇσι πολυπτύχῳ, ἄλλοτε δ' αὖτε
"Ἐν πόλει ἀκροτάτῃ· νῦν αὖτέ ἑ δῖος Ἀχιλλεὺς
"Ἁψυ πέρι Πριάμοιο ποσὶν ταχέεσσι διώκει.
"Ἀλλ' ἄγετε, φράζεσθε, θεοί, καὶ μητιάασθε,
"Ἤ μιν ἐκ θανάτοιο σαώσομεν, ἦ μιν ἤδη 175
"Πηλείδῃ Ἀχιλῆϊ δαμάσσομεν, ἐσθλὸν ἐόντα.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
"Ὦ πάτερ, ἀργικέραυνε, κελαινεφὲς, οἷον ἔειπες;
"Ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἴσῃ,
"Ἀψ ἐθέλεις θανάτοιο δυσηχέος ἐξαναλῦσαι; 180
"Ἐρδε· ἀτὰρ ἄλλοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι.
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
"Θάρσει, Τριτογένεια, φίλον τέκος· οὔ νύ τι θυμῷ
"Πρόφρονι μυθέομαι, ἐθέλω δέ τοι ἤπιος εἶναι·

159. ΙΕ. Ἰριῆον, ταῦρον. ΒΟ. Βύρσαν.
160. ΑΡ. Ὑπὲρ ἀγῶνος ἱππεύδαζον λαβεῖν. ΑΕΘ. Ἀγωνίσματα.
162. ΑΕΘ. Ἀγωνισαὶ, ἀθληταί.
ΤΕΡ. Τίλη, καμπτῆρας.
163. ΤΡΩ. Τρίχωσι.
165. ΠΕΡΙ. Ἐκύκλωσαν, περιῆλθον.
172. ΑΚΡ. Ἀκροτάτῃ.

Ἔρξον, ὅπη δή τοι νόος ἔπλετο, μηδέ τ' ἐρώει.' 185
Ὡς εἰπὼν, ὤτρυνε πάρος μεμαυῖαν Ἀθήνην·
Βῆ δὲ κατ' Οὐλύμποιο καρήνων αἰΐξασα.
Ἕκτορα δ' ἀσπερχὲς κλονέων ἔφεπ' ὠκὺς Ἀχιλλεύς.
Ὡς δ' ὅτε νεβρὸν ὄρεσφι κύων ἐλάφοιο δίηται,
Ὄρσας ἐξ εὐνῆς, διά τ' ἄγκεα, ἠ διὰ βήσσας· 190
Τὸν δ', εἴπερ τε λάθησι καταπήξας ὑπὸ θάμνῳ,
Ἀλλά τ' ἀνιχνεύων θέει ἔμπεδον, ὄφρα κεν εὕρῃ·
Ὡς Ἕκτωρ οὐ λῆθε ποδώκεα Πηλείωνα.
Ὁσσάκι δ' ὁρμήσειε πυλάων Δαρδανιάων
Ἀντίον αἰΐξασθαι, ἐϋδμήτους ἐπὶ πύργους, 195
Ἕππως οἱ καθύπερθεν ἀλάλκοιεν βελέεσσι·
Τοσσάκι μιν προπάροιθεν ἀποστρέψασκε παραφθὰς
Πρὸς πεδίον γ' αὐτὸς δὲ ποτὶ πόλιος πέτετ' αἰεί.
Ὡς δ' ἐν ὀνείρῳ οὐ δύναται φεύγοντα διώκειν·
Οὔτ' ἄρ' ὁ τὸν δύναται ὑποφεύγειν, οὔθ' ὁ διώκειν· 200
Ὡς ὁ τὸν οὐ δύνατο μάρψαι ποσὶν, οὐδ' ὃς ἀλύξαι.
Πῶς δέ κεν Ἕκτωρ κῆρας ὑπεξέφυγεν θανάτοιο,
Εἰ μή οἱ πύματόν τε καὶ ὕστατον ἤντετ' Ἀπόλλων
Ἐγγύθεν, ὅς οἱ ἐπῶρσε μένος λαιψηρά τε γοῦνα;
Λαοῖσιν δ' ἀνένευε καρήατι δῖος Ἀχιλλεὺς, 205

188. ΕΦ. Ἐδίωκε.
189. ΔΙΗ. Διώξει.
190. ΟΡ. Ἐκ τῆς κοίτης ἀγείρας ὥρμησε. ΑΓ. Ἀντὶ τοῦ, δι' ἀγκίων καὶ βησσῶν· ὅτω δὲ καλοῦνται οἱ κοῖλοι καὶ βάσιμοι τῶν ὀρῶν τόποι.
191. ΚΑ. Διελιάσας. ΘΑΜ. Θάμνοι καλοῦνται οἱ σύμφυτοι καὶ ὑλώδεις τόποι, παρὰ τὸ θαμινόν.
192. ΑΝΙ. Ἐξ ἴχνους διώκων.
194. ΟΡ. Ὡς ἐπὶ τὰς Δαρδάνου πύλας ὁρμήσει.
201. ΩΣ. Πῶς τάχιστος ὢν ὁ Ἀχιλλεὺς οὐ καταλαμβάνει τὸν Ἕκτορα; καὶ φασιν οἱ μὲν ἐξεπίτηδες αὐτὸν ὑπὸ τοῦ Ποιητοῦ κατασκευασθῆναι πολλῷ πόνῳ πρότερον, ἵν' ὥσπερ ἐν θεάτρῳ νῦν μείζονα κίνησιν πάθῃ· οἱ δὲ, ὅτι τὸν ἐνδοτέρω καὶ πρὸς τῷ τείχει δρόμον Ἕκτορος ποιουμένου, Ἀχιλλεὺς διπλάσιον ἔκαμνεν ἔξωθεν περιθέων.
202. ΠΩΣ. Καὶ τὰ ἑξῆς· πῶς δὲ, φησὶν, ὁ Ἕκτωρ ἠδύνατο διαφυγεῖν τὸν Ἀχιλλέα, εἰ μὴ ὑστάτην βοήθειαν παρέχων αὐτῷ ὁ Ἀπόλλων ποδώκη ἐποίησεν; ΥΠΕΞ. Ὑπεξέφερεν, ὠλίσθανε.
205. ΚΑ. Κεφαλῇ.

Οὐδ' ἔα ἱέμεναι ἐπὶ Ἕκτορι πικρὰ βέλεμνα·
Μήτις κῦδος ἄροιτο βαλὼν, ὁ δὲ δεύτερος ἔλθοι.
Ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπὶ κρανὸς ἀφίκοντο,
Καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα·
Ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο, 210
Τὴν μὲν, Ἀχιλλῆος, τὴν δ', Ἕκτορος ἱπποδάμοιο·
Ἕλκε δὲ μέσσα λαβών· ῥέπε δ' Ἕκτορος αἴσιμον ἦμαρ·
Ὤχετο δ' εἰς Ἀΐδαο· λίπεν δέ ἑ Φοῖβος Ἀπόλλων.
Πηλείωνα δ' ἵκανε θεὰ γλαυκῶπις Ἀθήνη,
Ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα· 215
Νῦν δὴ κῶϊ γ' ἔολπα, Διὶ φίλε, φαίδιμ' Ἀχιλλεῦ,
Οἴσεσθαι μέγα κῦδος Ἀχαιοῖσι πρὸς νῆας,
Ἕκτορα δηώσαντε, μάχης ἄτον περ ἐόντα.
Θοῦ οἱ νῦν ἔτι γ' ἐστὶ πεφυγμένον ἄμμε γενέσθαι,
Οὐδ' εἴ κεν μάλα πολλὰ πάθοι ἑκάεργος Ἀπόλλων, 220
Προπροκυλινδόμενος πατρὸς Διὸς αἰγιόχοιο.
Ἀλλὰ σὺ μὲν νῦν στῆθι καὶ ἄμπνυε· τόνδε δ' ἐγώ τοι
Οἰχομένη πεπιθήσω ἐναντίβιον μαχέσασθαι.
Ὣς φάτ' Ἀθηναίη· ὁ δ' ἐπείθετο, χαῖρε δὲ θυμῷ·
Στῆ δ' ἄρ' ἐπὶ μελίης χαλκογλώχινος ἐρειθείς. 225
Ἡ δ' ἄρα τὸν μὲν ἔλειπε, κιχήσατο δ' Ἕκτορα δῖον,
Δηϊφόβῳ εἰκυῖα δέμας καὶ ἀτειρέα φωνήν·
Ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·
Ἠθεῖ', ἦ μάλα δή σε βιάζεται ὠκὺς Ἀχιλλεὺς,
Ἀσυ περὶ Πριάμοιο ποσὶν ταχέεσσι διώκων· 230
Ἀλλ' ἄγε δὴ στέωμεν, καὶ ἀλεξώμεθα μένοντες.

209. ΤΑ. Ζυγά.
218. ΔΗ. Ἀνελόντες.
219. ΟΥ. Ἀθύναλον, φησὶν, ἐστὶν αὐτῷ ἀμφυγεῖν ἡμᾶς.
221. ΠΡΟ. Πρὸ τῶν ποδῶν τοῦ Διὸς κυλινδούμενος, ὅ ἐστιν, ἱκετεύων.
222. ΑΜΠ. Ἀναπαύου.
225. ΧΑΛ. Χαλκῆς ἐχούσης γωνίας.

Τὴν δ' αὖτε προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
' Δηΐφοβ', ἦ μέν μοι τὸ πάρος πολὺ φίλτατος ἦθα
' Γνωτῶν, οὓς Ἑκάβη ἠδὲ Πρίαμος τέκε παῖδας·
' Νῦν δ', ἔτι καὶ μᾶλλον νεόω φρεσὶ τιμήσεσθαι, 235
' Ὡς ἔτλης ἐμεῦ εἵνεκ', ἐπεὶ ἴδες ὀφθαλμοῖσι,
' Τείχεος ἐξελθεῖν, ἄλλοι δ' ἔντοσθε μένουσι.'
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
' Ἠθεῖ', ἦ μὲν πολλὰ πατὴρ καὶ πότνια μήτηρ
' Λίσσονθ', ἑξείης γουνούμενοι, ἀμφὶ δ' ἑταῖροι, 240
' Αὖθι μένειν· τοῖον γὰρ ὑποτρομέουσιν ἅπαντες·
' Ἀλλ' ἐμὸς ἔνδοθι θυμὸς ἐτείρετο πένθεϊ λυγρῷ.
' Νῦν δ' ἰθὺς μεμαῶτε μαχώμεθα, μηδ' ἔτι δούρων
' Ἔσω φειδώλη, ἵνα εἴδομεν, εἴ κεν Ἀχιλλεὺς
' Νῶϊ κατακτείνας, ἔναρα βροτόεντα φέρηται 245
' Νῆας ἐπὶ γλαφυρὰς, ἤ κεν σῷ δουρὶ δαμείη.'
Ὡς φαμένη, καὶ κερδοσύνῃ ἡγήσατ' Ἀθήνη.
Οἱ δ' ὅτε δὴ ἀχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Τὸν πρότερος προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
' Οὔ σ' ἔτι, Πηλέος υἱὲ, φοβήσομαι, ὡς τὸ πάρος περ· 250
' Τρὶς περὶ ἄστυ μέγα Πριάμου δίον, ὐδέ ποτ' ἔτλην
' Μεῖναι ἐπερχόμενον· νῦν αὖτέ με θυμὸς ἀνῆκε
' Στήμεναι ἀντία σεῖο· ἕλοιμί κεν, ἤ κεν ἁλοίην.
' Ἀλλ' ἄγε, δεῦρο θεὼς ἐπιδώμεθα· τοὶ γὰρ ἄριστοι
' Μάρτυροι ἔσσονται καὶ ἐπίσκοποι ἁρμονιάων· 255

235. ΝΥΝ. Νῦν δ' ἔτι μᾶλλόν σε τιμήσω.
241. ΤΟΙ. Τοίως, ὕτως.
244. ΦΕΙ. Φειδώ.
247. ΚΕΡ. Ἐντρεχεία, ποικιλία, ἀπάτη.
250. ΦΟ. Φεύξομαι.
251. ΔΙ. Ἔδεισα, νῦν, ἐδιωκόμην, ἔφευγον.
254. ΕΠ. Ὀμόσωμεν, ἐπόπτας καὶ μάρτυρας τῶν λεγομένων ποιησώμεθα.
255. ΕΠΙΣ. Ἔφοροι, φύλακες. ΑΡ. Τῶν συνθηκῶν.

Οὐ γὰρ ἐγώ σ' ἔκπαγλον ἀείκιω, αἴ κεν ἐμοὶ Ζεὺς
Δώῃ καμμονίην, σὴν δὲ ψυχὴν ἀφέλωμαι·
Ἀλλ' ἐπεὶ ἄρ κέ σε συλήσω κλυτὰ τεύχε', Ἀχιλλεῦ,
Νεκρὸν Ἀχαιοῖσιν δώσω πάλιν· ὡς δὲ σὺ ῥέζειν.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς· 260
Ἕκτορ, μή μοι, ἄλαστε, συνημοσύνας ἀγόρευε.
Ὡς οὐκ ἔστι λέοντσι καὶ ἀνδράσιν ὅρκια πιστὰ,
Οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσιν,
Ἀλλὰ κακὰ φρονέουσι διαμπερὲς ἀλλήλοισιν·
Ὡς οὐκ ἔς' ἐμὲ καὶ σὲ φιλήμεναι, οὔτε τι νῶϊν 265
Ὅρκια ἔσσονται, πρίν γ' ἢ ἕτερόν γε πεσόντα
Αἵματος ἆσαι Ἄρηα, ταλαύρινον πολεμιστήν.
Παντοίης ἀρετῆς μιμνήσκεο· νῦν σε μάλα χρὴ
Αἰχμητήν τ' ἔμεναι καὶ θαρσαλέον πολεμιστήν.
Οὔ τοι ἔτ' ἔσθ' ὑπάλυξις, ἄφαρ δέ σε Παλλὰς Ἀθήνη 270
Ἔγχει ἐμῷ δαμάα· νῦν δ' ἀθρόα πάντ' ἀποτίσεις
Κήδε' ἐμῶν ἑτάρων, οὓς ἔκτανες ἔγχεϊ θοῦρον.
Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος·
Καὶ τὸ μὲν ἄντα ἰδὼν ἠλεύατο φαίδιμος Ἕκτωρ·
Ἕζετο δὲ προϊδὼν, τὸ δ' ὑπέρπτατο χάλκεον ἔγχος, 275
Ἐν γαίῃ δι' ἐπάγη· ἀνὰ δ' ἥρπασε Παλλὰς Ἀθήνη,
Ἅψ δ' Ἀχιλῆϊ δίδου, λάθε δ' Ἕκτορα, ποιμένα λαῶν.
Ἕκτωρ δὲ προσέειπεν ἀμύμονα Πηλείωνα·
Ἥμβροτες, οὐδ' ἄρα πώ τι, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
Ἐκ Διὸς ἠείδεις τὸν ἐμὸν μόρον, ἤτοι ἔφης γε· 280

257. ΚΑΜ. Τὴν ἐκ καταμονῆς νίκην, ὁ ἐστιν, οὐκ μονομερῆς.
261. ΑΛΑ. Ἀλαάθητε, δεινὰ καὶ ἀνεπίληπτα εἰργασμένε. ΣΥ. Ἀντὶ τοῦ, μὴ μοι περὶ συνθηκῶν λαλήσῃς.
263. ΟΜΟ. Ὁμονοῦσι.
265. ΦΙ. Εἰς φιλίαν ἐλθεῖν.
266. ΠΕ. Ἀναιρεθέντα.
270. ΥΠΑ. Ἔκκλισις, φυγή.
271. ΑΠΟ. Ἐκτίσεις, ἀποδώσεις.
280. ΗΕΙ. Ἀκριβῶς ἐπίστασο, κατὰ ἐπίτασιν ἢ ν. ΜΟ. Εἱμαρμένον. ΗΤΟΙ. Καί τοι ἔλεγες.

Ὣς τώ γε κλαίοντε προσαυδήτην φίλον υἱὸν, 90
Πολλὰ λισσομένω· ἀλλ' Ἕκτορι θυμὸν ἔπειθον·
Ἀλλ' ὅγε μίμν' Ἀχιλῆα πελώριον ἄσσον ἰόντα.
Ὡς δὲ δράκων ἐπὶ χειῇ ὀρέσερος ἄνδρα μένησι,
Βεβρωκὼς κακὰ φάρμακ', ἐδυ δέ τέ μιν χόλος αἰνὸς,
Σμερδαλέον δὲ δέδορκεν, ἑλισσόμενος περὶ χειῇ· 95
Ὡς Ἕκτωρ, ἄσβεσον ἔχων μένος, οὐχ ὑπεχώρει,
Πύργῳ ἔπι προὔχοντι φαεινὴν ἀσπίδ' ἐρείσας.
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
Ὦ μοι ἐγὼν, εἰ μέν κε πύλας καὶ τείχεα δύω,
Πηλυδάμας μοι πρῶτος ἐλεγχείην ἀναθήσει, 100
Ὃς μ' ἐκέλευσε Τρωσὶ ποτὶ πόλιν ἠγήσασθαι
Νύχθ' ὕπο τήνδ' ὀλοὴν, ὅτε τ' ὤρετο δῖος Ἀχιλλεύς.
Ἀλλ' ἐγὼ οὐ πιθόμην· ἦτ' ἂν πολὺ κέρδιον ἦεν·
Νῦν δ' ἐπεὶ ὤλεσα λαὸν ἀταθαλίῃσιν ἐμῇσιν,
Αἰδέομαι Τρῶας καὶ Τρῳάδας ἑλκεσιπέπλους, 105
Μήποτέ τις εἴπῃσι κακώτερος ἄλλος ἐμεῖο,
Ἕκτωρ ᾗ βίῃφι πιθήσας ὤλεσε λαόν.
Ὣς ἐρέουσιν· ἐμοὶ δὲ τότ' ἂν πολὺ κέρδιον εἴη
Ἀντην ἢ Ἀχιλῆα κατακτείναντα νέεσθαι,
Ἠέ κεν αὐτὸν ὀλέσθαι ἐϋκλειῶς πρὸ πόληος. 110
Εἰ δέ κεν ἀσπίδα μὲν καταθείομαι ὀμφαλόεσσαν,
Καὶ κόρυθα βριαρὴν, δόρυ δὲ πρὸς τεῖχος ἐρείσας,
Αὐτὸς ἰὼν Ἀχιλῆος ἀμύμονος ἀντίος ἔλθω,

93. ΧΕΙ. Σχισμῇ· λέγει δὲ, τῇ τοῦ δράκοντος καταδύσει. ΟΡΕ. Ἐν ὄρει διατριβων· ὀρεὶος· ἐξ οὗ ἄγριος.

94. ΒΕ. Φαγὼν τὰ κακωτικὰ καὶ ἰᾷ ποιητικὰ φάρμακα· λέγει δὲ μύρμηκας καὶ κανθάρους.

95. ΔΕ. Βλέπει· διὰ γὰρ τοῦτο καὶ δράκων εἴρηται, διὰ τὸ ὀξέως δεδορκέναι.

ΕΛΙΣ. Συγκυφόμενος, εἰλούμενος.

97. ΠΡΟΥ. Προέχοντι.

100. ΕΛΕΓ. Ὄνειδος.

102. ΩΡΕ. Ὁρμήσειν.

104. ΑΤΑΣ. Ἁμαρτίαις, βλάβαις.

106. ΕΙ. Περὶ ἐμοῦ εἴπῃ.

110. ΕΥ. Ἐνδόξως.

Καὶ οἱ ὑπόσχωμαι Ἑλένην, καὶ κτήματ' ἄμ' αὐτῇ
Πάντα μάλ', ὅσσα τ' Ἀλέξανδρος κοίλῃς ἐνὶ νηυσὶν
Ἠγάγετο Τροίηνδ', ἥ τ' ἔπλετο νείκεος ἀρχή,
Δωσέμεν Ἀτρείδῃσιν ἄγειν, ἅμα τ' ἀμφὶς Ἀχαιοῖς
Ἀλλ' ἀποδάσσεσθαι, ὅσσα πόλις ἥδε κέκευθε·
Τρωσὶν δ' αὖ μετόπισθε γερήσιον ὅρκον ἕλωμαι,
Μήτι κατακρύψειν, ἀλλ' ἄνδιχα πάντα δάσασθαι,
Κτῆσιν ὅσην πολίεθρον ἐπήρατον ἐντὸς ἐέργει.
Ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
Μή μιν ἐγὼ μὲν ἵκωμαι ἰών· ὁ δέ μ' οὐκ ἐλεήσει,
Οὐδέ τί μ' αἰδέσεται, κτενέει δέ με, γυμνὸν ἐόντα,
Αὔτως, ὥς τε γυναῖκα, ἐπεί κ' ἀπὸ τεύχεα δύω.
Οὐ μέν πως νῦν ἐστὶν ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης
Τῷ ὀαριζέμεναι, ἅτε παρθένος ἠΐθεός τε,
Παρθένος ἠΐθεός τ' ὀαρίζετον ἀλλήλοισιν.
Βέλτερον αὖτ' ἔριδι ξυνελαυνέμεν· ὄφρα τάχιστα
Εἴδομεν, ὁππότερῳ κεν Ὀλύμπιος εὖχος ὀρέξῃ.
Ὡς ὥρμαινε μένων· ὁ δέ οἱ σχεδὸν ἦλθεν Ἀχιλλεὺς,
Ἴσος Ἐνυαλίῳ, κορυθαΐκι πολεμιστῇ,
Σείων Πηλιάδα μελίην κατὰ δεξιὸν ὦμον,
Δεινήν· ἀμφὶ δὲ χαλκὸς ἐλάμπετο εἴκελος αὐγῇ

118. ΚΕΚ. Κέκρυφεν, ἐν αὐτῇ εἶχε.

119. ΓΕ. Τὸν ἐπὶ τῶν ἐντίμων ὅρκον, ὃν ἐν τοῖς ἐντίμοις ἐξῆν ὀμόσαι.

123. ΙΚΩ. Νῦν, ἀντὶ ΫΝ, ἱκετεύσω.

124. ΑΙ. Προσδέξεται, ὡς ἱκέτην· οἱ γὰρ ἱκέται αἰδοῖοι.

126. ΔΡΥ. Οὐκ ἔστι, φησὶν, ἄντικρυς Ἀχιλλέως μύθους διηγεῖσθαι, ὁποίους ἂν παρθένοι καὶ ἠΐθεοι· οἱ γὰρ παλαιοὶ τὰ ἐκλεθέμενα βρέφη παρὰ δρυσὶν, ἢ πέτραις εὑρίσκοντες, ἐνόμιζον ἐκ τούτων γεγεννῆσθαι· ἐκ τούτου δὲ ἐγένετο ἡ ὑπόληψις· οἱ γὰρ παλαιοὶ νομαδικῶς ἐχρῶντο βίῳ, οἰκίας μηδέπω κεκτημένοι· αἱ οὖν γυναῖκες τίκτουσαι ἐν τοῖς ὄρεσιν ὑπὸ τὰ κοιλώματα τῶν πετρῶν καὶ δρυῶν ἀνέτρεφον· εὑρίσκοντες δέ τινες, ἐνόμιζον ἐκεῖθεν γεγεννῆσθαι· ἡ ἱστορία παρὰ Διδύμῳ.

127. ΟΑ. Γυναικώδεις προσδιαλέγεσθαι λόγους· ὄαροι γὰρ, αἱ γυναῖκες.

128. ΗΙ. Ἀκμάζων νέος.

129. ΕΥ. Συμβάλλειν.

130. ΕΙ. Μάθωμεν.

132. ΚΟ. Πολεμικῷ, κινοῦντι τὴν περικεφαλαίαν, καταπλήξεως ἕνεκα καὶ φόβου τῶν ἐναντίων.

Ἢ πυρὸς αἰθομένου, ἢ ἠελίου ἀνιόντος. 135
Ἕκτορα δ', ὡς ἐνόησεν, ἕλε τρόμος, οὐδ' ἄρ' ἔτ' ἔτλη
Αὖθι μένειν, ὀπίσω δὲ πύλας λίπε, βῆ δὲ φοβηθείς.
Πηλείδης δ' ἐπάρουσε, ποσὶ κραιπνοῖσι πεποιθώς·
Ἠΰτε κίρκος ὄρεσφιν, ἐλαφρότατος πετεηνῶν,
Ῥηϊδίως οἴμησε μετὰ τρήρωνα πέλειαν· 140
Ἡ δέ θ' ὑπαιθα φοβεῖτο· ὁ δ' ἐγγύθεν ὀξὺ λεληκὼς
Ταρφὲ ἐπαΐσσει, ἐλέειν τέ ἑ θυμὸς ἀνώγει·
Ὡς ἄρ' ὅγ' ἐμμεμαὼς ἰθὺς πέτετο· τρέσε δ' Ἕκτωρ
Τεῖχος ὑπο Τρώων, λαιψηρὰ δὲ γούνατ' ἐνώμα.
Οἱ δὲ παρὰ σκοπιὴν καὶ ἐρινεὸν ἠνεμόεντα 145
Τείχεος αἰὲν ὑπ' ἐκ κατ' ἀμαξιτὸν ἐσσεύοντο·
Κρουνὼ δ' ἵκανον καλλιῤῥόω, ἔνθα δὲ πηγαὶ
Δοιαὶ ἀναΐσσουσι Σκαμάνδρου δινήεντος.
Ἡ μὲν γάρ θ' ὕδατι λιαρῷ ῥέει, ἀμφὶ δὲ καπνὸς
Γίνεται ἐξ αὐτῆς, ὡσεὶ πυρὸς αἰθομένοιο· 150
Ἡ δ' ἑτέρη θέρεϊ προρέει εἰκυῖα χαλάζῃ,
Ἢ χιόνι ψυχρῇ, ἢ ἐξ ὕδατος κρυστάλλῳ.
Ἔνθα δ' ἐπ' αὐτάων πλυνοὶ εὐρέες ἐγγὺς ἔασι
Καλοὶ, λαΐνεοι, ὅθι εἵματα σιγαλόεντα
Πλύνεσκον Τρώων ἄλοχοι, καλαί τε θύγατρες, 155
Τὸ πρὶν ἐπ' εἰρήνης, πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν.
Τῇ ῥα παραδραμέτην, φεύγων, ὁ δ' ὄπιθε διώκων·
Πρόσθε μὲν ἐσθλὸς ἔφευγε, διώκε δέ μιν μέγ' ἀμείνων

140. ΟΙ. Ὥρμησε. ΠΕ. Περιστεράν.
141. ΦΟ. Φεύγει δέ. ΛΕ. Κεκραγὼς, νῦν δὲ ἦχον διὰ τῆς φωνήσεως ἀποστελῶν.
145. ΗΝΕ. Καλαπινεόμενον, ὑψηλόν· τὰ γὰρ ὑψηλότερα μέρη μᾶλλον καταφυσᾶται τῶ κοίλων.
146. ΑΜΑΞ. Ἀμαξήλατον ὁδόν. ΕΣ. Ὥρμων.
147. ΚΡΟΥ. Κυρίως μὲν, αἱ ἀρχαὶ τῶν ῥευμάτων, νῦν δὲ, οἱ τόποι, ὅποθ πολύνουσι.
148. ΑΝΑΙΣ. Ἀνορμῶσι.
154. ΔΑΙ. Λίθινοι.

Καρπαλίμως· ἐπεὶ οὐχ ἱερήϊον, οὐδὲ βοείην
Ἀρνύσθην, ἅ, τε πεσσὶν ἀέθλια γίνεται ἀνδρῶν, 160
Ἀλλὰ περὶ ψυχῆς θέον Ἕκτορος ἱπποδάμοιο.
Ὡς δ' ὅτ' ἀεθλοφόροι περὶ τέρματα μώνυχες ἵπποι
Ῥίμφα μάλα τρωχῶσι· τὸ δὲ μέγα κεῖται ἄεθλον,
Ἦ τρίπος, ἠὲ γυνή, ἀνδρὸς κατατεθνειῶτος·
Ὡς τὼ τρὶς Πριάμοιο πόλιν περιδινηθήτην 165
Καρπαλίμοισι πόδεσσι· θεοὶ δέ τε πάντες ὁρῶντα.
Τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
"Ὦ πόποι, ἦ φίλον ἄνδρα διωκόμενον περὶ τεῖχος
"Ὀφθαλμοῖσιν ὁρῶμαι· ἐμὸν δ' ὀλοφύρεται ἦτορ
"Ἕκτορος, ὅς μοι πολλὰ βοῶν ἐπὶ μηρί' ἔκηεν, 170
"Ἰδης ἐν κορυφῇσι πολυπτύχῳ, ἄλλοτε δ' αὖτε
"Ἐν πόλει ἀκροτάτῃ· νῦν αὖτέ ἑ δῖος Ἀχιλλεὺς
"Ἀχυ πέρι Πριάμοιο ποσὶν ταχέεσσι διώκει.
"Ἀλλ' ἄγετε, φράζεσθε, θεοὶ, καὶ μητιάασθε,
"Ἤ μιν ἐκ θανάτοιο σαώσομεν, ἠέ μιν ἤδη 175
Πηλείδῃ Ἀχιλῆϊ δαμάσσομεν, ἐσθλὸν ἐόντα."
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
"Ὦ πάτερ, ἀργικέραυνε, κελαινεφὲς, οἷον ἔειπες;
"Ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἴσῃ,
"Ἀψ ἐθέλεις θανάτοιο δυσηχέος ἐξαναλῦσαι; 180
"Ἐρδε· ἀτὰρ ἔτοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι."
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
"Θάρσει, Τριτογένεια, φίλον τέκος· οὔ νύ τι θυμῷ
"Πρόφρονι μυθέομαι, ἐθέλω δέ τοι ἤπιος εἶναι·

159. ΙΕ. Ἱερεῖον, ταῦρον. ΒΟ. Βύρσαν.
160. ΑΡ. Ὑπὲρ ἀγῶνος ἱππεύσαι λαβεῖν. ΑΕΘ. Ἀγωνίσματα.
162. ΑΕΘ. Ἀγωνισαὶ, ἀθληταί. ΤΕΡ. Τίλη, καμπῆραι.
163. ΤΡΩ. Τρίχωσι.
165. ΠΕΡΙ. Ἐκύκλωσαν, περιῆλθον.
172. ΑΚΡ. Ἀκροπόλει.

Ἔρζον, ὅπη δή τοι νόος ἔπλετο, μηδέ τ' ἐρώει.' 185
Ὡς εἰπὼν, ὤτρυνε πάρος μεμαυῖαν Ἀθήνην·
Βῆ δὲ κατ' Οὐλύμποιο κορήνων αἰξασα.
Ἕκτορα δ' ἀσπερχὲς κλονέων ἔφεπ' ὠκὺς Ἀχιλλεύς.
Ὡς δ' ὅτε νεβρὸν ὄρεσφι κύων ἐλάφοιο δίηται,
Ὄρσας ἐξ εὐνῆς, διά τ' ἄγκεα, ἠ διὰ βήσσας· 190
Τὸν δ', εἴπερ τε λάθησι κατακπήξας ὑπὸ θάμνῳ,
Ἀλλά τ' ἀνιχνεύων θέει ἔμπεδον, ὄφρα κεν εὕρῃ·
Ὡς Ἕκτωρ οὐ λῆθε ποδώκεα Πηλείωνα.
Ὁσσάκι δ' ὁρμήσειε πυλάων Δαρδανιάων
Ἀντίον αἰξασθαι, ἐϋδμήτους ἐπὶ πύργους, 195
Ἕπτως οἱ καθύπερθεν ἀλάλκοιεν βελέεσσι·
Τοσσάκι μιν προπάροιθεν ἀποστρέψασκε παραφθὰς
Πρὸς πεδίον γ' αὐτὸς δὲ ποτὶ πόλιος πέτετ' αἰεί.
Ὡς δ' ἐν ὀνείρῳ οὐ δύναται φεύγοντα διώκειν·
Οὔτ' ἄρ' ὁ τὸν δύναται ὑποφεύγειν, ἔθ' ὁ διώκειν· 200
Ὡς ὁ τὸν οὐ δύνατο μάρψαι ποσὶν, οὐδ' ὃς ἀλύξαι.
Πῶς δέ κεν Ἕκτωρ κῆρας ὑπεξέφυγεν θανάτοιο,
Εἰ μή οἱ πύματόν τε καὶ ὕστατον ἤντετ' Ἀπόλλων
Ἐγγύθεν, ὅς οἱ ἐπῶρσε μένος λαιψηρά τε γοῦνα;
Λαοῖσιν δ' ἀνένευε κορήνατι δῖος Ἀχιλλεὺς, 205

188. ΕΦ. Ἐδίωκε.

189. ΔΙΗ. Διώξει.

190. ΟΡ. Ἐκ τῆς κοίτης ἀγείρας ὥρμησε. ΑΓ. Ἀντὶ τοῦ, δι' ἀγκέων καὶ βησσῶν· ὅταν δὲ καλοῦνται οἱ κοῖλοι καὶ βάσιμοι τῶν ὀρῶν τόποι.

191. ΚΑ. Διελιάσας. ΘΑΜ. Θάμνοι καλοῦνται οἱ σύμφυτοι καὶ ὑλώδεις τόποι, παρὰ τὸ θαμινόν.

192. ΑΝΙ. Ἐξ ἴχνους διώκων.

194. ΟΡ. Ὡς ἐπὶ τὰς Δαρδάνου πύλας ὁρμήσοι.

201. ΩΣ. Πῶς τάχιστος ὢν ὁ Ἀχιλλεὺς οὐ καταλαμβάνει τὸν Ἕκτορα; καὶ φασιν οἱ μὲν ἐξεπίτηδες αὐτὸν ὑπὸ τοῦ Ποιητοῦ κατασκευασθῆναι πολλῷ πόνῳ πρότερον, ἵν' ὥσπερ ἐν θεάτρῳ νῦν μείζονα κινήσῃ πάθη· οἱ δὲ, ὅτι τὸν ἐνδοτέρω καὶ πρὸς τῷ τείχει δρόμον Ἕκτορος ποιουμένου, Ἀχιλλεὺς διπλάσιον ἔκαμνεν ἔξωθεν περιθέων.

202. ΠΩΣ. Καὶ τὰ ἑξῆς· πῶς δὲ, φησὶν, ὁ Ἕκτωρ ἠδύνατο διαφυγεῖν τ' Ἀχιλλέα, εἰ μὴ ὑστάτην βοήθειαν παρέχων αὐτῷ ὁ Ἀπόλλων ποδώκη ἐποίησεν; ΥΠΕΞ. Ὑπεξέφυγεν, ὠλίσθησε.

205. ΚΑ. Κεφαλῇ.

Οὐδ' ἔα ἱέμεναι ἐπὶ Ἕκτορι πικρὰ βέλεμνα·
Μήτις κῦδος ἄροιτο βαλὼν, ὁ δὲ δεύτερος ἔλθοι.
Ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπὶ κρατερὰς ἀφίκοντο,
Καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα·
Ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο, 210
Τὴν μὲν, Ἀχιλλῆος, τὴν δ', Ἕκτορος ἱπποδάμοιο·
Ἕλκε δὲ μέσσα λαβών· ῥέπε δ' Ἕκτορος αἴσιμον ἦμαρ·
Ὤχετο δ' εἰς Ἀΐδαο· λίπεν δέ ἑ Φοῖβος Ἀπόλλων.
Πηλείωνα δ' ἵκανε θεὰ γλαυκῶπις Ἀθήνη,
Ἀγχὺ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα· 215
Νῦν δὴ κῶϊ γ' ἔολπα, Διὶ φίλε, φαίδιμ' Ἀχιλλεῦ,
Ὀΐσεσθαι μέγα κῦδος Ἀχαιοῖσι κατὰ νῆας,
Ἕκτορα δηώσαντε, μάχης ἄτον περ ἐόντα.
Θὺ οἱ νῦν ἔτι γ' ἐστὶ πεφυγμένον ἄμμε γενέσθαι,
Οὐδ' εἴ κεν μάλα πολλὰ πάθοι ἑκάεργος Ἀπόλλων, 220
Προπροκυλινδόμενος πατρὸς Διὸς αἰγιόχοιο.
Ἀλλὰ σὺ μὲν νῦν στῆθι καὶ ἄμπνυε· τόνδε δ' ἐγώ τοι
Οἰχομένη πεπιθήσω ἐναντίβιον μαχέσασθαι.
Ὣς φάτ' Ἀθηναίη· ὁ δ' ἐπείθετο, χαῖρε δὲ θυμῷ·
Στῆ δ' ἄρ' ἐπὶ μελίης χαλκογλώχινος ἐρειθείς. 225
Ἡ δ' ἄρα τὸν μὲν ἔλειπε, κιχήσατο δ' Ἕκτορα δῖον,
Δηϊφόβῳ εἰκυῖα δέμας καὶ ἀτειρέα φωνήν·
Ἀγχὺ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·
Ἠθεῖ', ἦ μάλα δή σε βιάζεται ὠκὺς Ἀχιλλεὺς,
Ἄσυ περὶ Πριάμοιο ποσὶν ταχέεσσι διώκων· 230
Ἀλλ' ἄγε δὴ στέωμεν, καὶ ἀλεξώμεθα μένοντες.

209. ΤΑ. Ζυγά.
218. ΔΗ. Ἀνιλόντες.
219. ΟΥ. Ἀδύναλον, φησὶν, ἐστὶν αὐτῷ ἀλεφυγεῖν ἡμᾶς.
221. ΠΡΟ. Πρὸ τῶν ποδῶν τοῦ Διὸς κυλινδούμενος, ὅ ἐστιν, ἱκετεύων.
222. ΑΜΠ. Ἀναπαύου.
225. ΧΑΛ. Χαλκοῦς ἐχούσης γωνίας.

Τὴν δ' αὖτε προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
« Δηΐφοβ', ἦ μέν μοι τὸ πάρος πολὺ φίλτατος ἦθα
« Γνωτῶν, οὓς Ἑκάβη ἠδὲ Πρίαμος τέκε παῖδας·
« Νῦν δ' ἔτι καὶ μᾶλλον νοέω φρεσὶ τιμήσεσθαι, 235
« Ὡς ἔτλης ἐμεῦ εἵνεκ', ἐπεὶ ἴδες ὀφθαλμοῖσι,
« Τείχεος ἐξελθεῖν, ἄλλοι δ' ἔντοσθε μένουσι.'
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
« Ἠθεῖ', ἦ μὲν πολλὰ πατὴρ καὶ πότνια μήτηρ
« Λίσσονθ', ἑξείης γουνούμενοι, ἀμφὶ δ' ἑταῖροι, 240
« Αὖθι μένειν· τοῖον γὰρ ὑποτρομέουσιν ἅπαντες·
« Ἀλλ' ἐμὸς ἔνδοθι θυμὸς ἐτείρετο πένθεϊ λυγρῷ.
« Νῦν δ' ἰθὺς μεμαῶτε μαχώμεθα, μηδ' ἔτι δούρων
« Ἔσω φειδώλη, ἵνα εἴδομεν, εἴ κεν Ἀχιλλεὺς
« Νῶϊ κατακτείνας, ἔναρα βροτόεντα φέρηται 245
« Νῆας ἐπὶ γλαφυρὰς, ἤ κεν σῷ δουρὶ δαμείη.'
Ὡς φαμένη, καὶ κερδοσύνῃ ἡγήσατ' Ἀθήνη.
Οἱ δ' ὅτε δὴ ὀχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Τὸν πρότερος προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
« Οὔ σ' ἔτι, Πηλέος υἱὲ, φοβήσομαι, ὡς τὸ πάρος περ· 250
« Τρὶς περὶ ἄστυ μέγα Πριάμου δίον, ὐδέ ποτ' ἔτλην
« Μεῖναι ἐπερχόμενον· νῦν αὖτέ με θυμὸς ἀνῆκε
« Στήμεναι ἀντία σεῖο· ἕλοιμί κεν, ἤ κεν ἁλοίην.
« Ἀλλ' ἄγε, δεῦρο θεοὺς ἐπιδώμεθα· τοὶ γὰρ ἄριστοι
« Μάρτυροι ἔσσονται καὶ ἐπίσκοποι ἁρμονιάων· 255

235. ΝΥΝ. Νῦν δ' ἔτι μᾶλλόν σε τιμήσω.
241. ΤΟΙ. Τοίως, ὕτως.
244. ΦΕΙ. Φειδώ.
247. ΚΕΡ. Ἐντεχνία, ποικιλία, ἀπάτη.
250. ΦΟ. Φεύξομαι.
251. ΔΙ. Ἔδεισα, νῦν, ἰδιωκόμην, ἔφευγον.
254. ΕΠ. Ὀμόσωμεν, ἐπόπτας καὶ μάρτυρας τῶν λεγομένων ποιησώμεθα.
255. ΕΠΙΣ. Ἔφοροι, φύλακες. ΑΡ. Τῶν συνθηκῶν.

Οὐ γὰρ ἐγώ σ' ἔκπαγλον ἀεικιῶ, αἴ κεν ἐμοὶ Ζεὺς
Δώῃ καμμονίην, σὴν δὲ ψυχὴν ἀφέλωμαι·
Ἀλλ' ἐπεὶ ἄρ κέ σε συλήσω κλυτὰ τεύχε', Ἀχιλλεῦ,
Νεκρὸν Ἀχαιοῖσιν δώσω πάλιν· ὡς δὲ σὺ ῥέζειν.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς· 260
Ἕκτορ, μή μοι, ἄλαστε, συνημοσύνας ἀγόρευε.
Ὡς οὐκ ἔστι λέοντσι καὶ ἀνδράσιν ὅρκια πιστὰ,
Οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσιν,
Ἀλλὰ κακὰ φρονέουσι διαμπερὲς ἀλλήλοισιν·
Ὡς οὐκ ἔς' ἐμὲ καὶ σὲ φιλήμεναι, οὔτε τι νῶϊν 265
Ὅρκια ἔσσονται, πρίν γ' ἢ ἕτερόν γε πεσόντα
Αἵματος ἆσαι Ἄρηα, ταλαύρινον πολεμιστήν.
Παντοίης ἀρετῆς μιμνήσκεο· νῦν σε μάλα χρὴ
Αἰχμητήν τ' ἔμεναι καὶ θαρσαλέον πολεμιστήν.
Οὔ τοι ἔτ' ἔολθ' ὑπάλυξις, ἄφαρ δέ σε Παλλὰς Ἀθήνη 270
Ἔγχει ἐμῷ δαμάα· νῦν δ' ἀθρόα πάντ' ἀποτίσεις
Κήδε' ἐμῶν ἑτάρων, οὓς ἔκτανες ἔγχεϊ θύων.
Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος·
Καὶ τὸ μὲν ἄντα ἰδὼν ἠλεύατο Φαίδιμος Ἕκτωρ·
Ἕζετο δ' προϊδών, τὸ δ' ὑπέρπτατο χάλκεον ἔγχος, 275
Ἐν γαίῃ δ' ἐπάγη· ἀνὰ δ' ἥρπασε Παλλὰς Ἀθήνη,
Ἄψ δ' Ἀχιλῆϊ δίδου, λάθε δ' Ἕκτορα, ποιμένα λαῶν.
Ἕκτωρ δὲ προσέειπεν ἀμύμονα Πηλείωνα·
Ἥμβροτες, οὐδ' ἄρα πώ τι, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
Ἐκ Διὸς ἠείδεις τὸν ἐμὸν μόρον, ἤτοι ἔφης γε· 280

257. ΚΑΜ. Τὴν ἐκ καταμονῆς νίκην, ὅ ἐστιν, οὐκ μονομαχοῦς.
261. ΑΛΑ. Ἀλαίθητε, διὰ καὶ ἀνεπίληπτα εἰργασμένε. ΣΥ. Ἀντὶ τοῦ, μή μοι περὶ συνθηκῶν ἀμιλλᾶσθαι.
263. ΟΜΟ. Ὁμοιοῦσι.
265. ΦΙ. Εἰς φιλίαν ἐλθεῖν.
266. ΠΕ. Ἀναιρεθέντα.
270. ΥΠΑ. Ἔκκλισις, φυγή.
271. ΑΠΟ. Ἐκτίσεις, ἀποδώσεις.
280. ΗΕΙ. Ἀκριβῶς ἠπίστασο, κατὰ ἐπίτασιν ἢ η. ΜΟ. Εἱμαρμένην. ΗΤΟΙ. Καί τοι ἔλεγες.

Τὴν δ' αὖτε προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
« Δηΐφοβ', ἦ μέν μοι τὸ πάρος πολὺ φίλτατος ἦθα
« Γνωτῶν, οὓς Ἑκάβη ἠδὲ Πρίαμος τέκε παῖδας·
« Νῦν δ' ἔτι καὶ μᾶλλον νοέω φρεσὶ τιμήσεσθαι, 235
« Ὡς ἕτλης ἐμεῦ εἵνεκ', ἐπεὶ ἴδες ὀφθαλμοῖσι,
« Τείχεος ἐξελθεῖν, ἄλλοι δ' ἔντοσθε μένουσι.'
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
« Ἠθεῖ', ἦ μὲν πολλὰ πατὴρ καὶ πότνια μήτηρ
« Λίσσονθ', ἑξείης γουνούμενοι, ἀμφὶ δ' ἑταῖροι, 240
« Αὖθι μένειν· τοῖον γὰρ ὑποτρομέουσιν ἅπαντες·
« Ἀλλ' ἐμὸς ἔνδοθι θυμὸς ἐτείρετο πένθεϊ λυγρῷ.
« Νῦν δ' ἰθὺς μεμαῶτε μαχώμεθα, μηδ' ἔτι δούρων
« Ἔχω φειδωλή, ἵνα εἴδομεν, εἴ κεν Ἀχιλλεὺς
« Νῶϊ κατακτείνας, ἔναρα βροτόεντα φέρηται 245
« Νῆας ἐπὶ γλαφυρὰς, ἤ κεν σῷ δουρὶ δαμείη.'
Ὡς φαμένη, καὶ κερδοσύνῃ ἡγήσατ' Ἀθήνη.
Οἱ δ' ὅτε δὴ ἀχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Τὸν πρότερος προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
« Οὔ σ' ἔτι, Πηλέος υἱὲ, φοβήσομαι, ὡς τὸ πάρος περ· 250
« Τρὶς περὶ ἄστυ μέγα Πριάμου δίον, ὐδέ ποτ' ἔτλην
« Μεῖναι ἐπερχόμενον· νῦν αὖτέ με θυμὸς ἀνῆκε
« Στήμεναι ἀντία σεῖο· ἕλοιμί κεν, ἤ κεν ἁλοίην.
« Ἀλλ' ἄγε, δεῦρο θεοὺς ἐπιδώμεθα· τοὶ γὰρ ἄριστοι
« Μάρτυροι ἔσσονται καὶ ἐπίσκοποι ἁρμονιάων· 255

235. ΝΥΝ. Νῦν δ' ἔτι μᾶλλόν σε τιμήσω.
241. ΤΟΙ. Τοίως, ὕτως.
244. ΦΕΙ. Φειδώ.
247. ΚΕΡ. Ἐντρεχεία, ποικιλία, ἀπάτη.
250. ΦΟ. Φεύξομαι.
251. ΔΙ. Ἔδεισα, νῦν, ἐδιωκόμην, ἔφευγον.
254. ΕΠ. Ὀμόσωμεν, ἐπόπτας καὶ μάρτυρας τὰ λεγομένων ποιησώμεθα.
255. ΕΠΙΣ. Ἔφοροι, φύλακες. ΑΡ. Τῶν συνθηκῶν.

Οὐ γὰρ ἐγώ σ' ἔκπαγλον ἀεικιῶ, αἴ κεν ἐμοὶ Ζεὺς
Δώῃ καμμονίην, σὴν δὲ ψυχὴν ἀφέλωμαι·
Ἀλλ' ἐπεὶ ἄρ κέ σε συλήσω κλυτὰ τεύχε', Ἀχιλλεῦ,
Νεκρὸν Ἀχαιοῖσιν δώσω πάλιν· ὡς δὲ σὺ ῥέζειν.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς· 260
Ἕκτορ, μή μοι, ἄλαστε, συνημοσύνας ἀγόρευε.
Ὡς οὐκ ἔστι λέοντσι καὶ ἀνδράσιν ὅρκια πιστὰ,
Οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσιν,
Ἀλλὰ κακὰ φρονέουσι διαμπερὲς ἀλλήλοισιν·
Ὡς οὐκ ἔς' ἐμὲ καὶ σὲ φιλήμεναι, οὔτε τι νῶϊν 265
Ὅρκια ἔσσονται, πρίν γ' ἢ ἕτερόν γε πεσόντα
Αἵματος ἆσαι Ἄρηα, ταλαύρινον πολεμιστήν.
Παντοίης ἀρετῆς μιμνήσκεο· νῦν σε μάλα χρὴ
Αἰχμητήν τ' ἔμεναι καὶ θαρσαλέον πολεμιστήν.
Οὔ τοι ἔτ' ἔαθ' ὑπάλυξις, ἄφαρ δέ σε Παλλὰς Ἀθήνη 270
Ἔγχει ἐμῷ δαμάα· νῦν δ' ἀθρόα πάντ' ἀποτίσεις
Κήδε' ἐμῶν ἑτάρων, οὓς ἔκτανες ἔγχεϊ θύων.
Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος·
Καὶ τὸ μὲν ἄντα ἰδὼν ἠλεύατο Φαίδιμος Ἕκτωρ·
Ἕζετο δὲ προϊδών, τὸ δ' ὑπέρπατο χάλκεον ἔγχος, 275
Ἐν γαίῃ δ' ἐπάγη· ἀνὰ δ' ἥρπασε Παλλὰς Ἀθήνη,
Ἅψ δ' Ἀχιλῆϊ δίδου, λάθε δ' Ἕκτορα, ποιμένα λαῶν.
Ἕκτωρ δὲ προσέειπεν ἀμύμονα Πηλείωνα·
Ἥμβροτες, οὐδ' ἄρα πώ τι, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
Ἐκ Διὸς ἠείδεις τὸν ἐμὸν μόρον, ἤτοι ἔφης γε· 280

257. ΚΑΜ. Τὴν ἐκ καταμονῆς νίκην, ὁ ἐστιν, οὐκ μονομερῆς.
261. ΑΛΑ. Ἀλαίθητε, διὰ καὶ ἀνεπίληπτα εἰργασμένε. ΣΤ. Ἀντὶ τοῦ, μὴ μοι περὶ συνθηκῶν λαλήσῃς.
263. ΟΜΟ. Ὁμοκοῦσι.
265. ΦΙ. Εἰς φιλίαν ἐλθεῖν.
266. ΠΕ. Ἀναιρεθέντα.
270. ΥΠΑ. Ἔκκλισις, φυγή.
271. ΑΠΟ. Ἐκτίσεις, ἀποδώσεις.
280. ΗΕΙ. Ἀκριβῶς ἠπίστασο, κατὰ ἐπίτασιν ἢ η. ΜΟ. Εἱμαρμένον. ΗΤΟΙ. Καί τοι ἔλεγες.

'Αλλά τις ἀρτιεπὴς καὶ ἐπίκλοπος ἔπλεο μύθων,
Ὄφρα σ' ὑποδδείσας μένεος ἀλκῆς τε λάθωμαι.
Οὐ μέν μοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξεις,
Ἀλλ' ἰθὺς μεμαῶτι διὰ στήθεσφιν ἔλασσον,
Εἴ τοι ἔδωκε θεός· νῦν αὖτ' ἐμὸν ἔγχος ἄλευαι 285
Χάλκεον, ὡς δή μιν σῷ ἐν χροὶ πᾶν κομίσαιο.
Καί κεν ἐλαφρότερος πόλεμος Τρώεσσι γένοιτο,
Σεῖο καταφθιμένοιο· σὺ γάρ σφισι πῆμα μέγιστον.'
Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
Καὶ βάλε Πηλείδαο μέσον σάκος, οὐδ' ἀφάμαρτε· 290
Τῆλε δ' ἀπεπλάγχθη σάκεος δόρυ· χώσατο δ' Ἕκτωρ,
Ὅτι ῥά οἱ βέλος ὠκὺ ἐτώσιον ἔκφυγε χειρός·
Στῆ δὲ κατηφήσας, οὐδ' ἄλλ' ἔχε μείλινον ἔγχος·
Δηΐφοβον δ' ἐκάλει λευκάσπιδα, μακρὸν ἀΰσας,
Ἤτεέ μιν δόρυ μακρόν· ὁ δ' ὄτι οἱ ἐγγύθεν ἦεν. 295
Ἕκτωρ δ' ἔγγυς ἷσιν ἐνὶ φρεσὶ, φώνησέν τε·
'Ὦ πόποι, ἦ μάλα δή με θεοὶ θάνατόνδ' ἐκάλεσσαν·
Δηΐφοβον γὰρ ἔγωγ' ἐφάμην ἥρωα παρεῖναι·
Ἀλλ' ὁ μὲν ἐν τείχει, ἐμὲ δ' ἐξαπάτησεν Ἀθήνη.
Νῦν δὲ δὴ ἐγγύθι μοι θάνατος κακὸς, οὐδέ τ' ἄνευθεν, 300
Οὐδ' ἀλέη· ἦ γάρ ῥα πάλαι τόγε φίλτερον ἦεν
Ζηνί τε, καὶ Διὸς υἱῖ Ἑκηβόλῳ, οἵ με πάρος γε
Πρόφρονες εἰρύαται· νῦν αὖτέ με μοῖρα κιχάνει·
Μὴ μὰν ἀσπουδεί γε καὶ ἀκλειῶς ἀπολοίμην,
'Ἀλλὰ μέγα ῥέξας τι καὶ ἐσσομένοισι πυθέσθαι.' 305

281. ΑΡΤΙ. Ἀπηρτισμένος καὶ ἱκανὸς εἰπεῖν, ἢ ἄρτι ἐσκευασμένος, δεινός. ΕΠΙΙ. Παραλογιστικὸς, ἀπατεὼν, διὰ λόγων κλέπτειν τὴν ἀλήθειαν εἰδώς.

285. ΑΛΕΥ. Ἔνιοι, Ἄλευε. Ἐκκλινε, φυλάσσου.

291. ΧΩ. Σε. ἐχύθη, ἐλυπήθη.

293. ΚΑ. Στυγνάσας. ΟΥΔ. Ὁ ὁ, ἀντὶ τοῦ, γάρ· οὐ γὰρ εἶχεν ἄλλο.

301. ΑΛΕ. Ἔκκλισις, φυλακή. ΦΙΛ. Ἥδιον.

303. ΕΙ. Εἰρύοντο, ἔσωζον.

304. ΑΣ. Χωρὶς κακοπαθείας.

305. ΗΥ. Γεῦσαι, μαθεῖν.

Ὣς ἄρα φωνήσας, εἰρύσσατο φάσγανον ὀξὺ,
Τό οἱ ὑπὸ λαπάρην τέτατο μέγα τε, ςιβαρόν τε·
Οἴμησεν δὲ ἀλεὶς, ὥς τ' αἰετὸς ὑψιπετήεις,
Ὅς τ' εἶσιν πεδίονδε διὰ νεφέων ἐρεβεννῶν,
Ἁρπάξων ἢ ἄρν' ἀμαλὴν, ἢ πῶκα λαγωόν· 310
Ὣς Ἕκτωρ οἴμησε τινάσσων φάσγανον ὀξύ.
Ὡρμήθη δ' Ἀχιλεὺς, μένεος δ' ἐμπλήσατο θυμὸν
Ἀγρίου· πρόσθεν δὲ σάκος ςέρνοιο κάλυψε
Καλὸν, δαιδάλεον· κόρυθι δ' ἐπένευε φαεινῇ,
Τετραφάλῳ, καλαὶ δὲ περισσείοντο ἔθειραι 315
Χρύσεαι, ἃς Ἥφαιςος ἵει λόφον ἀμφὶ θαμειάς.
Οἷος δ' ἀςὴρ εἶσι μετ' ἀςράσι νυκτὸς ἀμολγῷ
Ἕσπερος, ὃς κάλλιςος ἐν οὐρανῷ ἵςαται ἀςήρ·
Ὣς αἰχμὴς ἀπέλαμπ' εὐήκεος, ἣν ἄρ' Ἀχιλλεὺς
Πάλλεν δεξιτερῇ, φρονέων κακὸν Ἕκτορι δίῳ, 320
Εἰσορόων χρόα καλὸν, ὅπη εἴξειε μάλιςα.
Τοῦ δὲ κῆ ἄλλο τόσον μὲν ἔχε χρόα χάλκεα τεύχη,
Καλὰ, τὰ Πατρόκλοιο βίην ἐνάριζε κατακτάς·
Φαίνετο δ', ᾗ κληῖδες ἀπ' ὤμων αὐχένα ἔχουσι,
Λαυκανίης, ἵνα τε ψυχῆς ὠκιςος ὄλεθρος· 325

310. ΑΜΑ. Ἁπαλὴν, τρυφερὰν, παπίαν. ΠΤΩ. Λαγωὸν· παρὰ τὸ πήσσειν, διὸ καὶ τὸ ζῶον.

313. ΑΓΡΙ. Χαλεποῦ.

319. ΕΥ. Καλῶς ἐκοσμημένης.

322. ΤΟΥ. Τοῦ δὲ Ἕκτορος, φησὶ, τὸ μὲν λοιπὸν σῶμα ὑπὸ τῶν ὅπλων κατεκάλυπτο.

323. ΠΑ. Περιφερεςικῶς, τὸν Πάτροκλον.

324. ΚΛΗ. Καθ' ὃ μέρος αἱ κατακλεῖδες συνάπτουσι διείργουσαι τὸν αὐχένα ἀπὸ τῶν ὤμων.

325. ΛΑΥ. Στόμαχος, λαιμός. ΩΚ. Ὅπου, τρώσεως γινομένης, ταχεῖα γίνεται τῆς ψυχῆς ἡ ἀπώλεια, καί τοι ἀθάνατον οἶδε τὴν ψυχὴν νῦν ὤν, τὴν ἀφάνειαν φησὶν αὐτῆς, καὶ τὸν ἀπὸ τοῦ σώματος χωρισμόν. Πραξαγόρας δὲ, ἐν τῇ Ἀνατομῇ, ὅτως φησί· μετὰ ᾗ τὴν τῆς γλώττης θέσιν ὑπέκειται κατὰ τὸ ἔσχατον τοῦ οὐρανοῦ ἡ κιονίς· μετὰ δὲ ταύτην φάρυγξ καὶ στόμαχος· ἔςι δὲ ὁ μὲν φάρυγξ ἐκ τοῦ ἐμπροσθίου, ὁ δὲ στόμαχος ἐκ τοῦ ὀπισθίου, προσκεφυκὼς τοῖς τοῦ τραχήλου σπονδύλοις· καὶ ὁ μὲν φάρυγξ ἐμφύεται εἰς τὸν πνεύμονα· ὁ δὲ στόμαχος εἰς τὴν κοιλίαν· καὶ μεταξὺ δὲ φάρυγγος καὶ γλώσσης,

Τῇ ῥ' ἐπὶ οἱ μεμαὼς ἔλασ' ἔγχεϊ δῖος Ἀχιλλεύς·
Ἀντικρὺ δ' ἀπαλοῖο δι' αὐχένος ἦλυθ' ἀκωκή·
Οὐδ' ἄρ' ἀπ' ἀσφάραγον μελίη τάμε χαλκοβάρεια,
Ὄφρα τί μιν προτιείποι ἀμειβόμενος ἐπέεσσιν·
Ἤριπε δ' ἐν κονίῃσ'· ὁ δ' ἐπεύξατο δῖος Ἀχιλλεύς· 330
"Ἕκτορ, ἀτάρ πυ ἔφηθα, Πατροκλῆ' ἐξεναρίζων,
Σῶς ἔσσεαθ', ἐμὲ δ' ὀδὲν ὀπίζεο νόσφιν ἐόντα·
Νήπιε, τοῖο δ' ἄνευθεν ἀοσσητὴρ μέγ' ἀμείνων
Νηυσὶν ἔπι γλαφυρῇσιν ἐγὼ μετόπισθε λελείμμην,
Ὅς τοι γέναθ' ἔλυσα· σὲ μὲν κύνες ἠδ' οἰωνοὶ 335
Ἑλκήσουσ' ἀϊκῶς, τὸν δὲ κτερίεσσιν Ἀχαιοί."
Τὸν δ' ὀλιγοδρανέων προσέφη κορυθαίολος Ἕκτωρ·
Λίσσομ' ὑπὲρ ψυχῆς, καὶ γένεων, σῶν τε τοκήων,
Μή με ἔα παρὰ νηυσὶ κύνας καταδάψαι Ἀχαιῶν·
Ἀλλὰ σὺ μὲν χαλκόν τε ἄλις χρυσόν τε δέδεξο, 340
Δῶρα, τά τοι δώσουσι πατὴρ καὶ πότνια μήτηρ·
Σῶμα δὲ οἴκαδ' ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με
Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα."
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
"Μή με, κύον, γένεων γουνάζεο, μηδὲ τοκήων. 345
Αἴ γάρ πως αὐτόν με μένος καὶ θυμὸς ἀνείη
Ὠμὰ ἀποταμνόμενον κρέα ἔδμεναι, οἷά μ' ἔοργας·
Ὡς οὐκ ἔσθ', ὃς σῆς γε κύνας κεφαλῆς ἀπαλάλκοι·

ἐπιγλωσσὶς ἐπιπωματίζουσα τὸ φάρυγγος τὸ φόμα. Ποσειδώνειος δέ φησι, μετὰ ῥιπὴν τῆς τροφῆς σκέπειθαι ὑπὸ τ ἐπιγλωττίδος τ βρόγχον.

326. ΕΛΑ. Ἔπληξεν, ἔτρωσεν.

328. ΑΣ. Φάρυγξα, βρόγχον.

332. ΣΩ. Σωθήσεσθαι. ΟΠ. Ἐτροπὴν ἐποιοῦ.

333. ΑΟΣ. Βοηθός.

336. ΑΙ. Αἰκισμῶς, ὑβριστικῶς.

337. ΟΛΙ. Ὀλιγοδυναμῶν, ὀλίγον ἰσχύων.

339. ΚΑ. Καταδαπανῆσαι, κατακόψαι.

345. ΓΟΥ. Μή με πρὸς τῶν γονάτων καὶ γονέων λιτάνευε.

348. ΑΠΑ. Ἀποδιώξει.

‘Οὐδ᾽ εἴ κεν δεκάκις τε καὶ εἰκοσινήριτ᾽ ἄποινα
‘Στήσωσ᾽ ἐνθάδ᾽ ἄγοντες, ὑπόχωνται δὲ καὶ ἄλλα· 350
‘Οὐδ᾽ εἴ κέν σ᾽ αὐτὸν χρυσῷ ἐρύσαθαι ἀνώγοι
‘Δαρδανίδης Πρίαμος· οὐδ᾽ ὥς σέ γε πότνια μήτηρ
‘Ἐνθεμένη λεχέεσσι γοήσεται, ὃν τέκεν αὐτὴ,
‘Ἀλλὰ κύνες τε καὶ οἰωνοὶ κατὰ πάντα δάσονται.’
Τὸν δὲ καταθνήσκων προσέφη κορυθαίολος Ἕκτωρ· 355
‘Ἦ σ᾽ εὖ γινώσκων προτιόσσομαι, οὐδ᾽ ἄρ᾽ ἔμελλον
‘Πείσειν· ἦ γάρ σοί γε σιδήρεος ἔνδοθι θυμός.
‘Φράζεο νῦν, μήτοι τι θεῶν μήνιμα γένωμαι
‘Ἤματι τῷ, ὅτε κέν σε Πάρις καὶ Φοῖβος Ἀπόλλων,
‘Ἐσθλὸν ἐόντ᾽, ὀλέσωσιν ἐνὶ Σκαιῇσι πύλῃσιν.’ 360
Ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψε·
Ψυχὴ δ᾽ ἐκ ῥεθέων πταμένη Ἀϊδόσδε βεβήκει,
Ὃν πότμον γοόωσα, λιποῦσ᾽ ἀνδροτῆτα καὶ ἥβην.
Τὸν καὶ τεθνειῶτα προσηύδα δῖος Ἀχιλλεύς·
‘Τέθναθι· κῆρα δ᾽ ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ 365
‘Ζεὺς ἐθέλῃ τελέσαι, ἠδ᾽ ἀθάνατοι θεοὶ ἄλλοι.’
Ἦ ῥα, καὶ ἐκ νεκροῖο ἐρύσσατο χάλκεον ἔγχος·
Καὶ τόγ᾽ ἄνευθεν ἔθηκ᾽, ὁ δ᾽ ἀπ᾽ ὤμων τεύχε᾽ ἐσύλα
Αἱματόεντ᾽· ἄλλοι δὲ περίδραμον υἷες Ἀχαιῶν,
Οἳ καὶ θηήσαντο φυὴν καὶ εἶδος ἀγητὸν 370
Ἕκτορος· οὐδ᾽ ἄρα οἵ τις ἀνευθεί γε παρέσταν.

349. ΕΙ. Εἰκοσιπλασίονα, εἰκοσάκις ἐξισούμενα τῇ τοῦ σώματος σωτηρίᾳ· τὸ γὰρ ἐρίζειν, ἐξισοῦσθαί ἐστιν.

351. ΕΡΥ. Οὐδ᾽ εἰ χρυσῷ καθμίσασθαι θελήσει τὸ σῶμα ὁ Πρίαμος. Ἐρύσασθαι γὰρ νῦν, τὸ ζυγοστατῆσαι.

354. ΔΑ. Μερίσονται.

356. ΠΡΟ. Καλῶς γιγνώσκων καὶ προορῶν ταῦτά σοι λέγω· μάτην δὲ, οὐ γάρ σε πείθω.

358. ΜΗ. Μή πως τ᾽ ἐκ θεῶν βλάβης αἴτιός σοι καταστῶ.

370. ΘΗ. Ἐθαύμασαν, ἐθαύμασαν. ΑΓΗ. Θαυμαστόν.

371. ΑΝΟΥ. Οὐδαμῶς γάρ τις χωρὶς τοῦ ἐπιτιτρώσκειν τὸν Ἕκτορα παρέστη.

Ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
"Ὦ πόποι, ἦ μάλα δὴ μαλακώτερος ἀμφαφάασθαι
Ἕκτωρ, ἢ ὅτε νῆας ἐνέπρησεν πυρὶ κηλέῳ."
Ὡς ἄρα τις εἴπεσκε, καὶ ἵστησασκε παρασάς. 375
Τὸν δ' ἐπεὶ ἐξεναρίζε ποδάρκης δῖος Ἀχιλλεύς,
Στὰς ἐν Ἀχαιοῖσιν ἔπεα πτερόεντ' ἀγόρευεν·
"Ὦ φίλοι, Ἀργείων ἡγήτορες, ἠδὲ μέδοντες,
Ἐπειδὴ τόνδ' ἄνδρα θεοὶ δαμάσαθαι ἔδωκαν,
Ὃς κακὰ πόλλ' ἔρδεσκεν, ὅσ' οὐ σύμπαντες οἱ ἄλλοι· 380
Εἶδ' ἄγετ', ἀμφὶ πόλιν σὺν τεύχεσι πειρηθῶμεν,
Ὄφρα κέ τι γνῶμεν Τρώων νόον, ὅντιν' ἔχουσιν·
Ἢ καταλείψουσιν πόλιν ἄκρην, τῷδε πεσόντος,
Ἠὲ μένειν μεμάασι, καὶ Ἕκτορος οὐκ ἔτ' ἐόντος.
Ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός; 385
Κεῖται παρ νήεσσι νέκυς ἄκλαυστος, ἄθαπτος,
Πάτροκλος· τοῦ δ' οὐκ ἐπιλήσομαι, ὄφρ' ἂν ἔγωγε
Ζωοῖσιν μετέω, καί μοι φίλα γούνατ' ὀρώρῃ.
Εἰ δὲ θανόντων περ καταλήθοντ' εἰν Ἀΐδαο,
Αὐτὰρ ἐγὼ κἀκεῖθι φίλου μεμνήσομ' ἑταίρου. 390
Νῦν δ' ἄγε, ἀείδοντες παιήονα, κοῦροι Ἀχαιῶν,
Νηυσὶν ἐπι γλαφυρῆσι νεώμεθα, τόνδε δ' ἄγωμεν·
Ἠράμεθα μέγα κῦδος· ἐπέφνομεν Ἕκτορα δῖον,
Ὃν Τρῶες κατὰ ἄστυ, θεῷ ὡς, εὐχετόωντο."
Ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα· 395
Ἀμφοτέρων μετόπισθε ποδῶν τέτρηνε τένοντε

373. ΑΜ. Καθάπαξ ψηλαφᾶσθαι.
379. ΕΠΕΙ. Σημειωτέον, ὅτι ἀκεφάλως χρῆται ὁ Ποιητής· ὡς τε οὐ δεῖ πειρισπᾶν, φίλε κασίγνητε. ΔΑΜ. Δαμασθῆναι, ἢ ἀναιρεθῆναι, παρέχον.
383. ΠΕ. Νῦν, ἀποθανόντος.
393. ΗΡΑ, Ἐκτησάμεθα.
395. ΕΚΤ. Ἀντὶ ᾧ, κατὰ Ἕκτορος ᾧ δῖον καὶ ἐνδόξου.
396. ΤΕ. Διέκοψεν.

Ἐς σφυρὸν ἐκ πτέρνης, βοέης δ' ἐξῆπεν ἱμάντας,
Ἐκ δίφροιο δ' ἔδησε· κάρη δ' ἕλκεσθαι ἔασεν·
Ἐς δίφρον δ' ἀναβὰς, ἀνά τε κλυτὰ τεύχε' ἀείρας,
Μάστιξέν ῥ' ἐλάαν, τὼ δ' οὐκ ἄκοντε πετέσθην. 400
Τοῖ δ' ἦν ἑλκομένοιο κονίσσαλος· ἀμφὶ δὲ χαῖται
Κυάνεαι πίλναντο, κάρη δ' ἅπαν ἐν κονίῃσι
Κεῖτο, πάρος χαρίεν· τότε δὲ Ζεὺς δυσμενέεσσι
Δῶκεν ἀεικίσσασθαι ἑῇ ἐν πατρίδι γαίῃ.
Ὡς τοῖ μὲν κεκόνιτο κάρη ἅπαν· ἡ δέ νυ μήτηρ 405
Τίλλε κόμην, ἀπὸ δὲ λιπαρὴν ἔρριψε καλύπτρην
Τηλόσε· κώκυσεν δὲ μάλα μέγα, παῖδ' ἐσιδοῦσα.
Ὤμωξεν δ' ἐλεεινὰ πατὴρ φίλος, ἀμφὶ δὲ λαοὶ
Κωκυτῷ τ' εἴχοντο, καὶ οἰμωγῇ κατὰ ἄστυ·
Τῷ δὲ μάλις' ἄρ' ἔην ἐναλίγκιον, ὡς εἰ ἅπασα 410
Ἴλιος ὀφρυόεσσα πυρὶ σμύχοιτο κατ' ἄκρης.
Λαοὶ μέν ῥα γέροντα μόλις ἔχον ἀχαλόωντα,
Ἐξελθεῖν μεμαῶτα πυλάων Δαρδανιάων·
Πάντας δ' ἐλλιτάνευε, κυλινδόμενος κατὰ κόπρον,

397. ΣΦΥ. Ἀντὶ τοῦ, ἀπὸ σφυροῦ ἕως πτέρνης.

398. ΕΚ. Διατὶ Ἀχιλλεὺς θανόντα διασύρει τὸν Ἕκτορα; καὶ λέγομεν, οὐ δι' ὠμότητα, ὅς γε καὶ Ἠετίωνα φονεύσας οὐκ ἰσύλησεν, ἀλλὰ σὺν αὐτοῖς τοῖς ὅπλοις ἔθαψεν· ἀλλ' ὅτι πρότερον ὁ Ἕκτωρ εἰς τὸν Πάτροκλον ἀεικεία μήσατο ἔργα, οἷα καὶ λέγει περὶ αὐτοῦ· κεφαλὴν δὲ ἑ θυμὸς ἀνώγει Πηλέϊ ἀνὰ σκολόπεσσι, ταμόντ' ἀπαλῆς ἀπὸ δειρῆς· παραναμοῦσι δὲ οὐχ οἱ ἀμυνόμενοι, ἀλλ' οἱ ἄρξαντες· ὁ δὲ Καλλίμαχός φησιν, ὅτι πάτριόν ἐστι Θετταλοῖς, τοὺς τῶν φιλτάτων φονέας σύρειν περὶ τοὺς τῶν φονευθέντων τάφους· Σίμωνα γάρ φησι Θεσσαλὸν τὸ γένος, Εὐρυδάμαντα τοῦ Μενδῆ σῦραι, φασὶν, ἀποκτείναντα Θρασύνορα, τὸν ἀδελφὸν αὐτοῦ, ἄψασθαί τε τοῦ νόμου πρῶτον· τοῦτον γὰρ ἐξάψαι τοῦ δίφρου τὸν φονέα, καὶ περὶ τὸν τοῦ τετελευτηκότος τάφον ἕλκειν· ὡς Θεσσαλὸν ὄν καὶ τὸν Ἀχιλλέα πατρίῳ ἔθει καὶ τοῦτο ποιῆσαι.

402. ΠΙΛ. Τῇ γῇ προσεπελάζοντο.

406. ΛΙ. Λαμπράν.

407. ΚΩ. Θρηνῳδὶς ἀνεβόησεν.

409. ΟΙ. Ὀδυρμῷ.

411. ΟΦΡΥ. Εἰς ὕψος πεπολισμένη· μεταφορὰ, ὁ τρόπος. ΣΜΥ. Ἄλλοι, Σμήχοιτο. Καταφλέγοιτο· ὁ δὲ λόγος, τοιοῦτος, φησὶ, θρῆνες διεγήγειρτο, ὥστε τῆς Ἰλίου πάσης ὑπὸ πυρὸς καταφλεγομένης.

412. ΑΣ. Δυσαναχιτοῦντα, λυπούμενον.

Ἐξονομακλήδην ὀνομάζων ἄνδρα ἕκαστον· 415
Σχέθε, φίλοι, καί μ' εἶον ἐάσατε, κηδόμενοί περ,
Ἐξελθόντα πόληος, ἱκέσθ' ἐπὶ νῆας Ἀχαιῶν·
Λύσσωμ' ἀνέρα τῆτον ἀτάσθαλον, ὀβριμοεργόν,
Ἤν πως ἡλικίην αἰδέσσεται, ἠδ' ἐλεήσῃ
Γῆρας· καὶ δέ νυ τῷδε πατὴρ τοιόσδε τέτυκται 420
Πηλεύς, ὅς μιν ἔτικτε καὶ ἔτρεφε, πῆμα γενέσθαι
Τρωσί· μάλιστα δ' ἐμοὶ περὶ πάντων ἄλγε' ἔθηκε·
Τόσσους γάρ μοι παῖδας ἀπέκτανε τηλεθάοντας·
Τῶν πάντων οὐ τόσσον ὀδύρομαι, ἀχνύμενός περ,
Ὡς ἑνός, οὗ μ' ἄχος ὀξὺ κατοίσεται Ἀΐδος εἴσω, 425
Ἕκτορος· ὡς ὄφελεν θανέειν ἐν χερσὶν ἐμῇσι·
Τῷ κε κορεσσάμεθα κλαίοντέ τε, μυρομένω τε,
Μήτηρ θ', ἥ μιν ἔτικτε δυσάμμορος, ἠδ' ἐγὼ αὐτός.
Ὣς ἔφατο κλαίων· ἐπὶ δὲ γενάχοντο πολῖται·
Τρωῇσιν δ' Ἑκάβη ἀδινὸν ἐξῆρχε γόοιο· 430
Τέκνον, ἐγὼ δειλὴ τί νυ βέομαι, αἰνὰ παθοῦσα,
Σεῦ ἀποτεθνειῶτος; ὅ μοι νύκτας τε καὶ ἦμαρ
Εὐχωλὴ κατὰ ἄστυ πελέσκεο, πᾶσί τ' ὄνειαρ
Τρωσί τε καὶ Τρωῇσι κατὰ πτόλιν, οἵ σε, θεὸν ὡς,
Δειδέχατ'· ἦ γάρ κέ σφι μάλα μέγα κῦδος ἔησθα, 435
Ζωὸς ἐών· νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει.
Ὣς ἔφατο κλαίουσ'· ἄλοχος δ' ἔπω τι πέπυστο
Ἕκτορος· οὐ γάρ οἵ τις ἐτήτυμος ἄγγελος ἐλθὼν
Ἤγγειλ', ὅτι ῥά οἱ πόσις ἔκτοθι μίμνε πυλάων·

415. ΕΞ. Ἐξ ὀνόματος καλῶν.
416. ΣΧΕΣ. Ἐπίσχετε.
418. ΑΤΑΣ. Ἁμαρτωλὸν, ἄδικον.
423. ΤΗΛ. Πάνυ θάλλοντας, ἀκμάζοντας.
425. ΚΑ. Κατοίσει, ἀπικομίσει.
430. ΑΔΙ. Νῦν, ἱλεινὸν, οἰκτρόν.
431. ΒΕΙ. Ἀντὶ τοῦ, εἰς τί ἔτι βιώσω, ὅ ἐστι, ζήσομαι;
433. ΠΕ. Ὑπῆρχες, ἐγένου. ΟΝΕΙ. Ὠφέλεια.

Ἀλλ' ἤγ' ἰςὸν ὕφαινε, μυχῷ δόμου ὑψηλοῖο, 440
Δίπλακα, μαρμαρέην, ἐν δὲ θρόνα ποικίλ' ἔπασσε·
Κέκλετο δ' ἀμφιπόλοισιν ἐϋπλοκάμοις κατὰ δῶμα
Ἀμφὶ πυρὶ ςῆσαι τρίποδα μέγαν, ὄφρα πέλοιτο
Ἕκτορι θερμὰ λοετρὰ μάχης ἐκ νοςήσαντι·
Νηπίη, οὐδ' ἐνόησεν, ὅ μιν μάλα πῆλε λοετρῶν 445
Χερσὶν Ἀχιλλῆος δάμασεν γλαυκῶπις Ἀθήνη.
Κωκυτὸν δ' ἤκουσε κατὰ οἰμωγῆς ἀπὸ πύργου,
Τῆς δ' ἐλελίχθη γυῖα, χαμαὶ δέ οἱ ἔκπεσε κερκίς·
Ἡ δ' αὖτις δμωῇσιν ἐϋπλοκάμοισι μετηύδα·
Δεῦτε, δύω μοι ἕπεσθον, ἴδωμ', ὅτιν' ἔργα τέτυκται· 450
Αἰδοίης ἐκυρῆς ὀπὸς ἔκλυον, ἐν δὲ μοὶ αὐτῇ
Στήθεσι πάλλεται ἦτορ ἀνὰ ςόμα, νέρθε δὲ γοῦνα
Πήγνυται· ἐγγὺς δή τι κακὸν Πριάμοιο τέκεσσιν.
Αἴ γὰρ ἀπ' ἔατος εἴη ἐμεῦ ἔπος· ἀλλὰ μάλ' αἴνως
Δείδω, μὴ δή μοι θρασὺν Ἕκτορα δῖος Ἀχιλλεὺς 455
Μοῦνον ἀποτμήξας πόλιος πεδίονδε δίηται·
Καὶ δή μιν καταπαύσῃ ἀγηνορίης ἀλεγεινῆς,
Ἦ μιν ἔχεσκ'· ἐπεὶ ἤποτ' ἐνὶ πληθύι μένεν ἀνδρῶν,
Ἀλλὰ πολὺ προθέεσκε, τὸ ὃν μένος οὐδενὶ εἴκων.
Ὡς φαμένη μεγάροιο διέσσυτο, μαινάδι ἴση, 460
Παλλομένη κραδίην· ἅμα δ' ἀμφίπολοι κίον αὐτῇ.
Αὐτὰρ ἐπὴν πύργον τε καὶ ἀνδρῶν ἵξεν ὅμιλον,
Ἕςη παπτήνασ' ἐπὶ τείχεϊ· τὸν δ' ἐνόησεν

441. ΘΡΟ. Ποικίλμαῖα, ἄνθη. ΕΠΑΣ. Ἐποίκιλλεν· ἐξ οὗ καὶ ποιητός.

447. ΚΩ. Ἀντὶ τοῦ, θρήνου ἤκουσεν· ἰζήτηται δὲ, πῶς τοσούτου γενομένου θορύβου, μόλις Ἀνδρομάχη πρυῆλθε· φασὶ δ', ὅτι ἡ προτέρα τοῦ ἀνδρὸς ἐπιπληξις, ἡ ἐν τῇ ζ'. ἐφρονεῖν αὐτὴν ἠνάγκαζεν.

448. ΕΛΕ. Κλονεειδῶς ἐσείσθη ἐπὸ τρόμου.

451. ΟΠΟΣ. Φωνῆς.

452. ΠΑΛ. Πάλλει, ἀγωνιᾷ.

454. ΑΙ. Εἴθε γὰρ μὴ ἤκουσά ποτε τοῦ λόγου τούτου.

457. ΑΓΗ. Νῦν, ἀνδρείας.

459. ΟΝ. Τὴν ἰδίαν δύναμιν.

Ἑλκόμενον πρόσθεν πόλιος, ταχέες δέ μιν ἵπποι
Ἕλκον ἀκηδέσσως κοίλας ἐπὶ νῆας Ἀχαιῶν. 468
Τὴν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν·
Ἤριπε δ' ἐξοπίσω, ἀπὸ δὲ ψυχὴν ἐκάπυσσε.
Τῆλε δ' ἀπὸ κρατὸς χέε δέσματα σιγαλόεντα,
Ἄμπυκα, κεκρύφαλόν τ', ἠδὲ πλεκτὴν ἀναδέσμην,
Κρήδεμνόν θ', ὅ ῥά οἱ δῶκε χρυσῇ Ἀφροδίτη, 470
Ἤματι τῷ, ὅτε μιν κορυθαίολος ἠγάγεθ' Ἕκτωρ
Ἐκ δόμου Ἠετίωνος, ἐπὶ πόρε μυρία ἕδνα.
Ἀμφὶ δέ μιν γαλόῳ τε καὶ εἰνατέρες ἄλις ἔσαν,
Αἳ ἑ μετὰ σφίσιν εἶχον ἀτυζομένην ἀπολέσθαι.
Ἡ δ' ἐπεὶ ἓν ἄμπνυτο, καὶ ἐς φρένα θυμὸς ἀγέρθη, 475
Ἀμβλήδην γοόωσα, μετὰ Τρωῇσιν ἔεπεν·
"Ἕκτορ, ἐγὼ δύσηνος· ἰῇ ἄρα γεινόμεθ' αἴσῃ
Ἀμφότεροι, σὺ μὲν ἐν Τροίῃ Πριάμου κατὰ δῶμα,
Αὐτὰρ ἐγὼ Θήβῃσιν ὑπὸ Πλάκῳ ὑληέσσῃ,
Ἐν δόμῳ Ἠετίωνος, ὅ μ' ἔτρεφε τυτθὸν ἐοῦσαν, 480
Δύσμορος αἰνόμορον· ὡς μὴ ὤφελλε τεκέσθαι.
Νῦν δὲ σὺ μὲν Ἀΐδαο δόμους, ὑπὸ κεύθεσι γαίης,
Ἔρχεαι, αὐτὰρ ἐμὲ συγερῷ ἐνὶ πένθεϊ λείπεις
Χήρην ἐν μεγάροισι· παῖς δ' ἔτι νήπιος αὔτως,
Ὃν τέκομεν σύ τ' ἐγώ τε, δυσάμμοροι· οὔτε σὺ τούτῳ 485

465. ΑΚΗ. Ἀφροντίστως, ἀμελῶς.

467. ΑΠΟ. Ἀνέπνευσε δὲ τὴν ψυχήν· κάπος γὰρ καλεῖται τὸ πνεῦμα, καὶ διάλεκτον, ἐξ οὗ καὶ κῆπος. Πῶς Ἑκάβη μὲν οὐ πίπτει, Ἀνδρομάχη δὲ τοῦτο πάσχει; ῥητέον, ὅτι ἐκείνη μὲν ἐκ βίου κατ' ὀλίγον καὶ ἐν προσαγωγῇ διξαμένη τὸ πάθος, οὐχ ἡτήθη τῶν κακῶν τοσοῦτον. Ἀνδρομάχη δ' ἀπροσδοκήτως εἰσπεσοῦσα, εἰκότως τοῦτο πάσχει.

469. ΑΜ. Κόσμον τινὰ περὶ τὴν κεφαλὴν, ἀνέχοντα τὰς τρίχας τῆς κεφαλῆς. ΚΕ. Τὸν πρὸς ἡμῶν λεγόμενον κροκύφαντον.

470. ΚΡΗ. Κεφαλόδισμον.

472. ΕΔ. Τὰ ὑπὸ τῶν νυμφίων διδόμενα δῶρα ταῖς γαμουμέναις.

473. ΕΙ. Αἱ τοῦ ἀδελφοῦ γυναῖκες.

475. ΑΜΠ. Ἀνέπνευσέν. ΑΓΕΡ. Συνηθροίσθη.

476. ΑΜ. Ἀναφέρουσα αὐθρόως τὸ πνεῦμα.

477. ΙΗ. Μιᾷ.

481. ΑΙ. Κακόμορον.

Ἔσσεαι, Ἕκτορ, ὄνειαρ, ἐπεὶ θάνες· ἔτε σοι ἔτος.
Ἦπερ γὰρ πόλεμόν γε φύγῃ πολύδακρυν Ἀχαιῶν,
Αἰεί τοι τέτῳ γε πόνος καὶ κήδε' ὀπίσσω
Ἔσσονται· ἄλλοι γάρ οἱ ἀπεῤῥίσσεσιν ἀρέρας.
Ἦμαρ δ' ὀρφανικὸν παναφήλικα παῖδα τίθησι· 490
Πάντα δ' ὑπεμνήμυκε, δεδάκρυνται δὲ παρειαί.
Δευόμενος δέ τ' ἄνεισι πάϊς ἐς πατρὸς ἑταίρες,
Ἄλλον μὲν χλαίνης ἐρύων, ἄλλον δὲ χιτῶνος·
Τῶν δ' ἐλεησάντων κοτύλην τις τυτθὸν ἐπέχε,
Χείλεα μέν τ' ἐδίηνε, ὑπερῴην δ' οὐκ ἐδίηνε. 495
Τὸν δὲ καὶ ἀμφιθαλὴς ἐκ δαιτύος ἐσυφέλιζε,
Χερσὶν πεπληγὼς, κ' ὀνειδείοισιν ἐνίσσων,
Ἔρρ' ἔτως· οὐ σός γε πατὴρ μεταδαίνυται ἡμῖν·
Δακρυόεις δέ τ' ἄνεισι πάϊς ἐς μητέρα χήρην,
Ἀσυάναξ, ὃς πρὶν μὲν ἐῦ ἐπὶ γέναστι πατρὸς 500
Μυελὸν οἶον ἔδεσκε, καὶ οἰῶν πίονα δημόν·
Αὐτὰρ ὅθ' ὕπνος ἕλοι, παύσαιτό τε νηπιαχεύων,
Εὕδεσκ' ἐν λέκτροισιν, ἐν ἀγκαλίδεσσι τιθήνης,
Εὐνῇ ἔνι μαλακῇ, θαλέων ἐμπλησάμενος κῆρ·

489. ΑΠΟΥ. Παραγινόμενοι ἀφαιρήσεσιν.

490. ΠΑ. Πάντων ἡλικιωτῶν ἐστερημένον, τουτέστιν, ἐλαυνόμενον τῆς ἀπ' αὐτῶν φρατριῶς.

491. ΥΠΕΜ. Καταμέμυκε, κατεστύγνακε, κάτω βλέπει· ὁ δὲ Ἀρίσταρχος, ἐπὶ τοῦ κατανένευκε σκηδίχεται· οἱ δὲ, ἀντὶ τοῦ, εἰς ἀνάμνησιν ἔρχεται τῶ πατρός.

492. ΔΕΥ. Ἐιδὴς ὤν.

494. ΕΠΕΣ. Τῷ στόματι προσήνεγκε. ΚΟ. Νῦν, εἶδος ποτηρίου· ἔτω λέγεσι καὶ τὸ τοῦ ἰχίου ὀστοῦν, καὶ πᾶν τὸ κοῖλον.

495. ΥΠΕ. Τὸν καλούμενον οὐρανίσκον.

496. ΑΜ. Κατὰ ἀμφοτέρους τοὺς γονεῖς θάλλων, ὅ ἐστιν, ἔχων τοὺς γονεῖς ἀμφοτέρους. ΕΣ. Μετὰ πληγῶν ὤρισεν.

497. ΕΝΙΣ. Ἐπιπλήσσων, κακολογῶν.

498. ΟΥ. Ὡς ἔχεις. ΜΕ. Μεθ' ἡμῶν εὐωχεῖται.

501. ΜΥ. Τὸ νοστιμώτατον τῆς τροφῆς. ΠΙ. Τὸν ἐπίπλεων, τὸ λίπος. ΕΔΕΣ. Ἤθιεν.

502. ΝΗ. Νήπια φρονῶν, νηπιευόμενος.

504. ΘΑ. Πάντων τῶ πρὸς τὸ θάλλειν ἐμπληθείς.

Νῦν δ' ἂν πολλὰ πάθῃσι, φίλε ἀπὸ πατρὸς ἁμαρτὼν, 505
Ἀσυάναξ, ὃν Τρῶες ἐπίκλησιν καλέουσιν·
Οἶος γὰρ σφιν ἔρυσο πύλας καὶ τεῖχεα μακρά.
Νῦν δέ σε μὲν παρὰ νηυσὶ κορωνίσι, νόσφι τοκήων,
Αἰόλαι εὐλαὶ ἔδονται, ἐπεί κε κύνες κορέσωνται,
Γυμνόν· ἀτάρ τοι εἵματ' ἐνὶ μεγάροισι κέονται, 510
Λεπτά τε καὶ χαρίεντα, τετυγμένα χερσὶ γυναικῶν.
Ἀλλ' ἤτοι τάδε πάντα καταφλέξω πυρὶ κηλέῳ;
Οὐδέν σοί γ' ὄφελος, ἐπεὶ οὐκ ἐγκείσεαι αὐτοῖς,
Ἀλλὰ πρὸς Τρώων καὶ Τρωϊάδων κλέος εἶναι.'
Ὣς ἔφατο κλαίουσ'· ἐπὶ δὲ στενάχοντο γυναῖκες. 515

505. ΑΠΟ. Χωριθείς· ὅ ἐστι, τῆς πατρὸς ἀστοχήσας.
507. ΕΡΥ. Ἐφύλατλες.
509. ΑΙ. Ποικίλαι, εὐκίνητοι. ΕΥ. Σκώληκες· παρὰ τὸ αἰολεῖσθαι, ὅ ἐστι, κινεῖσθαι· τῇ δὲ τόνῳ, ὡς ὠναί.
510. ΚΕ. Κεῖνται.
511. ΧΑ. Εὐχάριστα, καλά.
514. ΑΛ. Ὁμοίως ἂν φιλεργῶν, ἤτοι ὡς ἂν πλησίων, ἢ διὰ τὴν σὰ τοῦ πλήθους δόξαν.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΙΛΙΑΔΟΣ Ψ.

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

ΑΧΙΛΛΕΥΣ τῶν νενομισμένων ἐπὶ τοῖς νεκροῖς μεταδίδωσι Πατρόκλῳ, πυρὰν νήσας, καὶ σφάξας ἐπ' αὐτῇ δυοκαίδεκα Τρωϊκὲς νεανίσκους, καὶ κύνας, καὶ ἵππους, καὶ ἄλλα ἱερεῖα· ἔπειτα καὶ ἀγῶνα ἐπιτάφιον ποιεῖ, ἐν ᾧ νικᾷ ἵπποις μὲν Διομήδης, δρόμῳ δὲ Ὀδυσσεὺς, ἄλλοι δὲ ἄλλως· καὶ ἔτως ὁ ἀγὼν διαλύεται.

Ἀγὼν ἐπιτάφιος.

Ψῖ Πάτροκλον θάπτει καὶ ἐξετέλεσσεν ἀγῶνας.

Ὡς οἱ μὲν ςενάχοντο κατὰ πτόλιν· αὐτὰρ Ἀχαιοὶ
Ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο,
Οἱ μὲν ἄρ' ἐσκίδναντο ἑὴν ἐπὶ νῆα ἕκαςος·
Μυρμιδόνας δ' οὐκ εἴα ἀποσκίδναθαι Ἀχιλλεὺς,
Ἀλλ' ὅγε οἷς ἑτάροισι φιλοπτολέμοισι μετηύδα· 5
Μυρμιδόνες ταχύπωλοι, ἐμοὶ ἐρίηρες ἑταῖροι,
Μὴ δή πω ὑπ' ὄχεσφι λυώμεθα μώνυχας ἵππους,
Ἀλλ' αὐτοῖς ἵπποισι καὶ ἅρμασιν ἆσσον ἰόντες
Πάτροκλον κλαίωμεν· ὁ γὰρ γέρας ἐςὶ θανόντων.
Αὐτὰρ ἐπεί κ' ὀλοοῖο τεταρπώμεθα γόοιο, 10

2. ΕΠΕΙ. Ἀκίφαλον καλεῖται τοῦτο τὸ μέτρον, πίπτουθι γὰρ καθαρχὰς ὁ ςίχος. Ἑλλήσποντον δὲ καλεῖ, τὴν πέριξ Ἰλίου θάλασσαν.

5. ΟΓΕ. Οὗτός γε.

8. ΑΥ. Κατὰ Ἀτθικὸν ἔθος πέφραπε χωρὶς τοῦ σύν.

9. Ο ΓΑΡ. Τοῦτο γάρ.

10. ΤΕ. Τερφθῶμεν.

‘Ἵππους λυσάμενοι δορπήσομεν ἐνθάδε πάντες.’
Ὡς ἔφαθ’· οἱ δ’ ᾤμωξαν ἀολλέες· ἦρχε δ’ Ἀχιλλεύς·
Οἱ δὲ τρὶς περὶ νεκρὸν ἐϋτριχας ἤλασαν ἵππους
Μυρόμενοι, μετὰ δέ σφι Θέτις γόον ἵμερον ὤρσε.
Δεύοντο ψάμαθοι, δεύοντο δὲ τεύχεα φωτῶν 15
Δάκρυσι· τοῖον γὰρ πόθεον μήστωρα φόβοιο.
Τοῖσι δὲ Πηλείδης ἀδινοῦ ἐξῆρχε γόοιο,
Χεῖρας ἐπ’ ἀνδροφόνους θέμενος στήθεσσιν ἑταίρου·
‘Χαῖρέ μοι, ὦ Πάτροκλε, καὶ εἰν Ἀΐδαο δόμοισι·
‘Πάντα γὰρ ἤδη τοι τελέω, τὰ πάροιθεν ὑπέστην, 20
‘Ἕκτορα δεῦρ’ ἐρύσας δώσειν κυσὶν ὠμὰ δάσασθαι·
‘Δώδεκα δὲ προπάροιθε πυρῆς ἀποδειροτομήσειν
‘Τρώων ἀγλαὰ τέκνα, σέθεν κταμένοιο χολωθείς.’
Ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα,
Πρηνέα παρ λεχέεσσι Μενοιτιάδαο τανύσσας 25
Ἐν κονίῃσ’· οἱ δ’ ἔντε’ ἀφωπλίζοντο ἕκαστος
Χάλκεα, μαρμαίροντα· λύον δ’ ὑψηχέας ἵππους.
Κάδδ’ ἵζον παρὰ νηῒ ποδώκεος Αἰακίδαο
Μυρίοι· αὐτὰρ ὁ τοῖσι τάφον μενοεικέα δαίνυ.
Πολλοὶ μὲν βόες ἀργοὶ ὀρέχθεον ἀμφὶ σιδήρῳ, 30
Σφαζόμενοι, πολλοὶ δ’ οἶες καὶ μηκάδες αἶγες·

11. ΔΟΡ. Δειπνήσομεν.
14. ΙΜΕ. Ἐπιθυμίαν.
15. ΔΕΥ. Ἐβρέχοντο. ΨΑ. Αἱ παραθαλάσσιοι ἄμμοι.
17. ΑΔΙ. Νῦν, πυκνῶ, συνεχῶς. ΓΟ. Θρήνου.
22. ΑΠΟ. Ἀποτεμεῖν τοὺς τραχήλους.
24. ΕΚ. Κατὰ Ἕκτορος δίου, ἤγουν ἰνδόξου.
25. ΠΑΡ. Παρὰ τῷ φερέτρῳ, ἤγουν τῇ κλίνῃ.
26. ΑΦΩ. Ἀφηροῦντο τὰ ὅπλα.
29. ΤΑ. Τάφον, τὸ περίδειπνον, τὸ ἐπὶ τοῖς τετελευτηκόσιν παρασκευαζόμενον· οἱ Κύπριοι καὶ τὸν φόνον τάφον καλοῦσι. ΜΕ. Θυμῆρες, αὔταρκες. ΔΑΙ. Εὐώχει.
30. ΟΡ. Ἀπετείνοντο ἀναιρούμενοι· ἢ ἐφθέγγοντο, καὶ ὥσπερ ἐπέστενον· μεμίμηται γὰρ τὸ ἰδίωμα τῆς φωνῆς· ὃ προΐενται ἀναιρούμενοι οἱ βοῦς· οἱ δὲ, ἐκόπτοντο, ἀπὸ τούτου καὶ ἐρεγμὸς, ὁ ἀποκεκομμένος κύαμος.
31. ΜΗ. Μηκητικαί· ἀπὸ τοῦ ἰδιώματος τῆς φωνῆς.

Πολλοὶ δ' ἀργιόδοντες ὕες, θαλέθοντες ἀλοιφῇ,
Εὐόμενοι τανύοντο διὰ φλογὸς Ἡφαίστοιο·
Πάντη δ' ἀμφὶ νέκυν κοτυλήρυτον ἔρρεεν αἷμα.
Αὐτὰρ τόνγε ἄνακτα ποδώκεα Πηλείωνα 35
Εἰς Ἀγαμέμνονα δῖον ἄγον βασιλῆες Ἀχαιῶν,
Σπευδῇ παρπεπιθόντες, ἑταίρῳ χωόμενον κῆρ.
Οἱ δ' ὅτε δὴ κλισίην Ἀγαμέμνονος ἷξον ἰόντες,
Αὐτίκα κηρύκεσσι λιγυφθόγγοισι κέλευσεν,
Ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν· εἴ τιν' ἐπείθοιεν 40
Πηλείδην λύσασθαι ἄπο βρότον αἱματόεντα.
Αὐτὰρ ὅγ' ἠρνεῖτο στερεῶς, ἐπὶ δ' ὅρκον ὄμοσσεν·
"Οὐ μὰ Ζῆν', ὅστις τε θεῶν ὕπατος καὶ ἄριστος,
"Οὐ θέμις ἐστὶ λοετρὰ καρήατος ἄσσον ἱκέσθαι,
"Πρίν γ' ἐνὶ Πάτροκλον θέμεναι πυρὶ, σῆμά τε χεῦσαι, 45
"Κείρασθαί τε κόμην· ἐπεὶ οὔ μ' ἔτι δεύτερον ὧδε
"Ἵξει' ἄχος κραδίην, ὄφρα ζωοῖσι μετείω.
"Ἀλλ' ἤτοι νῦν μὲν συγερῇ πειθώμεθα δαιτί·
"Ἠῶθεν δ' ὄτρυνον, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
"Ὕλην τ' ἀξέμεναι, παρά τε σχεῖν, ὡς ἐπιεικὲς 50
"Νεκρὸν ἔχοντα νέεσθαι ὑπὸ ζόφον ἠερόεντα·
"Ὄφρ' ἤτοι τόγε μὲν ἐπιφλέγῃ ἀκάματον πῦρ
"Θᾶσσον ἀπ' ὀφθαλμῶν, λαοὶ δ' ἐπὶ ἔργα τράπωνται."

32. ΘΑ. Θάλλοντες, λιπαροί.
33. ΕΥΟ. Φλογιζόμενοι. ΤΑΝΥ. Ἐξετείνοντο φλογιζόμενοι τῷ πυρί.
34. ΚΟ. Τοσοῦτοι τῷ πλήθει ὅτε καὶ κοτύλη ἀρύσασθαι· κοτύλην δὲ πᾶν τὸ κοῖλον ἔλεγον, ὅτε καὶ τὸ κοῖλον τῆς χειρὸς κοτύλην λέγεσθαι.
36. ΕΙΣ. Ἀντὶ τοῦ, πρὸς τὸν Ἀγαμέμνονα.
37. ΣΠΟΥ. Μόλις καὶ μετὰ πολλῆς κακοπαθείας πείσαντες.
40. ΤΡΙΠΟ. Λέβητα, βάσιν ἔχοντα τριῶν ποδῶν.
41. ΒΡΟ. Τὸν φόνον.
43. ΟΥ. Οὐ μὰ τὸν Δία. ΥΠΑ. Ἤτοι ὁ μίγιστος, ἢ ὁ ἄριστος.
44. ΘΕ. Οὐ δίκαιον, ἢ προσῆκον.
45. ΧΕΥ. Χῶσαι.
46. ΕΠΕΙ. Οὐκ ἄν μοι ἄλλο τοιοῦτο συμβήσεται κακόν. ΔΕΥ. Ἔσχατον.
47. ΜΕ. Μετὼ.
51. ΖΟ. Σκότος, ὃν ἡμεῖς φόβον λέγομεν. ΗΕ. Ἀερώδη, σκοτεινὸν, ἢ πλουτύν.

Ὣς ἔφαθ᾽· οἱ δ᾽ ἄρα τῷ μάλα μὲν κλύον, ἠδ᾽ ἐπίθοντο.
Ἐσσυμένως δ᾽ ἄρα δόρπον ἐφοπλίσσαντες ἕκαστοι 55
Δαίνυντ᾽· ἠδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐίσης.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Οἱ μὲν κακκείοντες ἔβαν κλισίηνδε ἕκαστος·
Πηλείδης δ᾽ ἐπὶ θινὶ πολυφλοίσβοιο θαλάσσης
Κεῖτο βαρυσενάχων, πολέσιν μετὰ Μυρμιδόνεσσιν, 60
Ἐν καθαρῷ, ὅθι κύματ᾽ ἐπ᾽ ἠϊόνος κλύζεσκον·
Εὖτε τὸν ὕπνος ἔμαρπε, λύων μελεδήματα θυμῷ,
Νήδυμος ἀμφιχυθείς· μάλα γὰρ κάμε φαίδιμα γυῖα,
Ἕκτορ᾽ ἐπαΐσσων προτὶ Ἴλιον ἠνεμόεσσαν.
Ἦλθε δ᾽ ἐπὶ ψυχὴ Πατροκλῆος δειλοῖο, 65
Πάντ᾽ αὐτῷ, μέγεθός τε καὶ ὄμματα καλ᾽, εἰκυῖα,
Καὶ φωνήν· καὶ τοῖα περὶ χροῒ εἵματα ἕστο·
Στῆ δ᾽ ἄρ᾽ ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν·
᾽Εὕδεις, αὐτὰρ ἐμεῖο λελασμένος ἔπλευ, Ἀχιλλεῦ;
᾽Οὐ μέν μευ ζώοντος ἀκήδεις, ἀλλὰ θανόντος· 70
᾽Θάπτε με ὅττι τάχιστα, πύλας Ἀΐδαο περήσω.
᾽Τῆλέ με εἴργουσι ψυχαί, εἴδωλα καμόντων,
᾽Οὐδέ μέ πω μίσγεσθαι ὑπὲρ ποταμοῖο ἐάσιν·
᾽Αλλ᾽ αὔτως ἀλάλημαι ἀν᾽ εὐρυπυλὲς Ἀΐδος δῶ.
᾽Καί μοι δὸς τὴν χεῖρ᾽, ὀλοφύρομαι· οὐ γὰρ ἔτ᾽ αὖτις 75
᾽Νίσσομαι ἐξ Ἀΐδαο, ἐπήν με πυρὸς λελάχητε.
᾽Οὐ μὲν γὰρ ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων

61. ΚΑ. Ὅπου ἐπικλύζουσα ἡ θάλασσα ἐποίει καθαρὸν τὸν αἰγιαλόν.
62. ΕΥ. Ἡνίκα. ΕΜΑΡΠ. Ἐλάμβανεν. ΜΕ. Φροντίδας.
64. ΕΠ. Ἐπὶ Ἕκτορα ὁρμῶν.
69. ΕΠΛΕΥ. Ἐγένου.
70. ΑΚΗ. Ἀφροντίζεις.
72. ΕΙ. Ἀπεικονίσματα. ΚΑ. Τῶν τεθνηκότων.
74. ΑΛΑ. Πλανῶμαι. ΕΥ. Πλατείας πύλας ἔχον.
75. ΟΛΟ. Οἰκτίζομαι, θρηνῶ· ἐλλείπει δὲ τὸ ἵνα.
76. ΝΙΣ. Παραβενύσομαι. ΛΕ. Λαχεῖν καὶ τυχεῖν ποιήσετε.
77. ΦΙ. Τῶν ἑταίρων ἄποθεν τῶν ἡμετέρων· τοῦτο γὰρ προσυπακουέον.

Βελὰς ἐζόμενοι βελεύσομεν· ἀλλ' ἐμὲ μὲν κῆρ
Ἀμφέχανε συγερὴ, ἥπερ λάχε γεινόμενόν περ·
Καὶ δέ σοι αὐτῷ μοῖρα, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ, 80
Τείχεϊ ὕπο Τρώων εὐηγενέων ἀπολέσθαι.
Ἄλλο δέ τοι ἐρέω καὶ ἐφήσομαι, αἴ κε πίθηαι,
Μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ', Ἀχιλλεῦ·
Ἀλλ' ὁμοῦ ὡς ἐτράφημεν ἐν ὑμετέροισι δόμοισιν,
Εὖτέ με τυτθὸν ἐόντα Μενοίτιος ἐξ Ὀπόεντος 85
Ἤγαγεν ὑμέτερόνδ', ἀνδροκτασίης ὑπὸ λυγρῆς,
Ἥματι τῷ, ὅτε παῖδα κατέκτανον Ἀμφιδάμαντος,
Νήπιος, οὐκ ἐθέλων, ἀμφ' ἀσταγάλοισι χολωθείς·
Ἔνθα με δεξάμενος ἐν δώμασιν ἱππότα Πηλεὺς,
Ἔτρεφέ τ' ἐνδυκέως, καὶ σὸν θεράποντ' ὀνόμηνεν· 90
Ὣς δὲ καὶ ὀστέα νῶϊν ὁμὴ σορὸς ἀμφικαλύπτοι,
Χρύσεος ἀμφιφορεὺς, τόν τοι πόρε πότνια μήτηρ.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Τίπτε μοι, ἠθείη κεφαλὴ, δεῦρ' εἰλήλουθας,
Καί μοι ταῦτα ἕκας' ἐπιτέλλεαι; αὐτὰρ ἐγώ τοι 95
Πάντα μάλ' ἐκτελέω, καὶ πείσομαι, ὡς σὺ κελεύεις.
Ἀλλά μοι ἄσσον σῆθι· μίνυνθά περ ἀμφιβαλόντε
Ἀλλήλους, ὀλοοῖο τεταρπώμεθα γόοιο.

79. ΑΜ. Περιέχανε, κατέπιεν.
81. ΕΥΗ. Εὖ ἀμειγόντων, εὐγενῶν.
82. ΕΦΗ. Ἐπισκέψομαι, ἐπιλεύσομαι.
85. ΟΠΟ. Ὀποῦντος· ἡ δὲ Ὀποῦς, πόλις τῆς Λοκρίδος.
86. ΥΜΕ. Προσληπτέον, οἶκον. ΑΝ. Διὰ τὴν χαλεπὴν ἀνδροφονίαν.
87. ΠΑΙ. Κλυσώνυμος ἦν ὁ ὑπὸ Πατρόκλου ἀναιρεθείς· ἡ δὲ ἱστορία εἴρηται ἐν τῇ μ'.
89. ΔΕΞ. Ὑποδεξάμενος.
90. ΕΝ. Ἐπιμελῶς.
91. ΟΣ. Διόνυσος Ἥφαιστον γενόμενον ἐν Νάξῳ, μιᾷ τῶν Κυκλάδων, ξενίσας, ἔλαβε παρ' αὐτοῦ δῶρον χρύσεον ἀμφορέα· διωχθεὶς δὲ ὕστερον ὑπὸ Λυκούργου, καὶ καταφυγὼν εἰς θάλασσαν, φιλοφρόνως αὐτὸν ὑποδεξαμένης Θέτιδος, ἔδωκεν αὐτῇ τὸν Ἡφαιστότευκτον ἀμφορέα· ἡ δὲ τῷ παιδὶ ἐχαρίσατο, ὅπως μετὰ θάνατον ἐν αὐτῷ ἀποτεθῇ τὰ ὀστᾶ αὐτοῦ· ἱστορεῖ Στησίχορος. ΟΜΗ. Ὁμοία καὶ ἡ αὐτή.
92. ΑΜ. Νῦν, σορός· λέγεται δὲ οὕτω καὶ τὸ μέγα κεραμίον.
98. ΤΕ. Οὕτω γὰρ ὁ θρῆνος ἀτεμπόν ἐστι, καὶ παραμυθεῖται δὲ τὸν αἰνοῦντα

Ὣς ἄρα φωνήσας ὠρέξατο χερσὶ φίλῃσιν,
Οὐδ' ἔλαβε· ψυχὴ δὲ κατὰ χθονὸς, ἠΰτε καπνὸς, 100
Ὤχετο τετριγυῖα· ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεὺς,
Χερσί τε συμπλατάγησεν, ἔπος τ' ὀλοφυδνὸν ἔειπεν·
Ὦ πόποι, ἦ ῥά τίς ἐστι καὶ εἰν Ἀΐδαο δόμοισι
Ψυχὴ καὶ εἴδωλον, ἀτὰρ φρένες οὐκ ἔνι πάμπαν·
Παννυχίη γάρ μοι Πατροκλῆος δειλοῖο 105
Ψυχὴ ἐφειστήκει γοόωσά τε, μυρομένη τε,
Καί μοι ἕκας' ἐπέτελλεν· ἔικτο δὲ θέσκελον αὐτῷ.
Ὣς φάτο· τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο·
Μυρομένοισι δὲ τοῖσι φάνη ῥοδοδάκτυλος ἠὼς
Ἀμφὶ νέκυν ἐλεεινόν. Ἀτὰρ κρείων Ἀγαμέμνων 110
Οὐρῆάς τ' ὤτρυνε καὶ ἀνέρας, ἀξέμεν ὕλην,
Πάντοθεν ἐκ κλισιῶν· ἐπὶ δ' ἀνὴρ ἐσθλὸς ὀρώρει
Μηριόνης, θεράπων ἀγαπήνορος Ἰδομενῆος.
Οἱ δ' ἴσαν ὑλοτόμους πελέκεας ἐν χερσὶν ἔχοντες,
Σειράς τ' εὐπλέκτους· πρὸ δ' ἄρ' ἀρῆες κίον αὐτῶν· 115
Πολλὰ δ' ἄναντα, κάταντα, πάραντά τε, δόχμιά τ' ἦλθον·
Ἀλλ' ὅτε δὴ κνημοὺς προσέβαν πολυπίδακος Ἴδης,
Αὐτίκ' ἄρα δρῦς ὑψικόμους ταναήκεϊ χαλκῷ
Τάμνον ἐπειγόμενοι· τὰ δὲ μεγάλα κτυπέουσαι
Πίπτον· τὰς μὲν ἔπειτα διαπλήσσοντες Ἀχαιοὶ 120

99. ΩΡΕΞ. Νῦν, προετείνατο.
101. ΤΕ. Τρίζουσα, ποιὸν ἦχον ἀποτιλοῦσα.
102. ΣΥΜ. Ψόφον ἐποίησε, συνεκρότησεν. ΟΛΟ. Ἐλεεινὸν, οἰκτρὸν, θρηνῶδες.
104. ΦΡΕ. Νῦν, ὅλον τὸ σῶμα.
107. ΕΙΚ. Ὡμοίωτο. ΘΕΣ. Ἀντὶ τοῦ, θεσκέλως, ὅ ἐστι, θείως καὶ θαυμαστῶς.
111. ΑΞΕ. Κόψειν ὕλην, παρὰ τὸ ἄξαι, ἢ φέρειν· ἄγεται γὰρ τὸ ζῶον.
113. ΑΓΑ. Ἀνδρείω.
114. ΥΛΟ. Ξυλοτόμους.
115. ΣΕΙ. Ὑγρηχίδας.
116. ΑΝΑ. Προσάντη, ἀνωφερῆ. ΚΑ. Κατωφερῆ. ΠΑ. Τὰ κρημνώδη καὶ γήλοφα. ΔΟΧ. Πλάγια.
117. ΑΛΛ. Ἀμαχὴ τῷ ποδῶν τιθεμένων. ΚΝΗ. Τὰς προσβάσεις τῶν ὀρῶν, νῦν.
120. ΔΙΑ. Διαπαίοντες.

Ἔκδεον ἡμιόνων, τὰ δὲ χθόνα ποσσὶ δατεῦντο,
Ἑλδόμεναι πεδίοιο, διὰ ῥωπήϊα πυκνά.
Πάντες δ' ὑλοτόμοι φιτροὺς φέρον· ὡς γὰρ ἀνώγει
Μηριόνης, θεράπων ἀγαπήνορος Ἰδομενῆος·
Κάδδ' ἄρ' ἐπ' ἀκτῆς βάλλον ἐπιχερώ, ἔνθ' ἄρ' Ἀχιλλεὺς 125
Φράσσατο Πατρόκλῳ μέγα ἠρίον, ἠδὲ οἱ αὐτῷ.
Αὐτὰρ ἐπεὶ πάντη παρακάββαλον ἄσπετον ὕλην,
Εἵατ' ἄρ' αὖθι μένοντες ἀολλέες· αὐτὰρ Ἀχιλλεὺς
Αὐτίκα Μυρμιδόνεσσι φιλοπτολέμοισι κέλευσε
Χαλκὸν ζώννυσθαι, ζεῦξαι δ' ὑπ' ὄχεσφιν ἕκαστον 130
Ἵππους· οἱ δ' ὤρνυντο, καὶ ἐν τεύχεσσιν ἔδυνον.
Ἂν δ' ἔβαν ἐν δίφροισι παραιβάται, ἡνίοχοί τε·
Πρόσθε μὲν ἱππῆες, μετὰ δὲ νέφος εἵπετο πεζῶν,
Μυρίοι· ἐν δὲ μέσοισι φέρον Πάτροκλον ἑταῖροι.
Θριξὶ δὲ πάντα νέκυν καταείνυον, ἃς ἐπέβαλλον 135
Κειρόμενοι· ὄπιθεν δὲ κάρη ἔχε δῖος Ἀχιλλεὺς
Ἀχνύμενος· ἕταρον γὰρ ἀμύμονα πέμπ' Ἀϊδόσδε.
Οἱ δ' ὅτε χῶρον ἵκανον, ὅθι σφίσι πέφραδ' Ἀχιλλεύς,
Κάτθεσαν· αἶψα δέ οἱ μενοεικέα νήεον ὕλην.
Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε ποδάρκης δῖος Ἀχιλλεύς· 140
Στὰς ἀπάνευθε πυρῆς ξανθὴν ἀπεκείρατο χαίτην,
Τήν ῥα Σπερχειῷ ποταμῷ τρέφε τηλεθόωσαν·

121. ΕΚ. Ἐξιδέσμευον. ΠΟΣ. Ἐμερίζοντο βαδίζουσαι· μερισμῷ γάρ τινι ὅμοιον γίγνεται κατὰ τὴν πορείαν.

122. ΡΩ. Διὰ τὴ δασίων καὶ θαμνωδῶν τόπων.

123. ΦΙ. Κορμούς.

125. ΕΠ. Ἐπὶ τῇ αἰγιαλῷ. ΕΠΙΣ. Ἐφιξῆς.

126. ΦΡΑΣ. Ἐβουλεύσατο, ἐνόησεν. ΗΡΙ. Κατὰ γῆν μνῆμα, τάφον.

130. ΖΩΝ. Καθοπλίζεσθαι.

132. ΠΛ. Οἱ ἐπὶ τῇ ἁρμάτων συμπολεμοῦντες· τουτέστι, κύριοι τῶν ἁρμάτων.

133. ΝΕ. Πλῆθος, νῦν.

135. ΘΡΙΞ. Κατεκαλυπτον, ἐσκέπαζον· τουτέστι, πολλὰς τρίχας κατέβαλλον, ὥστε καλύπτειν τὸν νεκρόν· τοῦτο δὲ πρὸς τιμὴν ἐγίγνετο τῷ θνήσκοντι· ὡς φησὶ Ἀλλαχῷ φησι· τὸ γὰρ γήρας ἐστὶ θανόντων, Κείρασθαί τε κόμην, βαλέειν τ' ἐπὶ δάκρυ παρειῶν.

139. ΜΕ. Πολύν. ΝΗ. Ἐσώρευον.

142. ΣΠΕΡ. Ποταμὸς Θεσσαλίας.

Ὀχθήσας δ' ἄρα εἶπεν, ἰδὼν ἐπὶ οἶνοπα πόντον·
'Σπερχεῖ', ἄλλως σοί γε πατὴρ ἠρήσατο Πηλεὺς,
'Κεῖσέ με νοσήσαντα φίλην ἐς πατρίδα γαῖαν, 145
'Σοί τε κόμην κερέειν, ῥέξειν θ' ἱερὴν ἑκατόμβην·
'Πεντήκοντα δ' ἔνορχα παρ' αὐτόθι μῆλ' ἱερεύσειν
'Ἐς πηγὰς, ὅθι τοι τέμενος βωμός τε θυήεις.
'Ὡς ἠρᾶθ' ὁ γέρων, σὺ δέ οἱ νόον οὐκ ἐτέλεσσας.
'Νῦν δ' ἐπεὶ οὐ νέομαί γε φίλην ἐς πατρίδα γαῖαν, 150
'Πατρόκλῳ ἥρωϊ κόμην ὀπάσαιμι φέρεσθαι.'
Ὡς εἰπὼν, ἐν χερσὶ κόμην ἑτάροιο φίλοιο
Θῆκεν· τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο·
Καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο,
Εἰ μὴ Ἀχιλλεὺς αἶψ' Ἀγαμέμνονι εἶπε παρασάς· 155
'Ἀτρεΐδη, σοὶ γάρ τε μάλιστά γε λαὸς Ἀχαιῶν
'Πείσονται μύθοισι, γόοιο μέν ἐστι καὶ ἄσαι.
'Νῦν δ' ἀπὸ πυρκαϊῆς σκέδασον, καὶ δεῖπνον ἄνωχθι
'Ὅπλεσθαι· τάδε δ' ἀμφιπονησόμεθ', οἷσι μάλιστα
'Κήδεός ἐστι νέκυος· παρὰ δ' οἱ ταγοὶ ἄμμι μενόντων.' 160
Αὐτὰρ ἐπεὶ τόγ' ἄκουσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
Αὐτίκα λαὸν μὲν σκέδασεν κατὰ νῆας ἐΐσας,
Κηδεμόνες δὲ παρ' αὖθι μένον, καὶ νήειον ὕλην.
Ποίησαν δὲ πυρὴν ἑκατόμπεδον ἔνθα καὶ ἔνθα·

143. ΟΓ. Νῦν, βαθύν.

144. ΑΛ. Ἔθος ἦν τοῖς ἀρχαίοις, μετὰ τὸ παρακμάσαι τῆς νεότητος, τὰς κόμας ἀποκείρειν τοῖς ποταμοῖς· τέτους γὰρ ἐνόμιζον τῶν ἀνατροφῶν αἰτίους εἶναι. Διὰ ταύτην ἢ τὴν αἰτίαν, καὶ εἰς τὰς ποταμὰς ὕδωρ ἐκόμιζον, τέκνων τε γενέσεως καὶ παιδοτροφίας οἰωνὸν τιθέμενοι· διόπερ καὶ τὰς Ἀχιλλέως κόμας Πηλεὺς τούτῳ καθιέρωσεν· ἦν γὰρ ἐκ Φαρσάλου τῆς Θεσσαλίας. ΑΛ. Μάτην.

147. ΕΝΟΡ. Ὄρχεις ἔχοντα· τοιαῦτα γὰρ ἔθυον τοῖς ποταμοῖς.

151. ΟΠΑ. Παράκοιμι.

158. ΠΥΡ. Πυρᾶς.

159. ΟΠΛΕΣ. Ἑτοιμάζεσθαι. ΑΜ. Ταῦτα ἀσχολησόμεθα.

160. ΚΗ. Φροντίδος ἄξιος, κηδεύσιμος· κηδεμόνες γὰρ οἱ κύριοι, οἷς μάλιστα προσήκει τὸ φροντίζειν. ΠΑ. Παραμενέτωσαν δὲ ἡμῖν οἱ ἡγεμόνες.

164. ΕΚΑ. Τετράγωνον· ὥστε ἑκά-

Ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν, ἀχνύμενοι κῆρ. 165
Πολλὰ δὲ ἴφια μῆλα, καὶ εἰλίποδας ἕλικας βοῦς
Πρόσθε πυρῆς ἔδερόν τε, κ᾽ ἄμφεπον· ἐκ δ᾽ ἄρα πάντων
Δημὸν ἑλὼν ἐκάλυψε νέκυν μεγάθυμος Ἀχιλλεὺς
Ἐς πόδας ἐκ κεφαλῆς, περὶ δὲ δρατὰ σώματα νῆεν.
Ἐν δὲ τίθει μέλιτος καὶ ἀλείφατος ἀμφιφορῆας, 170
Πρὸς λέχεα κλίνων· πίσυρας δ᾽ ἐριαύχενας ἵππους
Ἐσσυμένως ἐνέβαλλε πυρῇ, μεγάλα κοναχίζων.
Ἐννέα τῷγε ἄνακτι τραπεζῆες κύνες ἦσαν,
Καὶ μὲν τῶν ἐνέβαλλε πυρῇ δύο δειροτομήσας·
Δώδεκα δὲ Τρώων μεγαθύμων υἱέας ἐσθλοὺς, 175
Χαλκῷ δηϊόων· κακὰ δὲ φρεσὶ μήδετο ἔργα·
Ἐν δὲ πυρὸς μένος ἧκε σιδήρεον, ὄφρα νέμοιτο.
Ὤμωξέν τ᾽ ἄρ᾽ ἔπειτα, φίλον δ᾽ ὀνόμηνεν ἑταῖρον·
« Χαῖρέ μοι, ὦ Πάτροκλε, κ᾽ εἰν Ἀΐδαο δόμοισι·
« Πάντα γὰρ ἤδη τοι τελέω, τὰ πάροιθεν ὑπέσχην. 180
« Δώδεκα μὲν Τρώων μεγαθύμων υἱέας ἐσθλοὺς,
« Τοὺς ἅμα σοι πάντας πῦρ ἐσθίει· Ἕκτορα δ᾽ οὔτι
« Δώσω Πριαμίδην πυρὶ δαπτέμεν, ἀλλὰ κύνεσσιν.»
Ὣς φάτ᾽ ἀπειλήσας· τὸν δ᾽ οὐ κύνες ἀμφεπένοντο·
Ἀλλὰ κύνας μὲν ἄλαλκε Διὸς θυγάτηρ Ἀφροδίτη 185
Ἤματα καὶ νύκτας· ῥοδόεντι δὲ χρῖεν ἐλαίῳ,

γην πλευραὶ ἑκατὸν ποδῶν μέτρον ἔχον. ΕΝ. Τῇ δὲ κἀκεῖσε, κατὰ μῆκος καὶ πλάτος.

165. ΥΠ. Νῦν, ἐν μέσῳ καὶ ἐξέχοντι μέρει τῆς πυρᾶς.

168. ΔΗ. Πρὸς τὸ ταχὺ τὴν πιμελὴν ἐξαφθῆναι, τοῦτο ποιεῖ Ἀχιλλεύς.

169. ΝΗ. Ἐσώρευε δὲ τὰ σώματα τῶν ἀνῃρημένων ἀνδρῶν. ΔΡΑ. Ἐκδιδαρμένα.

170. ΑΛΕΙ. Ἀλείμματος, ἐλαίου.

171. ΠΙ. Τίσσαρας. ΕΡΙ. Μακροτραχήλους· μεγάλους, ἀπὸ μέρους.

177. ΜΕ. Περιφρασικῶς, τὸ πῦρ. ΣΙ. Νῦν, ἰσχυρόν. ΟΦ. Ὅπως ἐσθίῃ, τυτθίσι, καταδαπανᾷ.

179. ΧΑΙ. Ἀντὶ τοῦ, χαῖρε, τίρπου, ὅ ἐστιν, ἥδου.

183. ΔΑΠ. Ἐσθίειν, κατεσθίειν.

186. ΡΟ. Τῷ ῥοδινῷ.

Ἀμβροσίῳ, ἵνα μή μιν ἀποδρύφοι ἑλκυσάζων·
Τῷ δ' ἐπὶ κυάνεον νέφος ἤγαγε Φοῖβος Ἀπόλλων
Οὐρανόθεν πεδίονδε· κάλυψε δὲ χῶρον ἅπαντα,
Ὅσσον ἐπεῖχε νέκυς, μὴ πρὶν μένος ἠελίοιο 190
Σκήλεϊ ἀμφὶ περὶ χρόα ἵνεσιν, ἠδὲ μέλεσσιν.
Οὐδὲ πυρὴ Πατρόκλου ἐκαίετο τεθνειῶτος·
Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε ποδάρκης δῖος Ἀχιλλεὺς,
Στὰς ἀπάνευθε πυρῆς δοιοῖς ἠρᾶτ' ἀνέμοισι,
Βορέῃ καὶ Ζεφύρῳ, καὶ ὑπέσχετο ἱερὰ καλά· 195
Πολλὰ δὲ καὶ σπένδων χρυσέῳ δέπαϊ λιτάνευεν
Ἐλθέμεν, ὄφρα τάχιστα πυρὶ φλεγεθοίατο νεκρὸν,
Ὕλη τ' ἐσσεύοιτο καήμεναι. Ὠκέα δ' Ἶρις
Ἀράων ἀΐουσα μετάγγελος ἦλθ' Ἀνέμοισιν.
Οἱ μὲν ἄρα Ζεφύροιο δυσαέος ἀθρόοι ἔνδον 200
Εἰλαπίνην δαίνυντο· θέουσα δὲ Ἶρις ἐπέστη
Βηλῷ ἔπι λιθέῳ· τοὶ δ' ὡς ἴδον ὀφθαλμοῖσι,
Πάντες ἀνήϊξαν, κάλεόν τέ μιν εἰς ἓ ἕκαστος·
Ἡ δ' αὖθ' ἕζεσθαι μὲν ἀνήνατο, εἶπε δὲ μῦθον·
Οὐχ ἕδος· εἶμι γὰ αὖθις ἐπ' Ὠκεανοῖο ῥέεθρα, 205
Αἰθιόπων ἐς γαῖαν, ὅθι ῥέζουσ' ἑκατόμβας
Ἀθανάτοις, ἵνα δὴ καὶ ἐγὼ μεταδαίσομαι ἱρῶν·
Ἀλλ' Ἀχιλεὺς Βορέην ἠδὲ Ζέφυρον κελαδεινὸν
Ἐλθεῖν ἀρᾶται, καὶ ὑπίσχεται ἱερὰ καλὰ,
Ὄφρα πυρὴν ὄρσητε καήμεναι, ἧ ἔνι κεῖται 210

187. ΑΠΟ. Ἀποσπᾷ, ἀποσύρῃ. ΕΛ. Ἕλκων.
188. ΗΓΑ. Ἐπήγαγε.
190. ΜΕ. Περιφερεικῶς, ὁ ἥλιος.
191. ΣΚΗ. Σκληρύνῃ, ξηράνῃ, ὅθεν καὶ σκελετὸς, ὁ ξηρός. ΙΝ. Τὸν περὶ τοῖς νεύροις χρῶτα.
198. ΕΣΣΕΥ. Ὁρμὴν λάβοι, ἐπειχθῇ.
199. ΑΙ. Ἀκέουσα.
200. ΔΥ. Σφοδρὸν πνεῦμα ἔχοντος.
202. ΒΗ. Τῇ φλιᾷ, ἀπὸ τοῦ βαίνεσθαι.
203. Ε. Πρὸς ἑαυτὸν ἐκάλεν.
207. ΜΕ. Μεταλάβω αὐτῶν, εὐωχηθῶ. ΙΡΩΝ. Ἱερῶν, θυσιῶν.
210. ΟΡ. Ὁρμήσητε.

" Πάτροκλος, τὸν πάντες ἀναστενάχισιν Ἀχαιοί."
Ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπεβήσατο· τοὶ δ' ὀρέοντο
Ἠχῇ θεσπεσίῃ, νέφεα κλονέοντε πάροιθεν·
Αἶψα δὲ πόντον ἵκανον ἀήμεναι· ὦρτο δὲ κῦμα
Πνοιῇ ὕπο λιγυρῇ· Τροίην δ' ἐρίβωλον ἱκέσθην, 215
Ἐν δὲ πυρῇ πεσέτην, μέγα δ' ἴαχε θεσπιδαὲς πῦρ·
Παννύχιοι δ' ἄρα τοίγε πυρῆς ἄμυδις φλόγ' ἔβαλλον,
Φυσῶντες λιγέως· ὁ δὲ πάννυχος ὠκὺς Ἀχιλλεὺς
Χρυσέῳ ἐκ κρητῆρος, ἑλὼν δέπας ἀμφικύπελλον,
Οἶνον ἀφυσσόμενος χαμάδις χέε, δεῦε δὲ γαῖαν, 220
Ψυχὴν κικλήσκων Πατροκλῆος δειλοῖο.
Ὡς δὲ πατὴρ οὗ παιδὸς ὀδύρεται ὀστέα καίων
Νυμφίου, ὅστε θανὼν δειλὲς ἀκάχησε τοκῆας·
Ὣς Ἀχιλεὺς ἑτάροιο ὀδύρετο ὀστέα καίων,
Ἑρπύζων παρὰ πυρκαϊὴν, ἀδινὰ στοναχίζων. 225
Ἦμος δ' Ἑωσφόρος εἶσι φόως ἐρέων ἐπὶ γαῖαν,
Ὅντε μέτα κροκόπεπλος ὑπεὶρ ἅλα κίδναται ἠὼς,
Τῆμος πυρκαϊὴ ἐμαραάνετο, παύσατο δὲ φλόξ.
Οἱ δ' Ἄνεμοι πάλιν αὖτις ἔβαν οἴκόνδε νέεσθαι,
Θρηΐκιον κατὰ πόντον· ὁ δ' ἔστενεν, οἴδματι θύων. 230
Πηλείδης δ' ἀπὸ πυρκαϊῆς ἑτέρωσε λιαθεὶς,
Κλίνθη κεκμηὼς, ἐπὶ δὲ γλυκὺς ὕπνος ὄρουσεν.
Οἱ δ' ἀμφ' Ἀτρείωνα ἀολλέες ἠγερέθοντο,
Τῶν μιν ἐπερχομένων ὅμαδος καὶ δοῦπος ἔγειρεν.
Ἕζετο δ' ὀρθωθεὶς, καὶ σφεας πρὸς μῦθον ἔειπεν· 235

212. ΟΡΕ. Ὥρμων.
214. ΑΗ. Πνοῖν.
215. ΛΙ. Ὀξείῃ.
218. ΛΙ. Ὀξέως.
223. ΝΥΜ. Ἤτοι νεογάμου ἡλικίαν ἔχοντος. ΑΚΑ. Ἐλύπησεν.
225. ΕΡ. Συγκεκυφὼς καὶ ἠρέμα παραγινόμενος.
226. ΕΩΣ. Ὁ κατὰ τὴν ἡμέραν ἀνατέλλων, λαμπρότατος ἀστὴρ, ὃς Ἕσπερος καλεῖται· ἄτος δ' ἐστὶν ὁ τῆς Ἀφροδίτης. ΕΡ. Ἀπαγγέλλων.

‘ Ἀτρεΐδη τε, καὶ ἄλλοι ἀριστῆες παναχαιῶν,
‘ Πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσατ᾽ αἴθοπι οἴνῳ
‘ Πᾶσαν, ὁπόσσον ἐπέχε πυρὸς μένος· αὐτὰρ ἔπειτα
‘ Ὀστέα Πατρόκλοιο Μενοιτιάδαο λέγωμεν,
‘ Εὖ διαγινώσκοντες· ἀριφραδέα δὲ τέτυκται· 240
‘ Ἐν μέσσῃ δὲ ἔκειτο πυρῇ, τοὶ δ᾽ ἄλλοι ἄνευθεν
‘ Ἐσχατιῇ κάιοντ᾽ ἐπιμιξ ἵπποι τε καὶ ἄνδρες·
‘ Καὶ τὰ μὲν ἐν χρυσέῃ φιάλῃ καὶ δίπλακι δημῷ
‘ Θείομεν, εἰσόκεν αὐτὸς ἐγὼν Ἄϊδι κεύθωμαι.
‘ Τύμβον δ᾽ οὐ μάλα πολλὸν ἐγὼ πονέεσθαι ἄνωγα, 245
‘ Ἀλλ᾽ ἐπιεικέα τοῖον· ἔπειτα δὲ καὶ τὸν Ἀχαιοὶ
‘ Εὐρύν θ᾽ ὑψηλόν τε τιθήμεναι, οἵ κεν ἐμεῖο
‘ Δεύτεροι ἐν νήεσσι πολυκλήϊσι λίπηται.’
Ὣς ἔφαθ᾽· οἱ δ᾽ ἐπίθοντο ποδώκεϊ Πηλείωνι.
Πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσαν αἴθοπι οἴνῳ, 250
Ὅσσον ἐπὶ φλὸξ ἦλθε, βαθεῖα δὲ κάππεσε τέφρη·
Κλαίοντες δ᾽ ἑτάροιο ἐνηέος ὀστέα λευκὰ
Ἄλλεγον ἐς χρυσέην φιάλην, καὶ δίπλακα δημόν·
Ἐν κλισίῃσι δὲ θέντες ἑανῷ λιτὶ κάλυψαν·
Τορνώσαντο δὲ σῆμα, θεμείλιά τε προβάλοντο 255
Ἀμφὶ πυρήν· εἶθαρ δὲ χυτὴν ἐπὶ γαῖαν ἔχευαν·
Χεύαντες δὲ τὸ σῆμα, πάλιν κίον. Αὐτὰρ Ἀχιλλεὺς
Αὐτοῦ λαὸν ἔρυκε, καὶ ἵζανεν εὐρὺν ἀγῶνα·
Νηῶν δ᾽ ἔκφερ᾽ ἄεθλα, λέβητάς τε, τρίποδάς τε,

239. ΛΕ. Ἀναλέγωμεν.
240. ΑΡΙ. Εὐεπίσημα, εὔγνωστα.
242. ΕΣ. Τῷ κατωτάτῳ μέρει. ΕΠΙ. Ἀναμεμιγμένως.
243. ΦΙΑ. Ἀγγείῳ κοίλῳ.
244. ΑΙ. Εἰς ᾅδου τὴν κέλευσιν, ὅ ἐστι, τὴν ὁδὸν, ποιήσομαι· συγκέκοπται δὲ ἀπὸ τοῦ κελεύθομαι, καὶ σημαίνει τὸ πορεύομαι.
245. ΠΟ. Ποιεῖν, ἐνεργεῖν.
252. ΕΝΗ. Προσηνῆς.
254. ΕΑ. Ἀπαλῷ καὶ λεπτῷ ἱματίῳ.
255. ΤΟΡ. Κύκλῳ περιέγραψαν.
256. ΧΥ. Χωστὴν ἢ πᾶσαν ἢ, ἀλλὰ τὴν ἰδίως τοῖς νεκροῖς ἐπιχεομένην.
257. ΧΕΥ. Χώσαντες.
259. ΑΕΘ. Νικητήρια, ἔπαθλα.

Ἵππους θ', ἡμιόνους τε, βοῶν τ' ἴφθιμα κάρηνα, 260
Ἠδὲ γυναῖκας ἐϋζώνους, πολιόν τε σίδηρον.
Ἱππεῦσιν μὲν πρῶτα ποδώκεσιν ἀγλά' ἄεθλα
Θῆκε, γυναῖκα ἄγεσθαι ἀμύμονα, ἔργ' εἰδυῖαν,
Καὶ τρίποδ', ὠτώεντα δυωκαιεικοσίμετρον,
Τῷ πρώτῳ· ἀτὰρ αὖ τῷ δευτέρῳ ἵππον ἔθηκεν 265
Ἑξέτε', ἀδμήτην, βρέφος ἡμίονον κυέουσαν·
Αὐτὰρ τῷ τριτάτῳ ἄπυρον κατέθηκε λέβητα,
Καλὸν, τέσσαρα μέτρα κεχανδότα, λευκὸν ἔθ' αὔτως·
Τῷ δὲ τετάρτῳ θῆκε δύο χρυσοῖο τάλαντα·
Πέμπτῳ δ' ἀμφίθετον φιάλην ἀπύρωτον ἔθηκε· 270
Στῆ δ' ὀρθὸς, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
« Ἀτρείδη τε, καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοὶ,
« Ἵππας τάδ', ἄεθλα δεδεγμένα κεῖτ' ἐν ἀγῶνι.
« Εἰ μὲν νῦν ἐπὶ ἄλλῳ ἀεθλεύοιμεν Ἀχαιοὶ,
« Ἦτ' ἂν ἐγὼ τὰ πρῶτα λαβὼν κλισίηνδε φεροίμην· 275
« Ἴσε γὰρ, ὅσσον ἐμοὶ ἀρετῇ περιβάλλετον ἵπποι·
« Ἀθάνατοί τε γάρ εἰσι· Ποσειδάων δ', ἔπορ' αὐτοὺς
« Πατρὶ ἐμῷ Πηλῆϊ, ὁ δ' αὖτ' ἐμοὶ ἐγγυάλιξεν.
« Ἀλλ' ἤτοι μὲν ἐγὼ μενέω, καὶ μώνυχες ἵπποι·
« Τοίους γὰρ θένος ἐσθλὸν ἀπώλεσαν ἡνιόχοιο, 280
« Ἠπίους, ὃς σφῶϊν μάλα πολλάκις ὑγρὸν ἔλαιον

260. ΚΑ. Περιφραστικῶς, βοῦς.
261. ΕΥΖΩ. Καλὰς, ἀπὸ μέρους.
264. ΩΤΩ. Ὠτα ἔχοῦσα. ΔΥ. Δύο καὶ εἴκοσι μέτρα χωροῦντα.
266. ΕΞ. Ἑξαέτη. ΒΡΕ. Ὁ ἡμεῖς ἥμιονον λέγομεν, ἐν τῇ γαστρὶ ὄν. ΑΔ. Ἀδάμαστον. ΚΥ. Ἔγκυον καὶ κατὰ γαστρὸς ἔχουσαν.
267. ΑΠΥ. Καινόν· οὐκ εἰς πῦρ χρήσιμον, ἀλλὰ ἀναθηματικόν.
268. ΚΕ. Χωροῦντα.
270. ΑΜ. Διαπλῆν, οἱονεὶ ἔχουσαν, καὶ ἐπὶ γόμα, καὶ ἐπὶ τὸν πυθμένα θέσιν.
273. ΔΕ. Ἀναμένοντα, προσδιχόμενα. ΑΓΩ. Νῦν, τόπῳ.
276. ΠΕ. Ὑπερβάλλουσιν.
281. ΥΓΡΟΝ. Ἤτοι σωμάτων χαλαστικόν· ἢ, τὸ ἐν ὑγρότητι διαφυλάττον, καὶ μὴ ἐῶν ξηραίνεσθαι· ἢ, ὅτι τὸ ἔλαιον οὐκ ἀποκρυσταλλοῦται, πολὺ ἔχον ἐν αὐτῷ τὸ θερμόν.

ᾧ Χαιτάων κατέχευε, λοέσσας ὕδατι λευκῷ.
Τὸν τώγ' ἑσαότες πενθείετον, ὄφρεϊ δὲ σφιν
Χαῖται ἐρηρέδαται, τὼ δ' ἕστατον ἀχνυμένω κῆρ·
Ἄλλοι δὲ στέλλεσθε κατὰ στρατὸν, ὅστις Ἀχαιῶν 285
Ἵπποισίν τε πέποιθε καὶ ἅρμασι κολλητοῖσιν.
Ὡς φάτο Πηλείδης· ταχέες δ' ἱππῆες ἔγερθεν·
Ὦρτο πολὺ πρῶτος μὲν ἄναξ ἀνδρῶν Εὔμηλος,
Ἀδμήτου φίλος υἱὸς, ὃς ἱπποσύνῃ ἐκέκαστο·
Τῷ δ' ἐπὶ Τυδείδης ὦρτο κρατερὸς Διομήδης, 290
Ἵππους δὲ Τρωὸς ὕπαγε ζυγὸν, ὅς ποτ' ἀπηύρα
Αἰνείαν, ἀτὰρ αὐτὸν ὑπεξεσάωσεν Ἀπόλλων.
Τῷ δ' ἄρ' ἐπ' Ἀτρείδης ὦρτο ξανθὸς Μενέλαος,
Διογενὴς, ὑπὸ δὲ ζυγὸν ἤγαγεν ὠκέας ἵππους,
Αἴθην τὴν Ἀγαμεμνονέην, τὸν ἑόν τε Πόδαργον· 295
Τὴν Ἀγαμέμνονι δῶκ' Ἀγχισιάδης Ἐχέπωλος
Δῶρ', ἵνα μή οἱ ἕποιθ' ὑπὸ Ἴλιον ἠνεμόεσσαν,
Ἀλλ' αὐτοῦ τέρποιτο μένων, μέγα γάρ οἱ ἔδωκε
Ζεὺς ἄφενος, ναῖεν δ' ὅγ' ἐν εὐρυχόρῳ Σικυῶνι·
Τὴν ὅγ' ὑπὸ ζυγὸν ἦγε μέγα δρόμου ἰοχανόωσαν. 300
Ἀντίλοχος δὲ τέταρτος ἐΰτριχας ὠπλίσαθ' ἵππους,
Νέστορος ἀγλαὸς υἱὸς, ὑπερθύμοιο ἄνακτος,
Τοῦ Νηληϊάδαο· Πυληγενέες δέ οἱ ἵπποι
Ὠκύποδες φέρον ἅρμα· πατὴρ δέ οἱ ἄγχι παρασὰς
Μυθέετ' εἰς ἀγαθὰ φρονέων νοέοντι καὶ αὐτῷ· 305
Ἀντίλοχ', ἤτοι μέν σε, νέον περ ἐόντ', ἐφίλησαν

284. ΕΡΗ. Ἐρηρεισμέναι εἰσί· τῇ γῇ προσπελάζονται.
285. ΣΤΕΛ. Παρασκευάζεσθε, ὁρμᾶτε.
295. ΑΙ. Ὄνομα τοῦ ἵππου πεποιημένον ἴσως ἀπὸ τοῦ θερμῶς καὶ ταχέως τρέχειν.
296. ΑΓ. Ὁ Ἀγχίσου παῖς, Ἐχέπωλος.
300. ΙΣ. Ἐξιχομένην, σπευδομένην, ἢ ἐπιθυμοῦσαν, ἂν ἢ ἄνευ τοῦ α.
301. ΕΥ. Καλῶς, ἀπὸ μέρους.
305. ΜΥ. Ἔλεγεν. ΕΙΣ. Εἰς ἀγαθὰ σωφρονίζων.

Ζεύς τε, Ποσειδάων τε, καὶ ἱπποσύνας ἐδίδαξαν
Παντοίας· τῷ καί σε διδασκέμεν ὅτι μάλα χρεώ.
Οἶδα γὰρ εὖ περὶ τέρμαθ' ἑλισσέμεν· ἀλλά τοι ἵπποι
Βάρδιστοι θείειν, τῷ τ' οἴω λοίγι' ἔσεσθαι· 310
Τῶν δ' ἵπποι μὲν ἔασιν ἀφάρτεροι, ὐδὲ μὲν αὐτοὶ
Πλείονα ἴσασιν σέθεν αὐτῆ μητίσασθαι.
Ἀλλ' ἄγε δὴ σὺ, φίλος, μῆτιν ἐμβάλλεο θυμῷ
Παντοίην, ἵνα μή σε παρεκπροφύγῃσιν ἄεθλα.
Μήτι τοι δρυτόμος μέγ' ἀμείνων, ἠὲ βίηφι· 315
Μήτι δ' αὖτε κυβερνήτης ἐνὶ οἴνοπι πόντῳ
Νῆα θοὴν ἰθύνει ἐρεχθομένην ἀνέμοισι·
Μήτι δ' ἡνίοχος περιγίνεται ἡνιόχοιο.
Ἀλλ' ὃς μέν θ' ἵπποισι καὶ ἅρμασιν οἷσι πεποιθὼς,
Ἀφραδέως ἐπὶ πολλὸν ἑλίσσεται ἔνθα καὶ ἔνθα, 320
Ἵπποι δὲ πλανόωνται ἀνὰ δρόμον, ὐδὲ κατίσχει·
Ὃς δέ κε κέρδεα εἰδῇ, ἐλαύνων ἥσσονας ἵππους,
Αἰεὶ τέρμ' ὁρόων, στρέφει ἐγγύθεν, ὐδέ ἑ λήθει
Ὅππως τὸ πρῶτον τανύσῃ βοέοισιν ἱμᾶσιν·
Ἀλλ' ἔχει ἀσφαλέως, καὶ τὸν πρόχοντα δοκεύει. 325
Σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδὲς, ὐδέ σε λήσει·
Ἕστηκε ξύλον αὖον, ὅσον τ' ὄργυι', ὑπὲρ αἴης,
Ἢ δρυὸς, ἢ πεύκης, τὸ μὲν οὐ καταπύθεται ὄμβρῳ·
Λᾶε δὲ τῷ ἑκάτερθεν ἐρηρέδαται δύο λευκὼ,

309. ΤΕΡ. Τίλη, καμπτῆρας. ΕΛΙΣ. Εἰλεῖν, κάμπτειν.
310. ΒΑΡ. Βραδύτατοι.
311. ΑΦΑΡ. Ἀμείνους, ταχύτατοι.
312. ΜΗ. Κατεργάσασθαι, βουλεύσασθαι.
315. ΜΗ. Συνέσει, τέχνῃ.
317. ΕΡΕΧ. Βαρυμένην.
320. ΑΦΡΑ. Ἀνοήτως.
322. ΚΕΡ. Ἡ συνετὸς, ἢ πανοῦργος. ΗΣ. Ἐλάτίονας.
324. ΤΑ. Ἐκτείνῃ. ΒΟΕ. Ἡνίαις.
325. ΠΡΟΥ. Προέχοντα, προάγοντα, ὑψηλόν. ΔΟ. Ἐνεδρεύει, ἐπιτηρεῖ.
326. ΣΗ. Νῦν, σημεῖον.
327. ΑΥ. Ξηρόν. ΟΡ. Ἡ τῶν δύο χειρῶν εἰς πλάτος ἔκτασις.
328. ΚΑ. Σήπεται, φθείρεται.
329. ΛΑΕ. Λίθοι.

Ἐν ξυνοχῇσιν ὁδοῦ· λεῖος δ' ἱππόδρομος ἀμφίς· 330
Ἦ τευ σῆμα βροτοῖο πάλαι κατατεθνειῶτος,
Ἦ τόγε νύσσα τέτυκτο ἐπὶ πρωτέρων ἀνθρώπων,
Καὶ νῦν τέρματ' ἔθηκε ποδάρκης δῖος Ἀχιλλεύς.
Τῷ σὺ μάλ' ἐγχρίμψας ἐλάαν ὀχεδὸν ἄρμα καὶ ἵππους·
Αὐτὸς δὲ κλινθῆναι ἐϋπλέκτῳ ἐνὶ δίφρῳ, 335
Ἦκ' ἐπ' ἀριστερὰ τοῖιν· ἀτὰρ τὸν δεξιὸν ἵππον
Κένσαι ὁμοκλήσας, εἴξαί τέ οἱ ἠνία χερσίν.
Ἐν νύσσῃ δέ τοι ἵππος ἀριστερὸς ἐγχριμφθήτω,
Ὡς ἄν τοι πλήμνη γὲ δοάσσεται ἄκρον ἱκέσθαι
Κύκλου ποιητοῖο· λίθου δ' ἀλέασθαι ἐπαυρεῖν, 340
Μήπως ἵππους τε τρώσῃς, κατά θ' ἅρματα ἄξῃς·
Χάρμα δὲ τοῖς ἄλλοισιν, ἐλεγχείη δὲ σοὶ αὐτῷ
Ἔσσεται· ἀλλὰ, φίλος, φρονέων πεφυλαγμένος εἶναι·
Εἰ γάρ κ' ἐν νύσσῃ γε παρεξελάσῃθα διώκων,
Οὐκ ἔθ', ὅς κέ σ' ἕλῃσι μετάλμενος, οὐδὲ παρέλθῃ· 345
Οὐδ' εἴ κεν μετόπιθεν Ἀρήιονα δῖον ἐλαύνοι,

330. ΞΥΝ. Ἐν ταῖς ξυμβολαῖς, καθ' ὃ μάλιστα ἐστίνται ἡ ὁδός. ΛΕΙ. Ὁμαλὸς δέ ἐστιν ὁ μετ' αὐτὸ ἱππόδρομος.

332. ΝΥΣ. Καμπήρ.

335. ΚΛΙΝ. Συγκαμφθῆναι.

337. ΚΕΝ. Τῷ κέντρῳ πλῆξον, καὶ τῇ φωνῇ ἐπιπλήξας. ΕΙΞ. Ἀντὶ τοῦ, ἐπιδοῦναι, χαλάσαι. ΕΙ. Ἀντὶ τοῦ, εἶξον.

339. ΩΣ. Ἐπὶ τῷ καμπτῆρί σοι ὁ ἀριστερὸς ἵππος ἔτως ἐμπελασάτω ἀκριβῶς, ὥστε τὴν ἔξωθεν περιφέρειαν τοῦ τροχοῦ δέξαι ψαύειν τῆς χοινικίδος· τοῦτο δὲ πάσχειν δοκεῖ ὁ παρὰ τὸ καμπτῆρα τροχός. ΠΛΗΜ. Χοινικίδι, ἀπὸ τοῦ πληροῦν τὸ ἄξονα. ΔΟ. Δόξειεν.

340. ΚΥ. Τροχοῦ· διὰ τοῦτο καὶ ποιητοῖο. ΕΠΑΥ. Νῦν, ψαῦσαι.

341. ΑΞ. Κατάξῃς, κλάσῃς.

342. ΧΑΡ. Χαρά.

343. ΠΕ. Ἀντὶ τοῦ, πεφύλαξο.

346. ΑΡ. Ποσειδῶν, ἐρασθεὶς Ἐριννύος, μεταβαλὼν τὴν αὐτοῦ φύσιν εἰς ἵππον, ἐμίγη κατὰ Βοιωτίαν, παρὰ τῇ Τελφούσῃ κρήνῃ· ἡ δὲ ἔγκυος γενομένη, ἵππον ἐγέννησεν, ὃς διὰ τὸ κρατιστεύειν, Ἀρείων ἐκλήθη. Κοπρεὺς δὲ, Ἀλιάρτου βασιλεύων, πόλεως Βοιωτίας, ἔλαβε δῶρον αὐτὸν παρὰ Ποσειδῶνος· ἔτος δὲ αὐτὸν Ἡρακλεῖ ἐχαρίσατο, γενομένῳ παρ' αὐτῷ· τούτῳ δ διαγωνισάμενος Ἡρακλῆς, πρὸς Κύκνον, Ἄρεος υἱὸν, παθ' ἱπποδρομίαν, ἐνίκησεν ἐν τῷ Ῥ Παγασαίῳ Ἀπόλλωνος ἱερῷ, ὅ ἐστι, πρὸς Τροιζῆνι· εἶθ' ὕστερον αὖθις ὁ Ἡρακλῆς, Ἀδράστῳ τὸ πῶλον παρέχων, ἐφ' ᾧ μόνος ὁ Ἄδραστος ἐκ τοῦ Θηβαϊκοῦ πολέμου διεσώθη, τῶν ἄλλων ἀπολομένων· ἡ ἱστορία παρὰ τοῖς Κυκλικοῖς.

'Αδρήστ ταχὺν ἵππον, ὃς ἐκ θεόφιν γένος ἦεν,
"Η τοὺς Λαομέδοντος, οἳ ἐνθάδε γ' ἔτραφεν ἐσθλοί.'
Ὣς εἰπὼν Νέστωρ Νηλήϊος ἂψ ἐνὶ χώρῃ
Ἕζετ', ἐπεὶ ῷ παιδὶ ἑκάστ πείρατ' ἔειπε. 350
Μηριόνης δ' ἄρα πέμπτος ἐύτριχας ὠπλίσαθ' ἵππους.
Ἂν δ' ἔβαν ἐς δίφρους, ἐν δὲ κλήρους ἐβάλοντο·
Πάλλ' Ἀχιλεὺς, ἐκ δὲ κλῆρος θόρε Νεστορίδαο
Ἀντιλόχ· μετὰ τὸν δ' ἔλαχε κρείων Εὔμηλος·
Τῷ δ' ἄρ' ἐπ' Ἀτρείδης δουρικλυτὸς Μενέλαος· 355
Τῷ δ' ἐπὶ Μηριόνης λάχ' ἐλαυνέμεν· ὕστατος αὖτε
Τυδείδης, ὄχ' ἄριστος ἐών, λάχ' ἐλαυνέμεν ἵππους.
Στὰν δὲ μεταστιχεί· σήμηνε δὲ τέρματ' Ἀχιλλεὺς,
Τηλόθεν ἐν λείῳ πεδίῳ· παρὰ δὲ σκοπὸν εἷσεν
Ἀντίθεον Φοίνικα, ὀπάονα πατρὸς ἑοῖο, 360
Ὡς μεμνέωτο δρόμου, καὶ ἀληθείην ἀποείποι.
Οἱ δ' ἅμα πάντες ἐφ' ἵππουσιν μάστιγας ἄειραν,
Πέπληγόν θ' ἱμᾶσιν, ὁμόκλησάν τ' ἐπέεσσιν,
Ἐσσυμένως· οἱ δ' ὦκα διέπρησσον πεδίοιο,
Νόσφι νεῶν, ταχέως· ὑπὸ δὲ στέρνοισι κονίη 365
Ἵστ' ἀειρομένη, ὥστε νέφος, ἠὲ θύελλα·
Χαῖται δ' ἐρρώοντο μετὰ πνοιῆς ἀνέμοιο.
Ἅρματα δ' ἄλλοτε μὲν χθονὶ πίλνατο πουλυβοτείρῃ,
Ἄλλοτε δ' αἴξασκε μετήορα· τοὶ δ' ἐλατῆρες
Ἕστασαν ἐν δίφροισι· πάτασσε δὲ θυμὸς ἑκάστ 370

358. ΜΕ. Κατὰ στοῖχον, ἰφιξῆς.
359. ΣΚΟ. Ἐπίσκοπον, παρατηρητήν.
361. ΩΣ. Ὅπως ἐπιμελοῖτο καὶ ἐπισκοποῖτο τὸν δρόμον· μή τις περὶ τὸν καμπτῆρα παραγγύσῃ.
363. ΟΜΟ. Ἠπείλησαν, ἐπεκέλευσαν.
366. ΑΕΙ. Ἀναφερομένη, ἐπαιρομένη εἰς ὕψος.
367. ΕΡ. Ἐκινοῦντο, ἐσείοντο. ΜΕ, Ἀντὶ τοῦ, ἀνέμου δίκην.
368. ΠΙΑ. Προσεπιλαμβάνειν, προσέχειν.
369. ΜΕ. Ὑψοῦ. [illegible]
370. ΠΙΑ. [illegible]

Νίκης ἱεμένων· κέκλοντο δὲ οἷσιν ἕκαστος
Ἵπποις, οἱ δ' ἐπέτοντο κονίοντες πεδίοιο.
Ἀλλ' ὅτε δὴ πύματον τέλεον δρόμον ὠκέες ἵπποι
Ἅψ ἐφ' ἁλὸς πολιῆς, τότε δὴ ἀρετή γε ἑκάστου
Φαίνετ, ἄφαρ δ' ἵπποισι τάθη δρόμος· ὦκα δ' ἔπειτα 375
Αἱ Φηρητιάδαο ποδώκεες ἔκφερον ἵπποι.
Τὰς δὲ μετ' ἐξέφερον Διομήδεος ἄρσενες ἵπποι
Τρῶϊοι· ὀδέ τι πολλὸν ἄνευθ' ἔσαν, ἀλλὰ μάλ' ἐγγύς·
Ἀιεὶ γὰρ δίφρου ἐπιβησομένοισιν ἐίκτην·
Πνοιῇ δ' Εὐμήλοιο μετάφρενον, εὐρέε τ' ὤμω, 380
Θέρμετ'· ἐπ' αὐτῷ δὲ κεφαλὰς καταθέντε πετέσθην.
Καί νύ κεν ἢ παρέλασσ', ἢ ἀμφήριστον ἔθηκεν,
Εἰ μὴ Τυδέος υἱὸς κοτέσσατο Φοῖβος Ἀπόλλων,
Ὅς ῥά οἱ ἐκ χειρῶν ἔβαλεν μάστιγα φαεινήν.
Τοῖο δ' ἀπ' ὀφθαλμῶν χύτο δάκρυα χωομένοιο, 385
Οὕνεκα τὰς μὲν ὅρα ἔτι καὶ πολὺ μᾶλλον ἰοῦσας,
Οἱ δὲ οἱ ἐβλάφθησαν, ἄνευ κέντροιο θέοντες.
Οὐδ' ἄρ' Ἀθηναίην ἐλεφηράμενος λαθ' Ἀπόλλων
Τυδείδην, μάλα δ' ὦκα μετέσσυτο ποιμένα λαῶν·
Δῶκε δέ οἱ μάστιγα, μένος δ' ἵπποισιν ἐνῆκεν. 390
Ἡ δὲ μετ' Ἀδμήτου υἱὸν κοτέουσ' ἐβεβήκει,
Ἵππειον δέ οἱ ἦζε θεὰ ζυγόν· αἱ δέ οἱ ἵπποι
Ἀμφὶς ὁδοῦ δραμέτην, ῥυμὸς δ' ἐπὶ γαῖαν ἐλύθη.

372. ΚΟ. Κονιορτὸν ποιοῦντες.

375. ΤΑ. Σύντονος ἐγίνετο· ἐκτείνονται γὰρ ἐν τῷ δρόμῳ οἱ ἵπποι.

382. ΑΜ. Τὸν ἀμφοτέρωθεν ἐξισούμενον, ἢ ἀμφισβητήσιμον.

383. ΕΙ. Δεόντως τῶν Εὐμήλου ἵππων προνοεῖται ὁ Ἀπόλλων, ἐπεὶ αὐτὸς ἀνεδρέψατο αὐτὰς, κατὰ τὸν Ποιητὴν λέγοντα·

Τὰς ἐν Πιερίῃ θρέψ' ἀργυρότοξος Ἀπόλλων,
Ἄμφω θηλείας, φόβον ἄρηος φορεύσας.

Δοκεῖ γὰρ, κατὰ τὸν μῦθον, Ἀπόλλων θητεῦσαι Ἀδμήτῳ, τοῦ Εὐμήλου πατρί.

388. ΕΛΕ. Δι' ἀπάτης βλάψας.

389. ΜΕ. Μετήει.

392. ΗΞΕ. Συνέτριψεν.

393. ΑΜ. Χωρὶς καὶ ἔξωθεν τῆς ὁδοῦ. ΡΥ. Τὸ δεῖκον ἀπὸ τοῦ ἅρματος, ἕως τοῦ ζυγοῦ, ξύλον.

Αὐτὸς δ' ἐκ δίφροιο παρὰ τροχὸν ἐξεκυλίσθη,
Ἀγκῶνάς τε περιδρύφθη, στόμα τε, ῥῖνάς τε, 395
Θρυλλίχθη δὲ μέτωπον ἐπ' ὀφρύσι· τὼ δέ οἱ ὄσσε
Δακρυόφιν πλῆθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή.
Τυδείδης δὲ παρατρέψας ἔχε μώνυχας ἵππους,
Πολλὸν τῶν ἄλλων ἐξάλμενος· ἐν δὲ Ἀθήνη
Ἵπποις ἧκε μένος, καὶ ἐπ' αὐτῷ κῦδος ἔθηκε. 400
Τῷ δ' ἄρ' ἐπ' Ἀτρείδης εἶχε ξανθὸς Μενέλαος.
Ἀντίλοχος δ' ἵπποισιν ἐκέκλετο πατρὸς ἑοῖο·
Ἔμβητον, καὶ σφῶϊ τιτάνετον ὅπῃ τάχιστα.
Ἤτοι μὲν κείνοισιν ἐριζέμεν ἔτι κελεύω
Τυδείδεω ἵπποισι δαΐφρονος, οἷσιν Ἀθήνη 405
Νῦν ὤρεξε τάχος, καὶ ἐπ' αὐτῷ κῦδος ἔθηκεν·
Ἵππους δ' Ἀτρείδαο κιχάνετε, μηδὲ λίπηθον,
Καρπαλίμως, μὴ σφῶϊν ἐλεγχείην καταχεύῃ
Αἴθη, θῆλυς ἐοῦσα· τίη λείπεσθε, φέριστοι;
Ὧδε γὰρ ἐξερέω, καὶ μὴν τετελεσμένον ἔσται· 410
Οὐ σφῶϊν κομιδὴ παρὰ Νέστορι ποιμένι λαῶν
Ἔσσεται, αὐτίκα δ' ὔμμε κατακτενεῖ ὀξέϊ χαλκῷ,
Αἴ κ' ἀποκηδήσαντε φερώμεθα χεῖρον ἄεθλον·
Ἀλλ' ἐφομαρτεῖτον, καὶ σπεύδετον ὅπῃ τάχιστα·
Ταῦτα δ' ἐγὼν αὐτὸς τεχνήσομαι, ἠδὲ νοήσω, 415
Στεινωπῷ ἐν ὁδῷ παραδύμεναι, ἠδέ με λήσει.
Ὣς ἔφαθ'· οἱ δὲ ἄνακτος ὑποδδείσαντες ὁμοκλὴν

394. ΕΞΕ. Συνετρίβη, ἢ ἐξιτάθη· οἱ δι, παρεκυλίδη, συνεγραφη.
396. ΘΡΥΛ. Συνετρίβη, ἐθραύδη.
397. ΔΑ. Δακρύων ἐπληρώθησαν. ΘΑ. Ἱλαρὰ, ἀκμαία. ΕΣΧΕ. Ἐπεχίθη.
403. ΣΦΩ. Ὑμᾶς αὐτοὺς ἐπείγετε πρὸς τὸν δρόμον, καὶ μὴ ἀπολιμπάνεσθε.
408. ΕΛΕΓ. Ὄνειδος ἐπιβάλη.
409. ΦΕ. Βέλτιστοι, ἢ κάλλιστοι.
411. ΟΥ. Οὐκ ἔτι ὑμῶν ἔτως ἐπιμελήσεται ὁ Νέστωρ. ΚΟ. Ἐπιμέλεια.
413. ΑΠΟ. Ἀφροντιστήσαντε, ἀμελήσαντε.
414. ΕΦΟΜ. Ἐπιδώκετε.

Μᾶλλον ἐπιδραμέτην ὀλίγον χρόνον· αἶψα δ' ἔπειτα
Στεῖνος ὁδοῦ κοίλης ἶδεν Ἀντίλοχος μενεχάρμης·
Ῥωχμὸς ἔην γάιης, ᾗ χειμέριον ἀλὲν ὕδωρ 420
Ἐξέῤῥηξεν ὁδοῖο, βάθυνε δὲ χῶρον ἅπαντα·
Τῇ ῥ' εἶχεν Μενέλαος, ἁματροχιὰς ἀλεείνων.
Ἀντίλοχος δὲ παρατρέψας ἔχε μώνυχας ἵππους
Ἐκτὸς ὁδοῦ, ὀλίγον δὲ παρακλίνας ἐδίωκεν·
Ἀτρείδης δ' ἔδδεισε, καὶ Ἀντιλόχῳ ἐγεγώνει· 425
« Ἀντίλοχ', ἀφραδέως ἱππάζεαι· ἀλλ' ἄνεχ' ἵππους·
« Στεινωπὸς γὰρ ὁδὸς, τάχα δ' εὐρυτέρη παρελάσσεις·
« Μήπως ἀμφοτέρους δηλήσεαι, ἅρματι κύρσας.»
Ὣς ἔφατ'· Ἀντίλοχος δ' ἔτι καὶ πολὺ μᾶλλον ἔλαυνε,
Κέντρῳ ἐπισπέρχων, ὡς οὐκ ἀΐοντι ἐοικώς. 430
Ὅσσα δὲ δίσκου ἕρα κατωμαδίοιο πέλονται,
Ὅντ' αἰζηὸς ἀφῆκεν ἀνὴρ, πειρώμενος ἥβης,
Τόσσον ἐπιδραμέτην· αἱ δ' ἠρώησαν ὀπίσσω
Ἀτρείδεω· αὐτὸς γὰρ ἑκὼν μεθέηκεν ἐλαύνειν,
Μήπως συγκύρσειαν ὁδῷ ἔνι μώνυχες ἵπποι, 435
Δίφρους τ' ἀνατρέψειαν ἐϋπλεκέας, κατὰ δ' αὐτοὶ
Ἐν κονίῃσι πέσοιεν, ἐπειγόμενοι περὶ νίκης.
Τὸν καὶ νεικείων προσέφη ξανθὸς Μενέλαος·
« Ἀντίλοχ', ὅτις σεῖο βροτῶν ὀλοώτερος ἄλλος·

419. ΣΤΕΙ. Στένωμα τόπου.

420. ΡΩΧ. Ῥῆξις· ἔστι δὲ τόπος κεχαραγμένος ὑπὸ ὀμβρίου ὕδατος. ΑΛ. Ὅπου συνεστάφη, ὅ ἐστι, συνεχύθη.

421. ΟΔΟΙ. Ὁδοῦ.

422. ΤΗ. Κατὰ τοῦτο τὸ μέρος ἤλαυνεν. ΑΜΑ. Τὰς τῶν τροχῶν συγκρούσεις, τὰς ἀπὸ τῶν ἄλλων ἁρμάτων.

426. ΑΝΕ. Ἀνάκοπε, κράτει.

428. ΚΥΡ. Συμπεσών.

430. ΕΠΙΣ. Ἐπισπουδάζων, ἀναγκάζων.

431. ΔΙΣ. Δίσκου ὁρμή· ὅ ἐστιν, ἄφεσις. ΚΑ. Ὃν ἀφιᾶσι κατὰ τῶν ὤμων τρέχοντες.

432. ΗΒΗΣ. Νῦν, ἀκμῆς.

433. ΗΡΩ. Ἐκτὸς ἔδραμον, ἢ εἰς τὔμπροσθεν ὑπεχώρησαν.

434. ΜΕ. Ἡμέλησεν.

435. ΣΥΓ. Συγκρούσειαν· ὅμοιον δ' αὐτῷ καὶ τὸ, συντύχωσιν.

«Ἐρρ', ἐπεὶ οὔ σ' ἔτυμόν γε φάμεν πεπύσθαι Ἀχαιοί. 440
«Ἀλλ' οὐ μὰν ἠδὴ ὡς ἄτερ ὅρκου οἴσῃ ἄεθλον.'
Ὡς εἰπὼν, ἵπποισιν ἐκέκλετο, φώνησέν τε·
«Μή μοι ἐρύκεσθον, μηδ' ἕστατον ἀχνυμένω κῆρ·
«Φθήσονται τούτοισι πόδες καὶ γοῦνα καμόντα,
«Ἢ ὑμῖν· ἄμφω γὰρ ἀτέμβονται νεότητος.' 445
Ὡς ἔφαθ'· οἱ δὲ ἄνακτος ὑποδδείσαντες ὁμοκλὴν
Μᾶλλον ἐπιδραμέτην, τάχα δέ σφισιν ἄγχι γένοντο.
Ἀργεῖοι δ' ἐν ἀγῶνι καθήμενοι εἰσορόωντο
Ἵππους, τοὶ δὲ πέτοντο κονίοντες πεδίοιο.
Πρῶτος δ' Ἰδομενεὺς, Κρητῶν ἀγὸς, ἐφράσαθ' ἵππους· 450
Ἧστο γὰρ ἐκτὸς ἀγῶνος ὑπέρτατος ἐν περιωπῇ·
Τοῖο δ', ἄνευθεν ἐόντος, ὁμοκλητῆρος ἀκούσας
Ἔγνω· φράσσατο δ' ἵππον ἀριπρεπέα πρόχοντα,
Ὃς τὸ μὲν ἄλλο τόσον φοίνιξ ἦν, ἐν δὲ μετώπῳ
Λευκὸν σῆμ' ἐτέτυκτο περίτροχον, ἠύτε μήνη. 455
Στῆ δ' ὀρθὸς, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
«Ὦ φίλοι, Ἀργείων ἡγήτορες, ἠδὲ μέδοντες,
«Οἷος ἐγὼν ἵππους ἀυγάζομαι, ἠὲ καὶ ὑμεῖς;
«Ἄλλοι μοι δοκέουσι παροίτεροι ἔμμεναι ἵπποι,
«Ἄλλος δ' ἡνίοχος ἐνδάλλεται· αἰ δέ που αὐτοῦ 460
«Ἔβλαβεν ἐν πεδίῳ, αἳ κεῖσέ γε φέρτεραι ἦσαν·
«Ἤτοι γὰρ τὰς πρῶτα ἴδον περὶ τέρμα βαλούσας,
«Νῦν δ' ὄπω δύναμαι ἰδέειν, πάντη δέ μοι ὄσσε

440. ΕΤΥ. Ἀληθής. ΠΕΠ. Σώφρονα, καὶ συνετὸν εἶναι.
443. ΕΡΥ. Κατίχεθε.
444. ΦΘΗ. Φθαρήσονται.
445. ΑΤΕΜ. Στέρονται.
451. ΕΚ. Ἔξω. ΥΠΕΡ. Ἀνώταλος. ΠΕ. Τόπος ὑψηλὸς, ἀφ' οὗ ἐστι περιβλέψαι καὶ ἰδεῖν πάντα.
454. ΑΛ. Τὸ ἄλλο ὅλον σῶμα. ΦΟΙ. Φοινικοῦς τὸ χρῶμα, ὅ ἐστι, πυῤῥός.
455. ΠΕ. Περιφερές. ΜΗ. Σελήνη.
458. ΑΥ. Θεωρῶ.
459. ΠΑ. Μᾶλλον ἔμπροσθεν.
460. ΙΝ. Φαίνεται, ἢ ὁμοιοῦται.
461. ΕΒΛΑ. Ἐβλάβησαν.
462. ΠΕ. Περιελθούσας τὸν πάμπαν πῆρα.
463. ΝΥΝ. Νῦν δ' [illegible]

Τρωϊκὸν ἀμπεδίον παπαίνετον εἰσορόωντι·
Ἠὲ τὸν ἡνίοχον φύγον ἡνία, ἠδὲ δυνάσθη 465
Εὖ ἀχεθέειν περὶ τέρμα, καὶ ἂν ἐτύχησεν ἑλίξας·
Ἔνθα μιν ἐκπεσέειν ὀΐω, σὺν δ' ἅρματα ἄξαι·
Αἱ δ' ἐξηρώησαν, ἐπεὶ μένος ἔλλαβε θυμόν.
Ἀλλὰ ἴδεσθε καὶ ὕμμες ἀνασταδόν· οὐ γὰρ ἔγωγε
Εὖ διαγινώσκω· δοκέει δέ μοι ἔμμεναι ἀνὴρ 470
Αἰτωλὸς γενεὴν, μετὰ δ' Ἀργείοισιν ἀνάσσει,
Τυδέος ἱπποδάμου υἱὸς κρατερὸς Διομήδης.
Τὸν δ' αἰσχρῶς ἐνένισπεν Ὀϊλῆος ταχὺς Αἴας·
Ἰδομενεῦ, τί πάρος λαβρεύεαι; αἱ δέ τ' ἄνευθεν
Ἵπποι ἀερσίποδες πολέος πεδίοιο δίενται· 475
Οὔτε νεώτατός ἐσσι μετ' Ἀργείοισι τοσοῦτον,
Οὔτε τοι ὀξύτατον κεφαλῆς ἐκδέρκεται ὄσσε·
Ἀλλ' αἰεὶ μύθοις λαβρεύεαι· ἠδέ τί σε χρὴ
Λαβραγόρην ἔμεναι· πάρα γὰρ καὶ ἀμείνονες ἄλλοι.
Ἵπποι δ' αὖτε ἔασι παροίτεραι, αἳ τὸ πάρος περ, 480
Εὐμήλου, ἐν δ' αὐτὸς ἔχων εὔληρα βέβηκε.
Τὸν δὲ χολωσάμενος Κρητῶν ἀγὸς ἀντίον ηὔδα·
Αἴαν, νείκει ἄρισε, κακοφραδὲς, ἄλλα τε πάντα
Δεύεαι Ἀργείων, ὅτι τοι νόος ἐστὶν ἀπηνής·
Δεῦρό νυν, ἢ τρίποδος περιδώμεθον, ἠὲ λέβητος· 485
Ἴσορα δ' Ἀτρείδην Ἀγαμέμνονα θείομεν ἄμφω,

464. ΠΑΠ. Περιβλέπουσιν.
465. ΗΝΙ. Τὰ λῶρα.
466. ΣΧΕ. Ἐπιχειῶν. ΕΛΙΞ. Συγρίψας περὶ τὴν κάμψιν τὰς ἵππους.
469. ΑΝΑ. Ἀναστάντες.
473. ΑΙΣ. Χαλεπῶς.
474. ΛΑ. Προπετεύεις.
475. ΔΙ. Ἐνδεεῖς ὑπάρχουσι.
479. ΛΑ. Προπετῆ ἐν τοῖς λόγοις, ὅτι λάβρον, καὶ θρασύν.
481. ΕΥ. Τὰ ἡνία.
483. ΝΕΙ. Κακόβουλε, κακολόγε. ΑΛ. Καὶ τοῖς λοιποῖς ἔργοις ἀπολείπῃ τῶν Ἑλλήνων, σκαιὸς τὸν τρόπον ὑπάρχων.
485. Η ΤΡΙ. Περὶ τρίποδος συνθήκας ποιησώμεθα.
486. ΙΣΤΟ. Ἐπιστήμονα, καὶ μάρτυρα τῆς συνθήκης.

‘ Ὀππότεραι πρόσθ' ἵπποι· ἵνα γνοίης ἀποτίνων.’
Ὣς ἔφατ'· ὤρνυτο δ' αὐτίκ' Ὀϊλῆος ταχὺς Αἴας,
Χώομενος, χαλεποῖσιν ἀμείψασθαι ἐπέεσσι.
Καί νύ κε δὴ πρότερω ἔτ' ἔρις γένετ' ἀμφοτέροισιν, 490
Εἰ μὴ Ἀχιλλεὺς αὐτὸς ἀνίστατο, καὶ φάτο μῦθον·
‘ Μηκέτι νῦν χαλεποῖσιν ἀμείβεσθον ἐπέεσσιν,
‘ Αἴαν, Ἰδομενεῦ τε, κακοῖς· ἐπεὶ οὐδὲ ἔοικε·
‘ Καὶ δ' ἄλλῳ νεμεσᾶτον, ὅτις τοιαῦτά γε ῥέζοι.
‘ Ἀλλ' ὑμεῖς ἐν ἀγῶνι καθήμενοι εἰσοράασθε 495
‘ Ἵππους· οἱ δὲ τάχ' αὐτοὶ ἐπειγόμενοι περὶ νίκης
‘ Ἐνθάδ' ἐλεύσονται· τότε δὲ γνώσεσθε ἕκαστος
‘ Ἵππους Ἀργείων, οἳ δεύτεροι, οἵ τε πάροιθεν.’
Ὣς φάτο· Τυδείδης δὲ μάλα σχεδὸν ἦλθε διώκων,
Μάστι δ' αἰὲν ἔλαυνε κατωμαδόν· οἱ δέ οἱ ἵπποι 500
Ὑψόσ' ἀειρέσθην ῥίμφα πρήσσοντε κέλευθον.
Αἰεὶ δ' ἡνίοχον κονίης ῥαθάμιγγες ἔβαλλον·
Ἅρματα δὲ χρυσῷ πεπυκασμένα κασσιτέρῳ τε
Ἵπποις ὠκυπόδεσσιν ἐπέτρεχον· οὐδέ τε πολλὴ
Γίνετ' ἐπισσώτρων ἁρματροχιὴ κατόπισθεν 505
Ἐν λεπτῇ κονίῃ· τὼ δὲ σπεύδοντε πετέσθην.
Στῆ δὲ μέσῳ ἐν ἀγῶνι, πολὺς δ' ἀνεκήκιεν ἱδρὼς
Ἵππων, ἐκ τε λόφων καὶ ἀπὸ στέρνοιο χαμᾶζε.
Αὐτὸς δ' ἐκ δίφροιο χαμαὶ θόρε παμφανόωντος,
Κλῖνε δ' ἄρα μάστιγα ποτὶ ζυγόν· οὐδὲ μάτησεν 510
Ἴφθιμος Σθένελος, ἀλλ' ἐσσυμένως λάβ' ἄεθλον·
Δῶκε δ' ἄγειν ἑτάροισιν ὑπερθύμοισι γυναῖκα,

487. ΑΠΟ. Ἀποδὺς.
500. ΚΑ. Κατὰ τὸν ὦμον.
503. ΠΕ. Κεκοσμημένα.
504. ΟΥ. Οὐδὲ βαθεῖα ἐγένετο ἡ τροχῶν ἐγκάραξις ἐπὶ τῆς γῆς.
508. ΛΟ. Νῦν, αὐχένων, τραχήλων.
510. ΜΑ. Ἀργὸς καὶ ἄπρακτος ἐμενε.

Καὶ τρίποδ' ὠτώεντα φέρειν· ὁ δ' ἔλυεν ὑφ' ἵππους.
Τῷ δ' ἄρ' ἐπ' Ἀντίλοχος Νηλήϊος ἤλασεν ἵππους,
Κέρδεσιν, ὅτι τάχει γε, παραφθάμενος Μενέλαον· 513
Ἀλλὰ καὶ ὣς Μενέλαος ἔχ' ἐγγύθεν ὠκέας ἵππους·
Ὅσσον δὲ τροχὸς ἵππος ἀφίσταται, ὅς ῥά τ' ἄνακτα
Ἕλκησιν πεδίοιο τιταινόμενος σὺν ὄχεσφιν,
Τοῦ μέν τε ψαύουσιν ἐπισσώτρου τρίχες ἄκραι
Οὐραῖαι, ὁ δέ τ' ἄγχι μάλα τρέχει, οὐδέ τι πολλὴ 520
Χώρη μεσσηγὺς, πολέος πεδίοιο θέοντος·
Τόσσον δὴ Μενέλαος ἀμύμονος Ἀντιλόχοιο
Λείπετ'· ἀτὰρ τὰ πρῶτα κ' ἐς δίσκουρα λέλειπτο,
Ἀλλά μιν αἶψα κίχανεν· ὀφέλλετο γὰρ μένος ἠΰ
Ἵππου τῆς Ἀγαμεμνονέης καλλίτριχος Αἴθης· 525
Εἰ δέ κ' ἔτι προτέρω γένετο δρόμος ἀμφοτέροισι,
Τῷ κέν μιν παρέλασσ', οὐδ' ἀμφήριστον ἔθηκεν.
Αὐτὰρ Μηριόνης, θεράπων ἐὺς Ἰδομενῆος,
Λείπετ' ἀγακλῆος Μενελάου δουρὸς ἐρωήν·
Βάρδιστοι μὲν γάρ οἱ ἔσαν καλλίτριχες ἵπποι, 530
Ἥκιστος δ' ἦν αὐτὸς ἐλαυνέμεν ἅρμ' ἐν ἀγῶνι.
Υἱὸς δ' Ἀδμήτοιο πανύστατος ἤλυθεν ἄλλων,
Ἕλκων ἅρματα καλὰ, ἐλαύνων προσσοθεν ἵππους.
Τὸν δὲ ἰδὼν ὤκτειρε ποδάρκης δῖος Ἀχιλλεύς·
Στὰς δ' ἄρ' ἐν Ἀργείοις ἔπεα πτερόεντ' ἀγόρευε· 535
Λοῖθος ἀνὴρ ὤριστος ἐλαύνει μώνυχας ἵππους·

513. ΩΤΩ. Καλὰς λαβὰς ἔχοντα.
515. ΚΕΡ. Δόλοις, πανουργίαις.
517. ΤΡΟ. Νῦν, τοῦ ἁρματίου.
520. ΟΥ. Αἱ τῆς ὁδοῦ τρίχες.
523. ΔΙΣ. Καί τοι πρότερον δίσκου βολῆς διάστημα ἀπολελειμμένος.
526. ΠΡΟ. Ἐξωτέρω, προσωτέρω· ὦν, ἐπίρρημα χρόνου δηλωτικόν.
529. ΑΓΑ. Ἄγαν ἐνδόξου.
530. ΒΑΡ. Βραδύτατοι.
531. ΗΚΙ. Πάντων ἠττώμενος, ἀσθενὴς, ἢ ἄτιχνος.
532. ΠΑΝ. Πάντων τελευταῖος.
533. ΠΡΟΣ. Ἔμπροσθεν.
536. ΛΟΙ. Ἔσχατος, ὕστατος.

"Ἀλλ' ἄγε δή οἱ δῶμεν ἀέθλιον, ὡς ἐπιεικὲς,
"Δεύτερ'· ἀτὰρ τὰ πρῶτα φερέσθω Τυδέος υἱός."
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπήνεον, ὡς ἐκέλευε.
Καί νύ κέν οἱ πόρεν ἵππον, ἐπήνησαν γὰρ Ἀχαιοὶ, 540
Εἰ μὴ ἄρ' Ἀντίλοχος, μεγαθύμου Νέστορος υἱὸς,
Πηλείδην Ἀχιλῆα δίκῃ ἠμείψατ' ἀναστάς·
"Ὦ Ἀχιλεῦ, μάλα τοι κεχολώσομαι, αἴ κε τελέσσῃς
Τῆτο ἔπος· μέλλεις γὰρ ἀφαιρήσεσθαι ἄεθλον,
Τὰ φρονέων, ὅτι οἱ βλάβεν ἅρματα καὶ ταχέ' ἵππω, 545
Αὐτός τ' ἐσθλὸς ἐών· ἀλλ' ὤφελεν ἀθανάτοισιν
Εὔχεσθαι, τό κεν ἔτι πανύστατος ἦλθε διώκων.
Εἰ δέ μιν οἰκτείρεις, καί τοι φίλον ἔπλετο θυμῷ,
Ἔστι τοι ἐν κλισίῃ χρυσὸς πολὺς, ἔστι δὲ χαλκὸς,
Καὶ πρόβατ', εἰσὶ δέ τοι δμωαὶ, καὶ μώνυχες ἵπποι· 550
Τῶν οἱ ἔπειτ' ἀνελὼν δόμεναι καὶ μεῖζον ἄεθλον,
Ἠὲ καὶ αὐτίκα νῦν, ἵνα σ' αἰνήσωσιν Ἀχαιοί.
Τὴν δ' ἐγὼ οὐ δώσω· περὶ δ' αὐτῆς πειρηθήτω
Ἀνδρῶν ὅς κ' ἐθέλῃσιν ἐμοὶ χείρεσσι μάχεσθαι."
Ὣς φάτο· μείδησεν δὲ ποδάρκης δῖος Ἀχιλλεὺς, 555
Χαίρων Ἀντιλόχῳ, ὅτι οἱ φίλος ἦεν ἑταῖρος·
Καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·
"Ἀντίλοχ', εἰ μὲν δή με κελεύεις οἴκοθεν ἄλλο
Εὐμήλῳ ἐπιδεῦναι, ἐγὼ δέ κε καὶ τὸ τελέσσω·
Δώσω οἱ θώρηκα, τὸν Ἀστεροπαῖον ἀπηύρων, 560
Χάλκεον, ᾧ περὶ χεῦμα φαεινὸν κασσιτέροιο
Ἀμφιδεδίνηται· πολέος δέ οἱ ἄξιος ἔσται."
Ἦ ῥα, καὶ Αὐτομέδοντι φίλῳ ἐκέλευσεν ἑταίρῳ

542. ΔΙ. Δικαίως ἀπικρίθη.
552. ΑΙ. Ἐπαινέσωσιν.
561. ΠΕ. Περίχυμα.
562. ΑΜΦ. Ὦ κύκλῳ περιπέχυται ὁ κασσίτερος.

Οἰσέμεναι κλισίηθεν· ὁ δ' ὤχετο, καί οἱ ἔνεικεν·
Εὐμήλῳ δ' ἐν χερσὶ τίθει· ὁ δ' ἐδέξατο χαίρων. 565
Τοῖσι δὲ καὶ Μενέλαος ἀνίστατο, θυμὸν ἀχεύων,
Ἀντιλόχῳ ἄμοτον κεχολωμένος· ἐν δ' ἄρα κήρυξ
Χερσὶ σκῆπτρον ἔθηκε, σιωπῇ τ' ἐκέλευσεν
Ἀργείους· ὁ δ' ἔπειτα μετηύδα ἰσόθεος φώς·
'Ἀντίλοχε, πρόσθεν πεπνυμένε, ποῖον ἔρεξας; 570
Ἤχυνας μὲν ἐμὴν ἀρετὴν, βλάψας δέ μοι ἵππους,
Τοὺς σοὺς πρόσθε βαλὼν, οἱ τοι πολὺ χείρονες ἦσαν.
Ἀλλ' ἄγετ', Ἀργείων ἡγήτορες, ἠδὲ μέδοντες,
Ἐς μέσον ἀμφοτέροισι δικάσσατε, μηδ' ἐπ' ἀρωγῇ·
Μήποτέ τις εἴπῃσιν Ἀχαιῶν χαλκοχιτώνων, 575
Ἀντίλοχον ψεύδεσσι βιησάμενος Μενέλαος
Οἴχεται ἵππων ἄγων, ὅτι οἱ πολὺ χείρονες ἦσαν
Ἵπποι, αὐτὸς δὲ κρείσσων ἀρετῇ τε, βίῃ τε.
Εἰ δ' ἄγ', ἐγὼν αὐτὸς δικάσω, καί μ' ὅτινά φημι
Ἄλλον ἐπιπλήξειν Δαναῶν· ἰθεῖα γὰρ ἔσται. 580
Ἀντίλοχ', εἰ δ' ἄγε δεῦρο, διστρεφὲς, ἣ θέμις ἐστὶ,
Στὰς ἵππων προπάροιθε καὶ ἅρματος, αὐτὰρ ἱμάσθλην
Χερσὶν ἔχων ῥαδινὴν, ἧπερ τὸ πρόσθεν ἔλαυνες,
Ἵππων ἁψάμενος, γαιήοχον Ἐννοσίγαιον
Ὄμνυθι, μὴ μὲν ἑκὼν τὸ ἐμὸν δόλῳ ἅρμα πεδῆσαι.' 585
Τὸν δ' αὖτ' Ἀντίλοχος πεπνυμένος ἀντίον ηὔδα·
Ἄνοχε νῦν, πολλὸν γὰρ ἔγωγε νεώτερός εἰμι

567. ΚΗΡ. Παρὰ τοῖς ἀρχαίοις οἱ δημηγορεῦντες σκῆπτρα ἐκράτουν.
571. ΗΣ. Ὕβρισας.
572. ΠΡΟΣ. Προδραμών.
574. ΕΣ. Οἱονεὶ μεσολαβήσατε τὴν δίκην, καὶ ἴσως δικάσατε. ΑΡ. Μηδ' ἑτέρῳ ἡμῶν βοηθεῖτε.
576. ΨΕΥ. Ἀπάταις.
580. ΙΘΕΙ. Δικαία· ὀρθῶς γὰρ δικάσω.
583. ΡΑ. Εὐκίνητον, ἰσχνήν.
584. ΓΑΙ. Γαιήοχον, ὁ τοῖς ὀχήμασι γαῖαν, ὅ ἐστι, γαυριῶν· ἱππικὸς γὰρ ὁ θεός.
585. ΠΕ. Ἀντὶ τοῦ, ἐμπεποδικίσαι.
587. ΑΝ. Ἀνάσχου.

‘ Σεῖο, ἄναξ Μενέλαε, σὺ δὲ πρότερος καὶ ἀρείων.
‘ Οἶσθ' οἷαι νέαι ἀνδρὸς ὑπερβασίαι τελέθουσι·
‘ Κραιπνότερος μὲν γάρ τε νόος, λεπτὴ δέ τε μῆτις· 590
‘ Τῷ τοι ἐπιτλήτω κραδίη· ἵππον δέ τοι αὐτὸς
‘ Δώσω, τὴν ἀρόμην· εἰ καί νύ κεν οἴκοθεν ἄλλο
‘ Μεῖζον ἐπαιτήσειας, ἄφαρ κέ τοι αὐτίκα δοῦναι
‘ Βουλοίμην, ἤ σοί γε, διοτρεφὲς, ἤματα πάντα
‘ Ἐκ θυμοῦ πεσέειν, καὶ δώμασιν εἶναι ἀλιτρός.’ 595
Ἦ ῥα, καὶ ἵππον ἄγων μεγαθύμου Νέστορος υἱὸς
Ἐν χείρεσσι τίθει Μενελάου· τοῖο δὲ θυμὸς
Ἰάνθη, ὡσείτε περὶ ῥαχύεσσιν ἐέρση
Λήϊα ἀλδήσκοντος, ὅτε φρίσσουσιν ἄρουραι·
Ὡς ἄρα σοι, Μενέλαε, μετὰ φρεσὶ θυμὸς ἰάνθη· 600
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
‘ Ἀντίλοχε, νῦν μέν τοι ἐγὼν ὑποείξομαι αὐτὸς,
‘ Χωόμενος· ἐπεὶ ὄυτι παρήορος, ἠδ' ἀεσίφρων,
‘ Ἦθα πάρος· νῦν αὖτε νόον νίκησε νεοίη.
‘ Βέλτερον αὖτ' ἀλέασθαι ἀμείνονας ἠπεροπεύειν· 605
‘ Οὐ γάρ κέν με τάχ' ἄλλος ἀνὴρ παρέπεισεν Ἀχαιῶν·
‘ Ἀλλὰ σὺ γὰρ δὴ πόλλ' ἔπαθες, καὶ πόλλ' ἐμόγησας,
‘ Σός τε πατὴρ ἀγαθὸς, καὶ ἀδελφεὸς, εἵνεκ' ἐμεῖο·
‘ Τῷ τοι λισσομένῳ ἐπιπείσομαι, ἠδὲ καὶ ἵππον
‘ Δώσω, ἐμήν περ ἐοῦσαν· ἵνα γνώωσι καὶ οἵδε, 610

590. ΚΡΑΙΠ. Ὀξύτερος. ΛΕΠ. Ἀστεινός.

593. ΕΠΑΙ. Εἰ ἐπαιτήσεις ἐπὶ τῷ ἵππῳ.

595. ΕΚ. Ἀποπεσεῖν τῆς ψυχῆς, ὅ ἐστι, μισηθῆναι. ΑΛΙ. Ἁμαρτωλὸς εἰς θεούς.

598. ΙΑΝ. Διεχύθη, ἐχάρη. ΕΕΡ. Δρόσος.

599. ΑΛΔΗΣΚ. Αὐξομένων. ΦΡΙ. Ὅτι πεπύκνωται διαστηκότες ταῖς χώραις οἱ ῥάχυες.

603. ΠΑ. Οὐ κεχαλασμένος τῷ λογισμῷ, παράφρων. ΑΕ. Κοῦφος ταῖς φρεσὶν ἄνθρωπος.

604. ΝΕ. Νεότης· ὁ δὲ λόγος οὗτος δὲ τὸν νῦν σε ἐξεπίκωσεν ἡ νεότης.

ΛΛ. ΕΕ

Ὡς ἐμὸς ἔποτε θυμὸς ὑπερφίαλος καὶ ἀπηνής.
Ἦ ῥα, καὶ Ἀντιλόχοιο Νοήμονι δῶκεν ἑταίρῳ
Ἵππον ἄγειν· ὁ δ' ἔπειτα λέβηθ' ἕλε παμφανόωντα.
Μηριόνης δ' ἀνάειρε δύο χρυσοῖο τάλαντα
Τέτρατος, ὡς ἔλασεν· πέμπτον δ' ὑπελείπετ' ἄεθλον, 615
Ἀμφίθετος φιάλη· τὴν Νέστορι δῶκεν Ἀχιλλεὺς,
Ἀργείων ἀν' ἀγῶνα φέρων, καὶ ἔειπε παραστάς·
Τῇ νῦν, καί σοι τοῦτο, γέρον, κειμήλιον ἔστω,
Πατρόκλοιο τάφῳ μνῆμ' ἔμμεναι· οὐ γὰρ ἔτ' αὐτὸν
Ὄψει ἐν Ἀργείοισι· δίδωμι δέ τοι τόδ' ἄεθλον 620
Αὔτως· οὐδ' οὐ γὰρ πύξ γε μαχήσεαι, οὐδὲ παλαίσεις,
Οὐδέ τ' ἀκοντιστὺν ἐνδύσεαι, οὐδὲ πόδεσσι
Θεύσεαι· ἤδη γὰρ χαλεπὸν κατὰ γῆρας ἐπείγει.
Ὡς εἰπὼν, ἐν χερσὶ τίθει· ὁ δ' ἐδέξατο χαίρων,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα· 625
Ναὶ δὴ ταῦτά γε πάντα, τέκος, κατὰ μοῖραν ἔειπες·
Οὐ γὰρ ἔτ' ἔμπεδα γυῖα, φίλος, πόδες, οὐδ' ἔτι χεῖρες
Ὤμων ἀμφοτέρωθεν ἐπαΐσσονται ἐλαφραί.
Εἴθ' ὡς ἡβώοιμι, βίη τέ μοι ἔμπεδος εἴη,
Ὡς ὁπότε κρείων Ἀμαρυγκέα θάπτον Ἐπειοὶ 630
Βουπρασίῳ, παῖδες δ' ἔθεσαν βασιλῆος ἄεθλα.
Ἔνθ' οὔτις μοι ὁμοῖος ἀνὴρ γένετ', οὔτ' ἄρ' Ἐπειῶν,
Οὔτ' αὐτῶν Πυλίων, οὔτ' Αἰτωλῶν μεγαθύμων.
Πὺξ μὲν ἐνίκησα Κλυτομήδεα, Ἤνοπος υἱόν·
Ἀγκαῖον δὲ πάλῃ Πλευρώνιον, ὅς μοι ἀνέστη· 635
Ἰφικλον δὲ πόδεσσι παρέδραμον, ἐσθλὸν ἐόντα·
Δουρὶ δ' ὑπειρέβαλον Φυλήά τε, καὶ Πολύδωρον·

618. ΚΕΙ. Ἀπόθετον κτῆμα.
619. ΤΑ. Εἰς ἐκκαφίων ἀγῶνα.
622. ΑΚ. Οὐδ' εἰς ἀκοντίου ἀγῶνα κατειλεύσῃ.
623. ΘΕΥ. Δράμῃς.

Οἵοισίν μ' ἵπποισι παρήλασαν Ἀκτορίωνε,
Πλήθει πρόσθε βαλόντες, ἀγασσάμενοι περὶ νίκης,
Οὕνεκα δὴ τὰ μέγιστα παρ' αὐτόφι λείπετ' ἄεθλα. 640
Οἱ δ' ἄρ' ἔσαν δίδυμοι· ὁ μὲν ἔμπεδον ἡνιόχευεν,
Ἔμπεδον ἡνιόχευ', ὁ δ' ἄρα μάστιγι κέλευεν.
Ὡς ποτ' ἔον, νῦν αὖτε νεώτεροι ἀντιοώντων
Ἔργων τοιούτων· ἐμὲ δὲ χρὴ γήραϊ λυγρῷ
Πείθεσθαι, τότε δ' αὖτε μετέπρεπον ἡρώεσσιν. 645
Ἀλλ' ἴθι, καὶ σὸν ἑταῖρον ἀέθλοισι κτερείζε.
Τοῦτο δ' ἐγὼ πρόφρων δέχομαι, χαίρει δέ μοι ἦτορ,
Ὡς μευ ἀεὶ μέμνησαι ἐνηέος· οὐδέ σε λήθω,
Τιμῆς ἧς τέ μ' ἔοικε τετιμῆσθαι μετ' Ἀχαιοῖς.
Σοὶ δὲ θεοὶ τῶνδ' ἀντὶ χάριν μενοεικέα δοῖεν.' 650
Ὡς φάτο· Πηλείδης δὲ πολὺν καθ' ὅμιλον Ἀχαιῶν
Ὤχετ', ἐπεὶ πάντ' αἶνον ἐπέκλυε Νηλείδαο.
Αὐτὰρ ὁ πυγμαχίης ἀλεγεινῆς θῆκεν ἄεθλα·
Ἡμίονον ταλαεργὸν ἄγων κατέδησ' ἐν ἀγῶνι
Ἑξέτε', ἀδμήτην, ἥτ' ἀλγίστη δαμάσασθαι· 655
Τῷ δ' ἄρα νικηθέντι τίθει δέπας ἀμφικύπελλον.
Στῆ δ' ὀρθὸς, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
'Ατρείδη τε, καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοὶ,
Ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥπερ ἀρίστω,
Πὺξ μάλ' ἀναιχομένω πεπληγέμεν· ᾧ δέ κ' Ἀπόλλων 660

639. ΠΛΗ. Ἤτοι τῶν χειρῶν, ἢ τῶν ἁρμάτων, ἢ τῶν συναιρουμένων αὐτοῖς θεατῶν, τῷ πλήθει ἡμᾶς νικήσαντες· διφυεῖς γὰρ καὶ ἀνὰ τέσσαρας χεῖρας ἔχοντες ἐστρούνται. ΑΓ. Φθονήσαντές μου τῇ νίκῃ.

640. ΑΥ. Παρ' αὐτοῖς τοῖς ἵπποις ἔκειντο τὰ ἆθλα.

641. ΔΙ. Δύο.

646. ΚΤΕ. Τίμα, θάπτε.

648. ΕΝΗ. Ἐπιεικεῖς, προσηνεῖς.

649. ΤΙ. Τῆς συνήθους ἐν τοῖς Ἕλλησι.

652. ΑΙ. Ὅλον τὸν ἐπαίνου λόγον.

660. ΑΠ. Φόρβας, ἀνδριότατος τῶν καθ' αὐτὸν γενόμενος, πυγμῇ ἐνίκα· καὶ τοὺς μὲν παριόντας ἀναγκάζων ἀγωνίζεσθαι ἀνῄρει· ὑπὸ δὲ τῆς πολλῆς ὑπερφανείας ἐβούλετο καὶ πρὸς πάντας θεοὺς [illegible] τοιοῦτο φρόνημα ἔχειν. διὸ [illegible]

‘ Τρωϊκὸν ἀμπεδίον παπταίνετον εἰσορόωντι·
‘ Ἠὲ τὸν ἡνίοχον φύγον ἡνία, ἠδὲ δυνάσθη 465
‘ Εὖ οχεθέειν περὶ τέρμα, καὶ ἐκ ἐτύχησεν ἐλίξας·
‘ Ἔνθα μιν ἐκπεσέειν ὀΐω, σύν θ' ἅρματα ἄξαι·
‘ Αἱ δ' ἐξηρώησαν, ἐπεὶ μένος ἔλλαβε θυμόν.
‘ Ἀλλὰ ἴδεσθε καὶ ὔμμες ἀναγαδόν· οὐ γὰρ ἔγωγε
‘ Εὖ διαγινώσκω· δοκέει δέ μοι ἔμμεναι ἀνὴρ 470
‘ Αἰτωλὸς γενεὴν, μετὰ δ' Ἀργείοισιν ἀνάσσει,
‘ Τυδέος ἱπποδάμου υἱὸς κρατερὸς Διομήδης.’
Τὸν δ' αἰχρῶς ἐνένισπεν Ὀϊλῆος ταχὺς Αἴας·
‘ Ἰδομενεῦ, τί πάρος λαβρεύεαι; αἰ δέ τ' ἄνευθεν
‘ Ἵπποι ἀερσίποδες πολέος πεδίοιο δίενται· 475
‘ Οὔτε νεώτατός ἐσσι μετ' Ἀργείοισι τοσοῦτον,
‘ Οὔτε τοι ὀξύτατον κεφαλῆς ἐκδέρκεται ὄσσε·
‘ Ἀλλ' αἰεὶ μύθοις λαβρεύεαι· ἠδέ τί σε χρὴ
‘ Λαβραγόρην ἔμεναι· πάρα γὰρ καὶ ἀμείνονες ἄλλοι.
‘ Ἵπποι δ' αὖτε ἔασι παροίτεραι, αἳ τὸ πάρος περ, 480
‘ Εὐμήλου, ἐν δ' αὐτὸς ἔχων εὔληρα βέβηκε.’
Τὸν δὲ χολωσάμενος Κρητῶν ἀγὸς ἀντίον ηὔδα·
‘ Αἶαν, νείκει ἄριστε, κακοφραδὲς, ἄλλα τε πάντα
‘ Δεύεαι Ἀργείων, ὅτι τοι νόος ἐστὶν ἀπηνής·
‘ Δεῦρό νυν, ἢ τρίποδος περιδώμεθον, ἠὲ λέβητος· 485
‘ Ἴστορα δ' Ἀτρείδην Ἀγαμέμνονα θείομεν ἄμφω,

464. ΠΑΠ. Περιβλέπουσιν.
465. ΗΝΙ. Τὰ ἡνία.
466. ΣΧΕ. Ἐπιχεῖν. ΕΛΙΞ. Συστρέψας περὶ τὴν κάμψιν τοὺς ἵππους.
469. ΑΝΑ. Ἀναγάντες.
473. ΑΙΣ. Χαλεπῶς.
474. ΑΑ. Προπετεύεις.
475. ΔΙ. Ἐνδεεῖς ὑπάρχουσι.
479. ΛΑ. Προπετῆ ἐν τοῖς λόγοις, τουτέστι λάβρον, καὶ θρασύν.
481. ΕΥ. Τὰ ἡνία.
483. ΝΕΙ. Κακόβουλε, κακολόγε. ΑΛ. Καὶ τοῖς λοιποῖς ἔργοις ἀπολείπῃ τῶν Ἑλλήνων, σκαιὸς τὸν τρόπον ὑπάρχων.
485. Η ΤΡΙ. Περὶ τρίποδος συνθήκας ποιησώμεθα.
486. ΙΣΤΟ. Ἐπιστήμονα, καὶ μάρτυρα τῆς συνθήκης.

‘ Ὀππότεραι πρόσθ' ἵπποι· ἵνα γνοίης ἀποτίνων.’
Ὣς ἔφατ'· ὤρνυτο δ' αὐτίκ' Ὀϊλῆος ταχὺς Αἴας,
Χώομενος, χαλεποῖσιν ἀμείψασθαι ἐπέεσσι.
Καί νύ κε δὴ πρότερω ἔτ' ἔρις γένετ' ἀμφοτέροισιν, 490
Εἰ μὴ Ἀχιλλεὺς αὐτὸς ἀνίστατο, καὶ φάτο μῦθον·
‘ Μηκέτι νῦν χαλεποῖσιν ἀμείβεσθον ἐπέεσσιν,
‘ Αἴαν, Ἰδομενεῦ τε, κακοῖς· ἐπεὶ οὐδὲ ἔοικε·
‘ Καὶ δ' ἄλλῳ νεμεσᾶτον, ὅτις τοιαῦτά γε ῥέζοι.
‘ Ἀλλ' ὑμεῖς ἐν ἀγῶνι καθήμενοι εἰσοράασθε 495
‘ Ἵππους· οἱ δὲ τάχ' αὐτοὶ ἐπειγόμενοι περὶ νίκης
‘ Ἐνθάδ' ἐλεύσονται· τότε δὲ γνώσεσθε ἕκαστος
‘ Ἵππους Ἀργείων, οἳ δεύτεροι, οἵ τε πάροιθεν.’
Ὣς φάτο· Τυδείδης δὲ μάλα ῥεῖον ἦλθε διώκων,
Μάστι δ' αἰὲν ἔλαυνε κατωμαδόν· οἱ δέ οἱ ἵπποι 500
Ὑψόσ' ἀειρέσθην ῥίμφα πρήσσοντε κέλευθον.
Αἰεὶ δ' ἡνίοχον κονίης ῥαθάμιγγες ἔβαλλον·
Ἅρματα δὲ χρυσῷ πεπυκασμένα κασσιτέρῳ τε
Ἵπποις ὠκυπόδεσσιν ἐπέτρεχον· οὐδέ τε πολλὴ
Γίνετ' ἐπισσώτρων ἁρματροχιὴ κατόπισθεν 505
Ἐν λεπτῇ κονίῃ· τὼ δὲ σπεύδοντε πετέσθην.
Στῆ δὲ μέσῳ ἐν ἀγῶνι, πολὺς δ' ἀνεκήκιεν ἱδρὼς
Ἵππων, ἔκ τε λόφων καὶ ἀπὸ στέρνοιο χαμᾶζε.
Αὐτὸς δ' ἐκ δίφροιο χαμαὶ θόρε παμφανόωντος,
Κλῖνε δ' ἄρα μάστιγα ποτὶ ζυγόν· οὐδὲ μάτησεν 510
Ἴφθιμος Σθένελος, ἀλλ' ἐσσυμένως λάβ' ἄεθλον·
Δῶκε δ' ἄγειν ἑτάροισιν ὑπερθύμοισι γυναῖκα,

487. ΑΠΟ. Ἀποδύς.
500. ΚΑ. Κατὰ τὸν ὦμον.
503. ΠΕ. Κεκοσμημένα.
504. ΟΥ. Οὐδὲ βαθεῖα ἐγίνετο ἡ τροχῶν ἐγχάραξις ἐπὶ τῆς γῆς.
508. ΛΟ. Νῦν, αὐχένων, τραχήλων.
510. ΜΑ. Ἀργὸς καὶ ἄπρακτος ἔμενε.

Καὶ τρίποδ' ὠτώεντα φέρειν· ὁ δ' ἕλυεν ὑφ' ἵππους·
Τῷ δ' ἄρ' ἐπ' Ἀντίλοχος Νηλήϊος ἤλασεν ἵππους,
Κέρδεσιν, ὅτι τάχει γε, παραφθάμενος Μενέλαον· 513
Ἀλλὰ καὶ ὣς Μενέλαος ἔχ' ἐγγύθεν ὠκέας ἵππους·
Ὅσσον δὲ τροχῷ ἵππος ἀφίσταται, ὅς ῥά τ' ἄνακτα
Ἕλκησιν πεδίοιο τιταινόμενος σὺν ὄχεσφιν,
Τῷ μέν τε ψαύουσιν ἐπισσώτρῳ τρίχες ἄκραι
Οὐραῖαι, ὁ δέ τ' ἄγχι μάλα τρέχει, οὐδέ τι πολλὴ 520
Χώρη μεσσηγὺς, πολέος πεδίοιο θέοντος·
Τόσσον δὴ Μενέλαος ἀμύμονος Ἀντιλόχοιο
Λείπετ'· ἀταρ τὰ πρῶτα κ' ἐς δίσκουρα λέλειπτο,
Ἀλλά μιν αἶψα κίχανεν· ὀφέλλετο γὰρ μένος ἠὺ
Ἵππου τῆς Ἀγαμεμνονέης καλλίτριχος Αἴθης· 525
Εἰ δέ κ' ἔτι προτέρω γένετο δρόμος ἀμφοτέροισι,
Τῷ κέν μιν παρέλασσ', οὐδ' ἀμφήριστον ἔθηκεν.
Αὐτὰρ Μηριόνης, θεράπων ἐὺς Ἰδομενῆος,
Λείπετ' ἀγακλῆος Μενελάου δουρὸς ἐρωήν·
Βάρδιστοι μὲν γάρ οἱ ἔσαν καλλίτριχες ἵπποι, 530
Ἥκιστος δ' ἦν αὐτὸς ἐλαυνέμεν ἅρμ' ἐν ἀγῶνι.
Υἱὸς δ' Ἀδμήτοιο πανύστατος ἤλυθεν ἄλλων,
Ἕλκων ἅρματα καλὰ, ἐλαύνων προσσοθεν ἵππους.
Τὸν δὲ ἰδὼν ὤκτειρε ποδάρκης δῖος Ἀχιλλεύς·
Στὰς δ' ἄρ' ἐν Ἀργείοις ἔπεα πτερόεντ' ἀγόρευε· 535
Λοῖθος ἀνὴρ ὤριστος ἐλαύνει μώνυχας ἵππους·

513. ΩΤΩ. Καλὰς λαβὰς ἔχοντα.
515. ΚΕΡ. Δόλοις, πανουργίαις.
517. ΤΡΟ. Νῦν, τοῦ ἁρματίου.
520. ΟΥ. Αἱ τῆς ὑρᾶς τρίχες.
523. ΔΙΣ. Καί τοι πρότερον δίσκου βολῆς διάστημα ἀπολελειμμένος.
526. ΠΡΟ. Ἐξωτέρω, προσωτέρω· νῦν, ἐπίρρημα χρόνου δηλωτικόν.
529. ΑΓΑ. Ἄγαν ἐνδόξου.
530. ΒΑΡ. Βραδύτατοι.
531. ΗΚΙ. Πάντων ἡττώμενος, ἀθλητὴς, ἢ ἄτιμος.
532. ΠΑΝ. Πάντων τελευταῖος.
533. ΠΡΟΣ. Ἔμπροσθεν.
536. ΛΟΙ. Ἔσχατος, ὕστατος.

"Ἀλλ' ἄγε δή οἱ δῶμεν ἀέθλιον, ὡς ἐπιεικὲς,
"Δεύτερ'· ἀτὰρ τὰ πρῶτα φερέσθω Τυδέος υἱός."
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπήνεον, ὡς ἐκέλευε.
Καί νύ κέν οἱ πόρεν ἵππον, ἐπήνησαν γὰρ Ἀχαιοὶ, 540
Εἰ μὴ ἄρ' Ἀντίλοχος, μεγαθύμου Νέστορος υἱὸς,
Πηλείδην Ἀχιλῆα δίκῃ ἠμείψατ' ἀναστάς·
"Ὦ Ἀχιλεῦ, μάλα τοι κεχολώσομαι, αἴ κε τελέσσῃς
Τῆτο ἔπος· μέλλεις γὰρ ἀφαιρήσεσθαι ἄεθλον,
Τὰ φρονέων, ὅτι οἱ βλάβεν ἅρματα καὶ ταχέ' ἵππω, 545
Αὐτός τ' ἐσθλὸς ἐών· ἀλλ' ὤφελεν ἀθανάτοισιν
Εὔχεσθαι, τό κεν ἔτι πανύστατος ἦλθε διώκων.
Εἰ δέ μιν οἰκτείρεις, καί τοι φίλον ἔπλετο θυμῷ,
Ἔστι τοι ἐν κλισίῃ χρυσὸς πολὺς, ἔστι δὲ χαλκὸς,
Καὶ πρόβατ', εἰσὶ δέ τοι δμωαὶ, καὶ μώνυχες ἵπποι· 550
Τῶν οἱ ἔπειτ' ἀνελὼν δόμεναι καὶ μεῖζον ἄεθλον,
Ἠὲ καὶ αὐτίκα νῦν, ἵνα σ' αἰνήσωσιν Ἀχαιοί.
Τὴν δ', ἐγὼ οὐ δώσω· περὶ δ' αὐτῆς πειρηθήτω
Ἀνδρῶν ὅς κ' ἐθέλῃσιν ἐμοὶ χείρεσσι μάχεσθαι."
Ὣς φάτο· μείδησεν δὲ ποδάρκης δῖος Ἀχιλλεὺς, 555
Χαίρων Ἀντιλόχῳ, ὅτι οἱ φίλος ἦεν ἑταῖρος·
Καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·
"Ἀντίλοχ', εἰ μὲν δή με κελεύεις οἴκοθεν ἄλλο
Εὐμήλῳ ἐπιδεῦσαι, ἐγὼ δέ κε καὶ τὸ τελέσσω·
Δώσω οἱ θώρηκα, τὸν Ἀστεροπαῖον ἀπηύρων, 560
Χάλκεον, ᾧ περὶ χεῦμα φαεινὸν κασσιτέροιο
Ἀμφιδεδίνηται· πολέος δέ οἱ ἄξιος ἔσται."
Ἦ ῥα, καὶ Αὐτομέδοντι φίλῳ ἐκέλευσεν ἑταίρῳ

542. ΔΙ. Δικαίως ἀπικρίθη.
552. ΑΙ. Ἐπαινέσωσιν.
561. ΠΕ. Περίχυμα.
562. ΑΜΦ. Ὃ κύκλῳ περικέχυται ὁ κασσίτερος.

'Ὡς ἐμὸς ἔποτε θυμὸς ὑπερφίαλος καὶ ἀπηνής.
Ἦ ῥα, καὶ Ἀντιλόχοιο Νοήμονι δῶκεν ἑταίρῳ
Ἵππον ἄγειν· ὁ δ' ἔπειτα λέβητ' ἕλε παμφανόωντα.
Μηριόνης δ' ἀνάειρε δύο χρυσοῖο τάλαντα
Τέτρατος, ὡς ἔλασεν· πέμπτον δ' ὑπελείπετ' ἄεθλον, 615
Ἀμφίθετος φιάλη· τὴν Νέστορι δῶκεν Ἀχιλλεὺς,
Ἀργείων ἀν' ἀγῶνα φέρων, καὶ ἔειπε πιφαύσας·
'Τῇ νῦν, καί σοι τοῦτο, γέρον, κειμήλιον ἔσω,
Πατρόκλοιο τάφῳ μνῆμ' ἔμμεναι· οὐ γὰρ ἔτ' αὐτὸν
Ὄψει ἐν Ἀργείοισι· δίδωμι δέ τοι τόδ' ἄεθλον 620
Αὔτως· οὐ γὰρ πύξ γε μαχήσεαι, οὐδὲ παλαίσεις,
Οὐδέ τ' ἀκοντιστὺν ἐνδύσεαι, οὐδὲ πόδεσσι
Θεύσεαι· ἤδη γὰρ χαλεπὸν κατὰ γῆρας ἐπείγει.'
Ὡς εἰπὼν, ἐν χερσὶ τίθει· ὁ δ' ἐδέξατο χαίρων,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα· 625
'Ναὶ δὴ ταῦτά γε πάντα, τέκος, κατὰ μοῖραν ἔειπες·
Οὐ γὰρ ἔτ' ἔμπεδα γυῖα, φίλος, πόδες, οὐδ' ἔτι χεῖρες
Ὤμων ἀμφοτέρωθεν ἐπαΐσσονται ἐλαφραί.
Εἴθ' ὡς ἡβώοιμι, βίη τέ μοι ἔμπεδος εἴη,
Ὡς ὁπότε κρείων Ἀμαρυγκέα θάπτον Ἐπειοὶ 630
Βουπρασίῳ, παῖδες δ' ἔθεσαν βασιλῆος ἄεθλα.
Ἔνθ' ἔτις μοι ὁμοῖος ἀνὴρ γένετ', οὔτ' ἄρ' Ἐπειῶν,
Οὔτ' αὐτῶν Πυλίων, οὔτ' Αἰτωλῶν μεγαθύμων.
Πὺξ μὲν ἐνίκησα Κλυτομήδεα, Ἤνοπος υἱόν·
Ἀγκαῖον δὲ πάλῃ Πλευρώνιον, ὅς μοι ἀνέστη· 635
Ἰφικλον δὲ πόδεσσι παρέδραμον, ἐσθλὸν ἐόντα·
Δουρὶ δ' ὑπειρέβαλον Φυλήά τε, καὶ Πολύδωρον·

618. ΚΕΙ. Ἀπόθετον κτῆμα.
619. ΤΑ. Εἰς ἐπιτάφιον ἀγῶνα.
622. ΑΚ. Οὐδ' εἰς ἀκοντίου ἀγῶνα κατιλεύση.
623. ΘΕΥ. Δράμῃς.

‘ Οἵοισίν μ᾽ ἵπποισι παρήλασαν Ἀκτορίωνε,
‘ Πλήθει πρόσθε βαλόντες, ἀγασσάμενοι περὶ νίκης,
‘ Οὕνεκα δὴ τὰ μέγιστα παρ᾽ αὐτόφι λείπετ᾽ ἄεθλα. 640
‘ Οἱ δ᾽ ἄρ᾽ ἔσαν δίδυμοι· ὁ μὲν ἔμπεδον ἡνιόχευεν,
‘ Ἔμπεδον ἡνιόχευ᾽, ὁ δ᾽ ἄρα μάστιγι κέλευεν.
‘ Ὡς ποτ᾽ ἔον, νῦν αὖτε νεώτεροι ἀντιοώντων
‘ Ἔργων τοιούτων· ἐμὲ δὲ χρὴ γήραϊ λυγρῷ
‘ Πείθεσθαι, τότε δ᾽ αὖτε μετέπρεπον ἡρώεσσιν. 645
‘ Ἀλλ᾽ ἴθι, καὶ σὸν ἑταῖρον ἀέθλοισι κτερείζε.
‘ Τοῦτο δ᾽ ἐγὼ πρόφρων δέχομαι, χαίρει δέ μοι ἦτορ,
‘ Ὡς μευ ἀεὶ μέμνησαι ἐνηέος· οὐδέ σε λήθω,
‘ Τιμῆς ἧς τέ μ᾽ ἔοικε τετιμῆσθαι μετ᾽ Ἀχαιοῖς.
‘ Σοὶ δὲ θεοὶ τῶνδ᾽ ἀντὶ χάριν μενοεικέα δοῖεν.’ 650
Ὣς φάτο· Πηλείδης δὲ πολὺν καθ᾽ ὅμιλον Ἀχαιῶν
Ὤχετ᾽, ἐπεὶ πάντ᾽ αἶνον ἐπέκλυε Νηλείδαο.
Αὐτὰρ ὁ πυγμαχίης ἀλεγεινῆς θῆκεν ἄεθλα·
Ἡμίονον ταλαεργὸν ἄγων κατέδησ᾽ ἐν ἀγῶνι
Ἑξέτε᾽, ἀδμήτην, ἥτ᾽ ἀλγίστη δαμάσασθαι· 655
Τῷ δ᾽ ἄρα νικηθέντι τίθει δέπας ἀμφικύπελλον.
Στῆ δ᾽ ὀρθὸς, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
‘ Ἀτρεΐδη τε, καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοὶ,
‘ Ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥπερ ἀρίστω,
‘ Πυξ μάλ᾽ ἀναιχομένω πεπληγέμεν· ᾧ δέ κ᾽ Ἀπόλλων 660

639. ΠΛΗ. Ἤτοι τῶν χειρῶν, ἢ τῶν ἁρμάτων, ἢ τῶν συναιρουμένων αὐτοῖς θεατῶν, τῷ πλήθει ἡμᾶς νικήσαντες· διφυεῖς γὰρ καὶ ἀνὰ τέσσαρας χεῖρας ἔχοντες ἱστοροῦνται. ΑΓ. Φθονήσαντές μου τῇ νίκῃ.

640. ΑΥ. Παρ᾽ αὐτοῖς τοῖς ἵπποις ἔκειντο τὰ ἆθλα.

641. ΔΙ. Δύο.

646. ΚΤΕ. Τίμα, θάπτε.

648. ΕΝΗ. Ἐπιεικῆς, προσηνῆς.

649. ΤΙ. Τῆς συνήθους ἐν τοῖς Ἕλλησι.

652. ΑΙ. Ὅλον τὸν ἐπαινεῖν λόγον.

660. ΑΠ. Φόρβας, ἀνδρειότατος τῶν καθ᾽ αὑτὸν γενόμενος, πυγμῇ ἐνίκα· καὶ τὰς μὲν παριόντας ἀναγκάζων ἀγωνίζεσθαι ἀνῄρει· ὑπὸ δὲ τῆς πολλῆς ὑπερηφανείας ἐβούλετο καὶ πρὸς τοὺς θεοὺς τὸ τοιοῦτο φρόνημα ἔχειν· διὸ Ἀπόλλων πα-

ᾧ Δώῃ καμμονίην, γνώωσι δὲ πάντες Ἀχαιοὶ,
ᾧ Ἡμίονον ταλαεργὸν ἄγων κλισίηνδε νεέσθω·
ᾧ Αὐτὰρ ὁ νικηθεὶς δέπας οἴσεται ἀμφικύπελλον.'
Ὣς ἔφατ'· ὤρνυτο δ' αὐτίκ' ἀνὴρ ἠΰς τε μέγας τε,
Εἰδὼς πυγμαχίης, υἱὸς Πανοπῆος Ἐπειός· 665
Ἅψατο δ' ἡμιόνου ταλαεργοῦ, φώνησέν τε·
ᾧ Ἄσσον ἴτω, ὅστις δέπας οἴσεται ἀμφικύπελλον,
ᾧ Ἡμίονον δ' οὔ φημί τιν' ἀξέμεν ἄλλον Ἀχαιῶν,
ᾧ Πυγμῇ νικήσαντ'· ἐπεὶ εὔχομαι εἶναι ἄριστος.
ᾧ Ἦ ἐχ ἅλις, ὅτι μάχης ἐπιδεύομαι; ἠδ' ἄρα πως ἦν 670
ᾧ Ἐν πάντεσσ' ἔργοισι δαήμονα φῶτα γενέσθαι.
ᾧ Ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται,
ᾧ Ἀντικρὺ χρόα τε ῥήξω, σύν τ' ὀστέ' ἀράξω.
ᾧ Κηδεμόνες δέ οἱ ἐνθάδ' ἀολλέες αὖθι μενόντων,
ᾧ Οἵ κέ μιν ἐξοίσουσιν, ἐμῆς ὑπὸ χερσὶ δαμέντα.' 675
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
Εὐρύαλος δέ οἱ οἶος ἀνίστατο, ἰσόθεος φὼς,
Μηκιστέως υἱὸς, Ταλαϊονίδαο ἄνακτος,
Ὃς ποτε Θήβασδ' ἦλθε δεδουπότος Οἰδιπόδαο
Ἐς τάφον· ἔνθα δὲ πάντας ἐνίκα Καδμείωνας. 680
Τὸν μὲν Τυδείδης δουρικλυτὸς ἀμφεπονεῖτο,
Θαρσύνων ἔπεσιν, μέγα δ' αὐτῷ βέλετο νίκην.
Ζῶμα δέ οἱ πρῶτον παρακάβαλεν, αὐτὰρ ἔπειτα

ρανομένου, καὶ συσὰς αὐτῷ, ἀπέκλειεν αὐτόν· ὅθεν ἐξ ἐκείνου τῆς πυκτικῆς ἔφορος ἐνομίζετο ὁ θεός· ἡ ἱστορία παρὰ τοῖς Κυκλικοῖς.

661. ΚΑΜ. Τὴν ἐκ καλαμοῦς νίκην.

662. ΤΑΛ. Ὑπομονητικὸν περὶ τὰ ἔργα.

671. ΔΑ. Ἔμπειρον.

673. ΑΡΑΞ. Συντρίψω.

674. ΚΗ. Ἐπιμεληταί· ἢ προσήκοντες κατὰ γένος.

679. ΔΕ. Ἐν πολέμῳ τεθνηκότος.

683. ΖΩ. Νῦν, περίζωμα· πρῶτον ἔθος ἦν τοῖς παλαιοῖς περιζώμαιᾳ φορεῖν περὶ τὰ αἰδοῖα, καὶ οὕτως ἀγωνίζεσθαι· καὶ ἐν τὴν λ. καὶ δευτέραν Ὀλυμπιάδα, Ὀρσίππου τοῦ Λακεδαιμονίου λυθὲν ἀγωνιζομένου τὸ περίζωμα, αἴτιον αὐτῷ ἥττης ἐγένετο, ἐξ οὗ νόμος ἐτέθη, γυμνοὺς τρέχειν. ΠΑ. Παρακατέθηκεν.

Δῶκεν ἱμάντας ἐϋτμήτους βοὸς ἀγραύλοιο.
Τὼ δὲ ζωσαμένω βήτην ἐς μέσσον ἀγῶνα· 685
Ἄντα δ' ἀναχομένω χερσὶ σιδαρῆσιν ἄμ' ἄμφω
Σύν ῥ' ἔπεσον, σὺν δέ σφι βαρεῖαι χεῖρες ἔμιχθεν.
Δεινὸς δὲ χρόμαδος γενύων γένετ', ἔρρεε δ' ἱδρὼς
Πάντοθεν ἐκ μελέων· ἐπὶ δ' ὤρνυτο δῖος Ἐπειός,
Κόψε δὲ παπτήναντα παρηΐον, ἠδ' ἄρ' ἔτι δὴν 690
Εἰστήκειν· αὐτὰρ γὰρ ὑπήριπε φαίδιμα γυῖα.
Ὡς δ' ὅθ' ὑπὸ φρικὸς Βορέω ἀναπάλλεται ἰχθὺς
Θῖν' ἐπὶ φυκιόεντι, μέλαν δέ ἑ κῦμα κάλυψεν·
Ὡς πληγεὶς ἀνέπαλτ'· αὐτὰρ μεγάθυμος Ἐπειὸς
Χερσὶ λαβὼν ὤρθωσε· φίλοι δ' ἀμφέσαν ἑταῖροι, 695
Οἵ μιν ἄγον δι' ἀγῶνος ἐφελκομένοισι πόδεσσιν,
Αἷμα παχὺ πτύοντα, κάρη βάλλοντ' ἐτέρωσε·
Κάδδ' ἀλλοφρονέοντα μετὰ σφίσιν εἷσαν ἄγοντες·
Αὐτοὶ δ' οἰχόμενοι κόμισαν δέπας ἀμφικύπελλον.
Πηλείδης δ' αἶψ' ἄλλα κατὰ τρίτα θῆκεν ἄεθλα, 700
Δεικνύμενος Δαναοῖσι, παλαισμοσύνης ἀλεγεινῆς·
Τῷ μὲν νικήσαντι μέγαν τρίποδ' ἐμπυριβήτην,
Τὸν δὲ δυωδεκάβοιον ἐνὶ σφίσι τῖον Ἀχαιοί·
Ἀνδρὶ δὲ νικηθέντι γυναῖκ' ἐς μέσσον ἔθηκε,
Πολλὰ δ' ἐπίσατο ἔργα, τίον δέ ἑ τεσσαράβοιον. 705
Στῆ δ' ὀρθὸς, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·

684. ΑΓΡΑΥ. Ἐν ἀγρῷ αὐλιζομένου.
688. ΧΡΟ. Ποιὸς ἦχος ἢ χρωτὸς ἢ σιαγόνων.
689. ΕΠΙ. Ἐφόρμα δέ.
691. ΥΠΗ. Κατηνέχθη. ΦΑΙΔΙ. Λαμπρά.
692. ΦΡΙ. Φρίξ, ἡ ἐπιπόλαιος τοῦ κύματος κίνησις· ἡ λιπλοκυμία. ΑΝΑ. Ἀναπηδᾷ.
693. ΦΥ. Φυκία ἔχοντι· φῦκος δέ ἐστιν ἤτοι ἡ ἄχνη τῆς θαλάσσης, ἢ πόα παραθαλασσία ὕτω καλουμένη.
697. ΕΤΕ. Εἰς τὸ ἕτερον μέρος.
698. ΑΛ. Οὐκ ἐν αὐτῷ ὄντα, ἀλλ' ἐξιγαμένον τῇ διανοίᾳ.
703. ΔΥ. Δώδεκα βοῶν ἄξιον.
705. ΤΕΣ. Τὸ τεσσάρων βοῶν.

«Ὄρνυθ', οἱ καὶ τοῦτο ἀέθλου πειρήσεσθε.»
Ὡς ἔφατ'· ὦρτο δ' ἔπειτα μέγας Τελαμώνιος Αἴας·
Ἂν δ' Ὀδυσεὺς πολύμητις ἀνίστατο, κέρδεα εἰδώς.
Ζωσαμένω δ' ἄρα τώγε βάτην ἐς μέσσον ἀγῶνα, 710
Ἀγκὰς δ' ἀλλήλων λαβέτην χερσὶ σιδαρῇσιν·
Ὡς δ' ὅτ' ἀμείβοντες, τές τε κλυτὸς ἤραρε τέκτων,
Δώματος ὑψηλοῖο, βίας ἀνέμων ἀλεείνων.
Τετρίγει δ' ἄρα νῶτα, θρασειάων ἀπὸ χειρῶν
Ἑλκόμενα σερεῶς, κατὰ δὲ νότιος ῥέεν ἱδρώς· 715
Πυκναὶ δὲ σμώδιγγες ἀνὰ πλευράς τε καὶ ὤμους
Αἵματι φοινικόεσσαι ἀνέδραμον· οἱ δὲ μάλ' αἰεὶ
Νίκης ἱέσθην, τρίποδος πέρι ποιητοῖο.
Οὔτ' Ὀδυσεὺς δύνατο σφῆλαι, ἔδει τε πελάσσαι,
Οὔτ' Αἴας δύνατο, κρατερὴ δ' ἔχεν ἷς Ὀδυσῆος. 720
Ἀλλ' ὅτε δή ῥ' ἀνίαζον ἐϋκνήμιδες Ἀχαιοὶ,
Δὴ τότε μιν προσέειπε μέγας Τελαμώνιος Αἴας·
«Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
«Ἢ μ' ἀνάειρ', ἢ ἐγώ σε· τὰ δ' αὖ Διὶ πάντα μελήσει.»
Ὡς εἰπὼν, ἀνάειρε· δόλου δ' οὐ λήθετ' Ὀδυσσεύς· 725
Κόψ' ὄπιθεν κώληπα τυχὼν, ὑπέλυσε δὲ γυῖα·
Κάδδ' ἔβαλ' ἐξοπίσω· ἐπὶ δὲ στήθεσσιν Ὀδυσσεὺς
Κάππεσε· λαοὶ δ' αὖ θηεῦντό τε, θάμβησάν τε.
Δεύτερος αὖτ' ἀνάειρε πολύτλας δῖος Ὀδυσσεὺς,
Κίνησεν δ' ἄρα τυτθὸν ἀπὸ χθονὸς, ὀδέ τ' ἄειρε· 730
Ἐν δὲ γόνυ γνάμψεν· ἐπὶ δὲ χθονὶ κάππεσον ἄμφω

712. ΑΜΕΙ. Δοκοὶ μεγάλαι ἀλλήλαις προσπίπτουσαι, ὥστε βαστάζειν τὴν ὀροφήν· αἵτινες καὶ συστάται καλοῦνται.
714. ΤΕ. Ἔτριζεν.
717. ΦΟΙ. Πελειώδεις, ἐρυθραί.
719. ΣΦΗ. Καταβαλεῖν, νικῆσαι.
720. ΕΧΕ. Κατεῖχε.
726. ΚΟΨ. Ἔκρυσιν αὐτοῦ, φησὶν, ἐπιτυχὼν τὴν ἐγνύαν ὄπισθεν· ἥτις καὶ ἀγκύλη καλεῖται· ὡς τῶν μέσων ἐρρωμένων περιπλέκεται.
729. ΑΝΑ. Ἦρεν, ἐβάστασεν.

Πλησίοι ἀλλήλοισι, μιάνθησαν δὲ κονίῃ.
Καί νύ κε τὸ τρίτον αὖτις ἀναΐξαντ' ἐπάλαιον,
Εἰ μὴ Ἀχιλλεὺς αὐτὸς ἀνίστατο, καὶ κατέρυκε·
Μηκέτ' ἐρείδεσθον, μηδὲ τρίβεσθε κακοῖσι· 735
Νίκη δ' ἀμφοτέροισιν, ἀέθλια δ' ἴσ' ἀνελόντες
Ἔρχεσθ', ὄφρα καὶ ἄλλοι ἀεθλεύωσιν Ἀχαιοί.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα τῷ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο,
Καί ῥ' ἀπομορξαμένω κονίην δύσαντο χιτῶνας.
Πηλείδης δ' αἶψ' ἄλλα τίθει ταχυτῆτος ἄεθλα, 740
Ἀργύρεον κρητῆρα, τετυγμένον· ἓξ δ' ἄρα μέτρα
Χάνδανεν, αὐτὰρ κάλλει ἐνίκα πᾶσαν ἐπ' αἶαν
Πολλὸν, ἐπεὶ Σιδόνες πολυδαίδαλοι εὖ ἤσκησαν,
Φοίνικες δ' ἄγον ἄνδρες ἐπ' ἠερόειδέα πόντον,
Στῆσαν δ' ἐν λιμένεσσι, Θόαντι δὲ δῶρον ἔδωκαν· 745
Υἱὸς δὲ Πριάμοιο Λυκάονος ὦνον ἔδωκε
Πατρόκλῳ ἥρωϊ Ἰησονίδης Εὔνηος.
Καὶ τὸν Ἀχιλλεὺς θῆκεν ἀέθλιον οὗ ἑτάροιο,
Ὅστις ἐλαφρότατος ποσσὶ κραιπνοῖσι πέλοιτο·
Δευτέρῳ αὖ βοῦν θῆκε μέγαν καὶ πίονα δημῷ· 750
Ἡμιτάλαντον δὲ χρυσοῦ λοιθῆϊ ἔθηκε.
Στῆ δ' ὀρθὸς, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
Ὄρνυθ', οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε.
Ὣς ἔφατ'· ὤρνυτο δ' αὐτίκ' Ὀϊλῆος ταχὺς Αἴας,
Ἂν δ' Ὀδυσεὺς πολύμητις, ἔπειτα δὲ Νέστορος υἱὸς 755
Ἀντίλοχος· ὃ γὰρ αὖτε νέους ποσὶ πάντας ἐνίκα·
Στὰν δὲ μετασοιχεί· σήμηνε δὲ τέρματ' Ἀχιλλεύς.

742. ΚΑΛ. Τίχῃ.
743. ΣΙ. Οἱ Φοίνικες. Σιδὼν γὰρ πόλις Φοινίκης.
744. ΗΕ. Σκοτεινὸν, μέγαν, ἢ ἀναπεπταμένον, ἐν ᾧ οὐδὲ μόνος ὁρᾶται.
745. ΘΟ. Τῷ τῆς Δήμνου βασιλεῖ.
751. ΛΟ. Τῷ ἰσχάτῳ· ἀπὸ εὐθείας, ὁ λοιθούς.
757. ΜΕ. Ἐπὶ τοῦχον, ἐπὶ τοῖχ

Τοῖσι δ' ἀπὸ νύσσης τέτατο δρόμος· ὦκα δ' ἔπειτα
Ἔκφερ' Ὀϊλιάδης· ἐπὶ δ' ὤρνυτο δῖος Ὀδυσσεὺς
Ἄγχι μάλ'· ὡς ὅτε τίς τε γυναικὸς ἐϋζώνοιο 760
Στήθεός ἐστι κανών, ὅντ' εὖ μάλα χερσὶ τανύσσῃ,
Πηνίον ἐξέλκουσα παρεὶκ μίτον, ἀγχόθι δ' ἴσχει
Στήθεος· ὣς Ὀδυσεὺς θέεν ἐγγύθεν· αὐτὰρ ὄπισθεν
Ἴχνια τύπτε πόδεσσι, πάρος κόνιν ἀμφιχυθῆναι·
Κάδδ' ἄρα οἱ κεφαλῆς χέ' ἀϋτμένα δῖος Ὀδυσσεὺς, 765
Αἰεὶ ῥίμφα θέων· ἴαχον δ' ἐπὶ πάντες Ἀχαιοὶ
Νίκης ἱεμένῳ, μάλα δὲ σπεύδοντι κέλευον.
Ἀλλ' ὅτε δὴ πύματον τέλεον δρόμον, αὐτίκ' Ὀδυσσεὺς
Εὔχετ' Ἀθηναίῃ γλαυκώπιδι ὃν κατὰ θυμόν·
'Κλῦθι, θεὰ, ἀγαθή μοι ἐπίῤῥοθος ἐλθὲ ποδοῖϊν.' 770
Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε Παλλὰς Ἀθήνη·
Γυῖα δ' ἔθηκεν ἐλαφρὰ, πόδας, ἠὲ χεῖρας ὕπερθεν.
Ἀλλ' ὅτε δὴ τάχ' ἔμελλον ἐπαΐξεσθαι ἄεθλον,
Ἔνθ' Αἴας μὲν ὄλισθε θέων, βλάψεν δὲ Ἀθήνη,
Τῇ ῥα βοῶν κέχυτ' ὄνθος ἀποκταμένων ἐρεμύκων, 775
Οὓς ἐπὶ Πατρόκλῳ πέφνεν πόδας ὠκὺς Ἀχιλλεύς·
Ἐν δ' ὄνθῳ βοέῳ πλῆτο στόμα τε, ῥῖνάς τε.
Κρητῆρ' αὖτ' ἀνάειρε πολύτλας δῖος Ὀδυσσεὺς,
Ὡς ἦλθε φθάμενος· ὁ δὲ βεῖν ἕλε φαίδιμος Αἴας·
Στῆ δὲ κέρας μετὰ χερσὶν ἔχων βοὸς ἀγραύλοιο, 780
Ὄνθον ἀποπτύων, μετὰ δ' Ἀργείοισιν ἔειπεν·

758. ΤΕ. Μετὰ προθυμίας ἐξετείνετο αὐτοῖς ὁ δρόμος.

761. ΚΑ. Ὁ κάλαμος περὶ ὃν εἱλεῖται ὁ μίτος ὁ ἰσυργικός. ΤΑ. Ἐπιτείνῃ.

762. ΠΗ. Εἴλημα κρόκης· πάντα τὰ ἔργα ἐν παραβολαῖς εἰπὼν, νῦν καὶ περὶ γυναικωνίτιδος ἔφη.

764. ΙΧ. Ἐπιβαίνει αὐτοῦ τοῖς ἴχνεσι, πρὶν ἢ κονιορτωθῆναι.

765. ΑΥΤ. Ἀναπνοὴν, ἅδμα.

774. ΟΛΙΣ. Ἔπεσεν.

775. ΟΝ. Ἡ τῶν βοῶν κόπρος. ΕΡΙ. Μεγαλοφώνων· μυκηθμὸς γὰρ, ἡ τῶν βοῶν φωνή.

'Ὦ πόποι, ἦ μ' ἔβλαψε θεὰ πόδας, ἠὲ τὸ πάρος περ,
'Μήτηρ ὡς, Ὀδυσῆϊ παρίσταται, ἠδ' ἐπαρήγει.'
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπ' αὐτῷ ἡδὺ γέλασσαν.
Ἀντίλοχος δ' ἄρα δὴ λοιθήϊον ἔκφερ' ἄεθλον, 783
Μειδίων, καὶ μῦθον ἐν Ἀργείοισιν ἔεπεν·
'Εἰδόσιν ὔμμ' ἐρέω πᾶσιν, φίλοι, ὡς ἔτι καὶ νῦν
'Ἀθάνατοι τιμῶσι παλαιοτέρους ἀνθρώπους·
'Αἴας μὲν γὰρ ἐμεῖ' ὀλίγον προγενέστερός ἐστιν·
'Οὗτος δὲ προτέρης γενεῆς, προτέρων τ' ἀνθρώπων· 790
'Ὠμογέροντα δέ μιν φάσ' ἔμμεναι· ἀργαλέον δὲ
'Ποσσὶν ἐριδδήσασθαι Ἀχαιοῖς, εἰ μὴ Ἀχιλλεῖ.'
Ὣς φάτο· κύδηνεν δὲ ποδώκεα Πηλείωνα.
Τὸν δ' Ἀχιλεὺς μύθοισιν ἀμειβόμενος προσέεπεν·
'Ἀντίλοχ', οὐ μέν τοι μέλεος εἰρήσεται αἶνος, 795
'Ἀλλά τοι ἡμιτάλαντον ἐγὼ χρυσῷ ἐπιθήσω.'
Ὣς εἰπὼν, ἐν χερσὶ τίθει· ὁ δ' ἐδέξατο χαίρων.
Αὐτὰρ Πηλείδης κατὰ μὲν δολιχόσκιον ἔγχος
Θῆκ' ἐς ἀγῶνα φέρων, κατὰ δ' ἀσπίδα, καὶ τρυφάλειαν,
Τεύχεα Σαρπήδοντος, ἅ μιν Πάτροκλος ἀπηύρα. 800
Στῆ δ' ὀρθὸς, καὶ μῦθον ἐν Ἀργείοισιν ἔεπεν·
'Ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὅσσ' ἀρίστω,
'Τεύχεα ἐσσαμένω, ταμεσίχροα χαλκὸν ἐλόντε,
'Ἀλλήλων προπάροιθεν ὁμίλου πειρηθῆναι·
'Ὁππότερός κε φθῆσιν ὀρεξάμενος χρόα καλὸν, 805
'Ψαύσῃ δ' ἐνδίνων, διά τ' ἔντεα, καὶ μέλαν αἷμα,

791. ΩΜΟ. Οὕτω λέγουσιν ἤτοι τοὺς ἔτι συνεστῶτας, καὶ μή πω πάνυ γέροντας, ἀλλὰ πλησίον δὲ γήρως, ἢ τοὺς πρὸ ὥρας καὶ παρ' ἡλικίαν γεγηρακότας.

792. ΕΡΙΔ. Ἐξισωθῆναι, ἀμιλληθῆναι.

793. ΚΥ. Ἐδόξασεν.

795. ΑΙ. Νῦν, λόγος.

805. ΟΡΕΞ. Ἐφαψάμενος τοῦ χρυτός.

806. ΕΝΔ. Τῶν ἐντὸς ὅπλων μελῶν· ἀπὸ τοῦ ἐντείνειν θύραθεν καὶ τοῦς ἄλλ

‘Τῷ μὲν ἐγὼ δώσω τόδε φάσγανον ἀργυρόηλον,
‘Καλὸν, Θρηΐκιον, τὸ μὲν Ἀστεροπαῖον ἀπηύρων·
‘Τεύχεα δ᾽ ἀμφότεροι ξυνήϊα ταῦτα φερέσθων·
‘Καί σφιν δαῖτ᾽ ἀγαθὴν παραθήσομαι ἐν κλισίῃσιν.’ 810
Ὣς ἔφατ᾽· ὦρτο δ᾽ ἔπειτα μέγας Τελαμώνιος Αἴας,
Ἂν δ᾽ ἄρα Τυδείδης ὦρτο κρατερὸς Διομήδης.
Οἱ δ᾽ ἐπεὶ ἓν ἑκάτερθεν ὁμίλῳ θωρήχθησαν,
Ἐς μέσον ἀμφοτέρω συνίτην μεμαῶτε μάχεσθαι,
Δεινὸν δερκομένω· θάμβος δ᾽ ἔχε πάντας Ἀχαιοὺς. 815
Ἀλλ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντες,
Τρὶς μὲν ἐπήϊξαν, τρὶς δὲ σχεδὸν ὡρμήθησαν·
Ἔνθ᾽ Αἴας μὲν ἔπειτα κατ᾽ ἀσπίδα πάντοσε ἴσην
Νύξ᾽, ἀδὲ χρὸ᾽ ἵκανεν· ἔρυτο γὰρ ἔνδοθι θώρηξ.
Τυδείδης δ᾽ ἄρ᾽ ἔπειτα ὑπὲρ σάκεος μεγάλοιο 820
Αἰὲν ἐπ᾽ αὐχένι κῦρε φαεινῷ δουρὸς ἀκωκῇ.
Καὶ τότε δή ῥ᾽ Αἴαντι περιδδείσαντες Ἀχαιοὶ
Παυσαμένους ἐκέλευσαν ἀέθλια ἶσ᾽ ἀνελέσθαι.
Αὐτὰρ Τυδείδῃ δῶκεν μέγα φάσγανον ἥρως,
Σὺν κολεῷ τε φέρων, καὶ εὐτμήτῳ τελαμῶνι. 825
Αὐτὰρ Πηλείδης θῆκεν σόλον αὐτοχόωνον,
Ὃν πρὶν μὲν ῥίπασκε μέγα σθένος Ἠετίωνος·
Ἀλλ᾽ ἤτοι τὸν ἔπεφνε ποδάρκης δῖος Ἀχιλλεὺς,

πιῶς ὅπλοις· οἱ δὲ ἀποδιδόντες ἑκατέρων, ἀγνοοῦσιν· οὐ γὰρ μέχρι θανάτου μονομαχοῦσιν.

821. ΚΥ. Ἤγγιζεν, ἐπετύγχανεν· Ἱστόρηται ὅτι καὶ κεῖνο καιρῷ ἔτυχεν Ἡρακλῆς τῇ νήσῳ Σαλαμῖνι κατά τινα χρείαν προσπλεύσας· Τελαμῶνι δὲ ἄρτι γενέσθαι τὸν παῖδα Αἴαντα· ἐπιστὰς οὖν ὁ Ἡρακλῆς, καὶ ἀναλαβὼν τὸν παῖδα, περιέβαλε τῇ λεοντῇ· ἐφ᾽ ᾧ εὔξατο αὐτὸν γενέσθαι ἄτρωτον· ὁ δὲ ηὐξήθη, καὶ τὸ πᾶν τοῦ σώματος ἐγένετο ἄτρωτον, πλὴν τοῦ αὐχένος· τοῦτο γὰρ ἐδόκει τότε κατὰ τύχην τὸ μέρος μὴ περιβεβλῆσθαι τῇ λεοντῇ.

826. ΣΟ. Δίσκον· διαφέρει δὲ σόλος καὶ δίσκος· ὅτι ὁ μὲν δίσκος πλατύς ἐστι καὶ κοιλότερος· ὁ δὲ σόλος στρογγύλος καὶ σφαιροειδής. ΑΥ. Ἐκ χαλκοῦ ὕλης εἰκῇ κεχωνευμένον, αὐτοχώνευτον, οἷον μὴ ἔχοντα κάλασκευὴν τερπνὴν, ἤτ᾽ ἐν τεχνικῇ, ἀλλ᾽ ἐκ μόνης χωνείας ἀναληφθέντα.

827. ΡΙΠ. Ἐρρίπτει μακράν.

Τὸν δ' ἄγετ' ἐν νήεσσι σὺν ἄλλοισι κτεάτεσσι.
Στῆ δ' ὀρθὸς, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν· 830
"Ὀρνυθ', οἱ κατὰ τέτατ ἀέθλατ πειρήσεθε·
Εἴ οἱ κατὰ μάλα πολλὸν ἀπόπροθι πίονες ἀγροὶ,
Ἕξει μιν καὶ πέντε περιπλομένας ἐνιαυτὸς
Χρεώμενος· οὐ μὲν γάρ οἱ ἀτεμβόμενός γε σιδήρου
Ποιμὴν, ὀδὶ ἀροτὴρ, εἶσ' ἐς πόλιν, ἀλλὰ παρέξει.' 835
Ὣς ἔφατ'· ὦρτο δ' ἔπειτα μενεπτόλεμος Πολυποίτης,
Ἂν δὲ Λεοντῆος κρατερὸν μένος ἀντιθέοιο,
Ἂν δ' Αἴας Τελαμωνιάδης, καὶ δῖος Ἐπειός·
Ἑξείης δ' ἵσαντο· σόλον δ' ἕλε δῖος Ἐπειὸς,
Ἦκε δὲ δινήσας· γέλασαν δ' ἐπὶ πάντες Ἀχαιοί. 840
Δεύτερος αὖτ' ἀφέηκε Λεοντεὺς, ὄζος Ἄρηος·
Τὸ τρίτον αὖτ' ἔρριψε μέγας Τελαμώνιος Αἴας
Χειρὸς ἄπο σιβαρῆς, καὶ ὑπέρβαλε σήματα πάντα.
Ἀλλ' ὅτε δὴ σόλον εἷλε μενεπτόλεμος Πολυποίτης,
Ὅσσον τίς τ' ἔρριψε καλαύροπα βυκόλος ἀνὴρ, 845
Ἡ δέ θ' ἑλισσομένη πέτεται διὰ βοῦς ἀγελαίας·
Τόσσον παντὸς ἀγῶνος ὑπέρβαλε· τοὶ δ' ἐβόησαν.
Ἀνσάντες δ' ἕταροι Πολυποίταο κρατεροῖο
Νῆας ἐπὶ γλαφυρὰς ἔφερον βασιλῆος ἄεθλον.
Αὐτὰρ ὁ τοξευτῆσι τίθει ἰόεντα σίδηρον, 850
Κάδδ' ἐτίθει δέκα μὲν πελέκεας, δέκα δ' ἡμιπέλεκκα·
Ἰσὸν δ' ἔσησεν νηὸς κυανοπρώροιο
Τηλοῦ ἐπὶ ψαμάθοις· ἐκ δὲ τρήρωνα πέλειαν

829. ΑΓΕΤ. Ἀντὶ τοῦ, ἐκόμισε.
832. ΙΠ. Νῦν, εὐδαίμονες.
834. ΧΡΕ. Χρώμενος, ἢ χρῄζων. ΑΤΕΜ. Στερόμενος.
843. ΥΠΕΡ. Ὑπερίβαλε.
845. ΚΑ. Τὴν βουκολικὴν ῥάβδον· ἔστι δὲ ξύλον κατὰ τὸ ἕτερον μέρος ἐοικὼν ἔχον, ὅ ἐστι, βάρος.
846. ΕΛΙΣ. Συστρεφομένη. ΑΓ. Ἀντὶ τοῦ, δι' ἀγελαίων βοῶν.
850. ΤΟΞ. Τοξόταις. ΙΟ. Ἤτοι ἰὸν γενικῶντα, ἢ μέλανα· ἄμεινον δὲ [illegible] πρὸς ἰῶν κατασκευὴν ἐπιτήδειον, [illegible] βελῶν.

Λεπτῇ μηρίνθῳ δῆσεν ποδὸς, ἧς ἄρ' ἀνώγει
Τοξεύειν· Ὃς μέν κέ βάλῃ τρήρωνα πέλειαν, 855
Πάντας ἀειράμενος πελέκεας κλισίηνδε φερέσθω·
Ὃς δέ κε μηρίνθοιο τύχῃ, ὄρνιθος ἁμαρτὼν,
Ἥσσων γὰρ δὴ κεῖνος, ὁ δ' οἴσεται ἡμιπέλεκκα.
Ὣς ἔφατ'· ὦρτο δ' ἔπειτα βίη Τεύκροιο ἄνακτος,
Ἂν δ' ἄρα Μηριόνης, θεράπων ἐὺς Ἰδομενῆος. 860
Κλῆρόν δ' ἐν κυνέῃ χαλκηρεῖ πάλλον ἑλόντες·
Τεῦκρος δὲ πρῶτος κλῆρῳ λάχεν· αὐτίκα δ' ἰὸν
Ἧκεν ἐπικρατέως, ὀδ' ἠπείλησεν ἄνακτι
Ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην.
Ὄρνιθος μὲν ἁμαρτε, μέγηρε γάρ οἱ τόγ' Ἀπόλλων, 865
Αὐτὰρ ὁ μήρινθον βάλε πὰρ πόδα, τῇ δέδετ' ὄρνις·
Ἀντικρὺ δ' ἀπὸ μήρινθον τάμε πικρὸς ὀϊστός.
Ἡ μὲν ἔπειτ' ἤϊξε πρὸς ἠρανὸν, ἡ δὲ παρείθη
Μήρινθος πρὸς γαῖαν· ἀτὰρ κελάδησαν Ἀχαιοί.
Σπερχόμενος δ' ἄρα Μηριόνης ἐξείρυσε χειρὸς 870
Τόξον· ἀτὰρ δὴ οἰστὸν ἔχεν πάλαι, ὡς ἴθυνεν.
Αὐτίκα δ' ἠπείλησεν ἑκηβόλῳ Ἀπόλλωνι
Ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην·
Ὕψι δ' ὑπὰ νεφέων εἶδε τρήρωνα πέλειαν,
Τήν ῥ' ὄγε δινεύουσαν ὑπὸ πτέρυγος βάλε μέσσην· 875

854. ΜΗ. Σπάρτῳ, χοινίῳ.

856. ΠΑΝ. Τοὺς ὅλους πελέκεας. ΑΕΙ. Ἑπάρας. ΠΕ. Ἀξίνας διτόμους· ἔτι δὲ καὶ γαθμὸς σιδήρου, ἔχων μιᾶς δέκα· τὸ δὲ ἡμιπέλεκκον, τὸ ἥμισυ τῶν πελέκεως· τὸ ἐκ τοῦ ἑνὸς μόνου μέρους ἔχον ἀκμὴν, ὃ καὶ διτράλιον καλοῦσιν· ὅς τινας ἐφεξῆς ἱστῶντες ἐπί τινα βαθμὸν, ἐγυμνάζοντο οἱ τοξόται, πάμποντες διὰ τῶν τρητῶν αὐτῶν τὸ βέλος, δι' οὗ ἐμβάλλε] αὐτοῖς ὁ γειλειός.

857. ΜΗ. Καὶ μὴν τοῦτο ἐμπείρου· ἀλλὰ πρέκειτο ἡ τοῦ ζώου τύχη· τύχης δὲ προσεδεῖτο, πλουμένης τ' ὄρνιθος, καὶ σὺν ἐν αὐτῷ μενύσης.

863. ΗΠ. Οὐδὲ ἠύξατο.

865. ΑΜΑΡ. Ἀπέτυχεν. ΜΕ. Ἐφθόνησεν.

870. ΕΞ. Δηλονότι τοῦ Τεύκρου· τὸν γὰρ αὐτῷ τόξῳ ἐχρῶντο.

875. ΔΙ. Συγκρεφομένην, σοβαρῶς ἱπταμένην.

Ἀντικρὺ δὲ διῆλθε βέλος· τὸ μὲν ἂψ ἐπὶ γαίῃ
Πρόσθεν Μηριόναο πάγη ποδός· αὐτὰρ ἡ ὄρνις
Ἰσῷ ἐφεζομένη νηὸς κυανοπρώροιο,
Αὐχέν' ἀπεκρέμασεν, σὺν δὲ πτερὰ πυκνὰ λίαθεν·
Ὠκὺς δ' ἐκ μελέων θυμὸς πάτο, τῆλε δ' ἀπ' αὐτῆ 880
Κάππεσε· λαοὶ δ' αὖ θηεῦντό τε, θάμβησάν τε.
Ἂν δ' ἄρα Μηριόνης πελέκεας δέκα πάντας ἄειρε,
Τεῦκρος δ' ἡμιπέλεκκα φέρεν κοίλας ἐπὶ νῆας.
Αὐτὰρ Πηλείδης κατὰ μὲν δολιχόσκιον ἔγχος,
Καδδὲ λέβητ' ἄπυρον, βοὸς ἄξιον, ἀνθεμόεντα, 885
Θῆκ' ἐς ἀγῶνα φέρων· καί ῥ' ἥμονες ἄνδρες ἀνέσαν·
Ἂν μὲν ἄρ' Ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων,
Ἂν δ' ἄρα Μηριόνης, θεράπων ἐῢς Ἰδομενῆος.
Τοῖσι δὲ καὶ μετέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
'Ἀτρείδη, ἴδμεν γὰρ, ὅσον προβέβηκας ἁπάντων, 890
'Ἠδ' ὅσσον δυνάμει τε καὶ ἥμασιν ἔπλεο ἄριστος·
'Ἀλλὰ σὺ μὲν τόδ' ἄεθλον ἔχων κοίλας ἐπὶ νῆας
'Ἔρχευ, ἀτὰρ δόρυ Μηριόνῃ ἥρωϊ πόρωμεν,
'Εἰ σύ γε σῷ θυμῷ ἐθέλοις· κέλομαι γὰρ ἔγωγε.'
Ὣς ἔφατ'· ἠδ' ἀπίθησεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων. 895
Δῶκε δὲ Μηριόνῃ δόρυ χάλκεον· αὐτὰρ ὁ γ' ἥρως
Ταλθυβίῳ κήρυκι δίδου περικαλλὲς ἄεθλον.

879. ΣΥΝ. Συνεκρότησε δὲ τὰ πτερά. ΛΙ. Διεχωρίσθησαν.
880. ΠΤΑ. Ἐπιτάσθη.
885. ΑΝ. Ἤτοι ἐκ εἰς πῦρ χρήσιμον, ἀλλ' ἀναθηματικὸν, ἢ αἰνιγμώδη.
886. ΗΜΟ. Ἀκοντισαί.
890. ΠΡΟ. Ὑπερβέβηκας, προελήλυθας.
891. ΗΜΑ. Ἀκοντίσμασιν· ἀπὸ τοῦ ἵεσθαι. ΕΠΔΕΥ. Ἐγέου.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΙΛΙΑΔΟΣ Ω.

ΤΟΥ ΟΜΗΡΟΥ

ΡΑΨΩΔΙΑΣ.

ΖΕΥΣ, κηδόμενος Ἕκτορος, Θέτιν πρὸς Ἀχιλλέα πέμπει, ὅπως ἀποδῷ ἥρῳ τὸ σῶμα. Ἶρις δὲ πρὸς Πρίαμον, ὅπως λύτρα κομίσας Ἀχιλλεῖ, τὸν νεκρὸν τοῦ παιδὸς ἀπολάβοι· ὁ δὲ, προπεμφθεὶς ὑπὸ Ἑρμοῦ, κοιμίσαντος τοὺς Ἑλληνικοὺς φύλακας, παραγίνεται πρὸς τὸν Ἀχιλλέα, καὶ ἱκετεύσας αὐτὸν ἀπολαμβάνει τὸν υἱόν· καὶ ἀνακομίσας εἰς τὴν πόλιν, θάπτει, καὶ ἐπ' αὐτῷ δεῖπνον ἄγει.

Ἕκτορος λύτρα.

Ω, νέκυν Ἕκτορα πατρὶ λύτρων πόρεν εἵνεκ' Ἀχιλλεύς.

Λυτο δ' ἀγὼν, λαοὶ δὲ θοὰς ἐπὶ νῆας ἕκαστοι
Ἐσκίδναντ' ἰέναι· τοὶ μὲν δόρποιο μέδοντο
Ὕπνου τε γλυκεροῦ ταρπήμεναι· αὐτὰρ Ἀχιλλεὺς
Κλαῖε, φίλου ἑτάρου μεμνημένος, οὐδέ μιν ὕπνος
Ἥρει πανδαμάτωρ, ἀλλ' ἑστρέφετ' ἔνθα καὶ ἔνθα 5
Πατρόκλου ποθέων ἀνδροτῆτά τε καὶ μένος ἠΰ·
Ἠδ' ὁπόσα τολύπευσε σὺν αὐτῷ, καὶ πάθεν ἄλγεα,
Ἀνδρῶν τε πολέμους, ἀλεγεινά τε κύματα πείρων·
Τῶν μιμνησκόμενος, θαλερὸν κατὰ δάκρυον εἶβεν,
Ἄλλοτ' ἐπὶ πλευρὰς κατακείμενος, ἄλλοτε δ' αὖτε 10
Ὕπτιος, ἄλλοτε δὲ πρηνής· τότε δ' ὀρθὸς ἀναστὰς

1. ΑΓ. Νῦν, τὸ ἄθροισμα τῶν θεατῶν.
2. ΔΟΡ. Ἐπεμελοῦντο τροφῆς καὶ ὕπνου.
8. ΠΕΙ. Διαπειρῶν.
11. ΤΟ. Ὅτε δὲ.

Δινεύεσκ' ἀλύων παρὰ θῖν' ἁλός· ἐδέ μιν ἠὼς
Φαινομένη λήθεσκεν ὑπὲρ ἅλα τ' ἠϊόνας τε.
Ἀλλ' ὅγ', ἐπεὶ ζεύξειεν ὑφ' ἅρμασιν ὠκέας ἵππους,
Ἕκτορα δ' ἕλκεσθαι δησάσκετο δίφρου ὄπισθεν· 15
Τρὶς δ' ἐρύσας περὶ σῆμα Μενοιτιάδαο θανόντος,
Αὖτις ἐνὶ κλισίῃ παύεσκετο· τόνδε δ' ἔασκεν
Ἐν κόνι ἐκτανύσας προπρηνέα· τοῖο δ' Ἀπόλλων
Πᾶσαν ἀεικείην ἄπεχε χροΐ, φῶτ' ἐλεαίρων
Καὶ τεθνειότα περ· περὶ δ' Αἰγίδι πάντα καλύπτε 20
Χρυσείῃ, ἵνα μή μιν ἀποδρύφοι ἑλκυστάζων.
Ὣς ὁ μὲν Ἕκτορα δῖον ἀείκιζεν μενεαίνων·
Τὸν δ' ἐλεαίρεσκον μάκαρες θεοὶ εἰσορόωντες,
Κλέψαι δ' ὠτρύνεσκον ἐύσκοπον Ἀργειφόντην.
Ἔνθ' ἄλλοις μὲν πᾶσιν ἐήνδανεν, οὐδέ ποθ' Ἥρῃ, 25
Οὐδὲ Ποσειδάων', οὐδὲ γλαυκώπιδι κούρῃ·
Ἀλλ' ἔχον, ὡς σφιν πρῶτον ἀπήχθετο Ἴλιος ἱρὴ,
Καὶ Πρίαμος καὶ λαός, Ἀλεξάνδρου ἕνεκ' ἄτης·
Ὃς νείκεσσε θεὰς, ὅτε οἱ μέσσαυλον ἵκοντο,
Τὴν δ' ἤνησ', ἥ οἱ πόρε μαχλοσύνην ἀλεγεινήν. 30
Ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο δυωδεκάτη γένετ' ἠὼς,
Καὶ τότ' ἄρ' ἀθανάτοισι μετηύδα Φοῖβος Ἀπόλλων·
Σχέτλιοί ἐστε, θεοὶ, δηλήμονες· οὔ νύ ποθ' ὑμῖν

12. ΔΙΝ. Ἀνεστρέφετο. ΑΛΥ. Καταστένων, ἀλώμενος, καὶ λύσιν μὴ εὑρίσκων τῶν κακῶν.

22. ΜΕ. Μηνιῶν, ὀργιζόμενος.

24. ΚΛΕ. Ζεὺς ἐραδεὶς Μαίας τῆς Ἀτλάντιδος, λαθὼν Ἥραν ἐμίγη· ἡ δὲ ἔγκυος γενομένη, ἐν Κυλλήνῃ τῆς Ἀρκαδίας, Ἑρμῆν ἐγέννησεν· ὃς τις ἐπιθυμίαν ἔχει τοῦ κλέπτειν· ὅτι καὶ Ζεὺς κλέψας τὴν Ἥραν, ἐμίγη Μαίᾳ· καὶ δήποτε τῆς μητρὸς μετὰ τῶν ἀδελφῶν αὐτῆς λωμένης, λαθὼν ὑφείλετο τὰς ἰδῆτας· γυμναὶ δὲ ἐκεῖναι, ἠπόρουν τί πράξωσι· γέλωτα δὲ διὰ τοῦτο Ἑρμῆς κινήσας, ἀπέδωκεν αὐταῖς τὰς ἰδῆτας· ἔκλεψε δὲ καὶ τὰς Ἀπόλλωνος βοῦς· ἡ ἱστορία παρ' Ἐρατοσθένει.

29. ΝΕΙ. Νῦν, ἔκριν. ΜΕΣ. Ἐπαυλιν.

30. ΗΝΗ. Ἐκίνησε. [illegible] συνουσίαν κατηφόρεσεν.

33. ΔΗ. Βλα[illegible]

Ἔρχεται ὠμησῆσιν ἐπ' ἰχθύσι κῆρα φέρουσα.
Εὗρε δ' ἐνὶ σπῆϊ γλαφυρῷ Θέτιν, ἀμφὶ δέ τ' ἄλλαι
Εἵαθ' ὁμηγερέες ἅλιαι θεαί· ἡ δ' ἐνὶ μέσσῃς
Κλαῖε μόρον οὗ παιδὸς ἀμύμονος, ὅς οἱ ἔμελλε 85
Φθίσεσθ' ἐν Τροίῃ ἐριβώλακι, τηλόθι πάτρης.
Ἀγχοῦ δ' ἱσταμένη προσέφη πόδας ὠκέα Ἶρις·
'Ὄρσο, Θέτι, καλέει Ζεὺς ἄφθιτα μήδεα εἰδώς.'
Τὴν δ' ἠμείβετ' ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα·
'Τίπτε με κεῖνος ἄνωγε μέγας θεός; αἰδέομαι δὲ 90
'Μίσγεσθ' ἀθανάτοισιν, ἔχω δ' ἄχε' ἄκριτα θυμῷ.
'Εἶμι μέν· οὐδ' ἅλιον ἔπος ἔσσεται, ὅ, τι κεν εἴπῃ.'
Ὣς ἄρα φωνήσασα, κάλυμμ' ἕλε δῖα θεάων
Κυάνεον, τοῦ δ' ὅτι μελάντερον ἔπλετο εἶδος.
Βῆ δ' ἰέναι, πρόσθεν δὲ ποδήνεμος ὠκέα Ἶρις 95
Ἡγεῖτ'· ἀμφὶ δ' ἄρα σφι λιάζετο κῦμα θαλάσσης.
Ἀκτὴν δ' εἰσαναβᾶσαι ἐς οὐρανὸν αἰχθήτην·
Εὗρον δ' εὐρύοπα Κρονίδην, περὶ δ' ἄλλοι ἅπαντες
Εἵαθ' ὁμηγερέες μάκαρες θεοὶ αἰὲν ἐόντες·
Ἡ δ' ἄρα παρ Διὶ πατρὶ καθέζετο, εἶξε δ' Ἀθήνη. 100
Ἥρη δὲ χρύσεον καλὸν δέπας ἐν χερὶ θῆκε,
Καί ῥ' εὔφρην' ἐπέεσσι· Θέτις δ' ὤρεξε πιοῦσα.
Τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
'Ἦλυθες Οὔλυμπόνδε, θεὰ Θέτι, κηδομένη περ,
'Πένθος ἄλαστον ἔχουσα μετὰ φρεσίν· οἶδα καὶ αὐτός· 105
'Ἀλλὰ καὶ ὣς ἐρέω, τοῦ σ' εἵνεκα δεῦρο κάλεσσα.
'Ἐννῆμαρ δὴ νεῖκος ἐν ἀθανάτοισιν ὄρωρεν
'Ἕκτορος ἀμφὶ νέκυι, καὶ Ἀχιλλῆϊ πολιπόρθῳ·
'Κλέψαι δ' ὠτρύνεσκον ἐῢσκοπον Ἀργειφόντην·

91. ΑΚΡΙ. Ἀδιαχώριστα, ἢ πολλά.
96. ΔΙ. Ἀντὶ Ϝ, διΐστατο.
102. ΩΡΕΞ. Ἐπιχείρησιν.
105. ΑΛΑ. Ἀνιπίλυστον, χαλεπόν.

‘ Αὐτὰρ ἐγὼ τόδε κῦδος Ἀχιλλῆϊ πρεσβεύοιμι,
‘ Αἰδῶ καὶ φιλότητα τεὴν μετόπισθε φυλάσσων.
‘ Αἶψα μάλ’ ἐς κρατὸν ἐλθὲ, καὶ υἱέϊ σῷ ἐπίτειλον·
‘ Σκύζεσθαί οἱ εἰπὲ θεὸς, ἐμὲ δ’ ἔξοχα πάντων
‘ Ἀθανάτων κεχολῶσθαι, ὅτι φρεσὶ μαινομένῃσιν
‘ Ἕκτορ’ ἔχει παρὰ νηυσὶ κορωνίσιν, οὐδ’ ἀπέλυσεν·
‘ Αἴ κέν πως ἐμέ τε δείσῃ, ἀπό θ’ Ἕκτορα λύσῃ.
‘ Αὐτὰρ ἐγὼ Πριάμῳ μεγαλήτορι Ἶριν ἐφήσω,
‘ Λύσασθαι φίλον υἱὸν, ἰόντ’ ἐπὶ νῆας Ἀχαιῶν,
‘ Δῶρα δ’ Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνῃ.’
Ὣς ἔφατ’· οὐδ’ ἀπίθησε θεὰ Θέτις ἀργυρόπεζα·
Βῆ δὲ κατ’ Οὐλύμποιο καρήνων αἴξασα.
Ἶξεν δ’ ἐς κλισίην οὗ υἱέος, ἐν δ’ ἄρα τόγε
Εὗρ’ ἀδινὰ στενάχοντα· φίλοι δ’ ἀμφ’ αὐτὸν ἑταῖροι
Ἐσσυμένως ἐπένοντο, καὶ ἐντύνοντο ἄριστον·
Τοῖσι δ’ ὄϊς λάσιος μέγας ἐν κλισίῃ ἱέρευτο.
Ἡ δὲ μάλ’ ἄγχ’ αὐτοῖο καθέζετο πότνια μήτηρ,
Χειρί τέ μιν κατέρεξεν, ἔπος τ’ ἔφατ’, ἔκ τ’ ὀνόμαζε·
‘ Τέκνον ἐμὸν, τέο μέχρις ὀδυρόμενος καὶ ἀχεύων
‘ Σὴν ἔδεαι κραδίην, μεμνημένος οὐδέ τι σίτου,
‘ Οὔτ’ εὐνῆς; ἀγαθὸν δὲ γυναικί περ ἐν φιλότητι
‘ Μίσγεσθ’· οὐ γάρ μοι δηρὸν βέη, ἀλλά τοι ἤδη
‘ Ἄγχι παρέστηκεν θάνατος καὶ μοῖρα κραταιή.
‘ Ἀλλ’ ἐμέθεν ζύνες ὦκα, Διὸς δέ τοι ἄγγελός εἰμι·
‘ Σκύζεσθαί σοί φησι θεὸς, ἐὲ δ’ ἔξοχα πάντων
‘ Ἀθανάτων κεχολῶσθαι, ὅτι φρεσὶ μαινομένῃσιν

124. ΕΝ. Παρασκευάζοντο, ἐυτρεπίζοντο· ἄριστον δὲ λέγει νῦν τὸ πρωϊνὸν, ὃ ἡμεῖς λέγομεν ἀκράτισμα· ὥσπερ αὖ πάλιν τὸ παρ’ ἡμῖν ἄριστον, ὁ Ποιητὴς φησὶ δεῖπνον, μεθ’ ὃ δεῖ ποιεῖν· τὸ δὲ δεῖπνον, δόρπον.

125. ΛΑ. Δασὺς, τετριχωμένος· σημαίνει δὲ καὶ τὸ συνετός. ΙΕ. Ἐρεμνεῖτο, ἔσφακτο.

129. ΕΔΕ. Ἀναλώσῃς, φάγῃς.

‘Ἕκτορ’ ἔχεις παρὰ νηυσὶ κορωνίσιν, ἤδη ἀπέλυσας.
‘Ἀλλ’ ἄγε δὴ λῦσον, νεκροῖο δὲ δέξαι ἄποινα.’
Τὴν δ’ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
‘Τῆδε, εἴη, ὃς ἄποινα φέροι, καὶ νεκρὸν ἄγοιτο,
‘Εἰ δὴ πρόφρονι θυμῷ Ὀλύμπιος αὐτὸς ἀνώγει.’ 140
Ὣς οἵγ’ ἐν νηῶν ἀγύρει μήτηρ τε καὶ υἱὸς
Πολλὰ πρὸς ἀλλήλους ἔπεα πτερόεντ’ ἀγόρευον.
Ἶριν δ’ ὤτρυνε Κρονίδης εἰς Ἴλιον ἱρήν·
‘Βάσκ’ ἴθι, Ἶρι ταχεῖα, λιποῦσ’ ἕδος Οὐλύμποιο,
‘Ἄγγειλον Πριάμῳ μεγαλήτορι, Ἴλιον εἴσω, 145
‘Λύσασθαι φίλον υἱὸν, ἰόντ’ ἐπὶ νῆας Ἀχαιῶν,
‘Δῶρα δ’ Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνῃ,
‘Οἶον, μηδέ τις ἄλλος ἅμα Τρώων ἴτω ἀνήρ.
‘Κήρυξ τίς οἱ ἕποιτο γεραίτερος, ὅς κ’ ἰθύνοι
‘Ἡμιόνους καὶ ἄμαξαν εὔτροχον, ἠδὲ καὶ αὖτις 150
‘Νεκρὸν ἄγοι πρὸς νῆας, τὸν ἔκτανε δῖος Ἀχιλλεύς.
‘Μηδέ τί οἱ θάνατος μελέτω φρεσὶ, μηδέ τι τάρβος·
‘Τοῖον γὰρ οἱ πομπὸν ὀπάσσομεν Ἀργειφόντην,
‘Ὃς ἄξει, εἵως κεν ἄγων Ἀχιλῆϊ πελάσσῃ.
‘Αὐτὰρ ἐπὴν ἀγάγῃσιν ἔσω κλισίην Ἀχιλῆος, 155
‘Οὔτ’ αὐτὸς κτενέει, ἀπό τ’ ἄλλους πάντας ἐρύξει·
‘Οὔτε γὰρ ἔς’ ἄφρων, οὔτ’ ἄσκοπος, οὔτ’ ἀλιτήμων·
‘Ἀλλὰ μάλ’ ἐνδυκέως ἱκέτεω πεφιδήσεται ἀνδρός.’
Ὣς ἔφατ’· ὦρτο δὲ Ἶρις ἀελλόπος ἀγγελέουσα·

137. ΝΕΚΡΟΙ. Ὑπὲρ τοῦ νεκροῦ δέξαι.
139. ΤΗ. Ἐνταῦθα ἔστω, ἐνθάδε ἡκέτω ὁ κομίζων τὰ λύτρα.
141. ΝΗ. Ὅμοιον τῷ, νεῶν ἐν ἀγῶνι· ὅ ἐστι, ἀθροίσματι.
147. ΙΗ. Διαχέῃ, ὅ ἐστι, χαρῆναι ποιήσῃ τοῦ Ἀχιλλέως τὴν ψυχήν.
151. ΑΓΟΙ. Ἀπάγοι.
153. ΠΟΜ. Σύνοδον, ὁδηγόν. ΟΠΑΣ. Περάσωμεν.
157. ΑΣ. Ἄγοχος τῇ γνώμῃ, καὶ ἀπτόητος τοῦ μέλλοντος, ἐξ οὗ ἀνόητος. ΑΛΙ. Ἁμαρτωλός.
158. ΕΝ. Ἐπιμελῶς. ΙΚΕ. Ἱκέτευ. ΠΕ. Φείσεται· ἀπὸ μέσου παρακειμένου.

Ἶξεν δ' ἐς Πριάμοιο· κίχεν δ' ἐνοπήν τε γόον τε. 160
Παῖδες μὲν ἠματέρ' ἄμφι καθήμενοι ἔνδοθεν αὐλῆς
Δάκρυσιν εἵματ' ἔφυρον· ὁ δ' ἐν μέσσοισι γεραιὸς
Ἐντυπὰς ἐν χλαίνῃ κεκαλυμμένος, ἀμφὶ δὲ πολλὴ
Κόπρος ἔην κεφαλῇ τε καὶ αὐχένι τοῖο γέροντος,
Τὴν ῥα κυλινδόμενος κατὰ μήσατο χερσὶν ἑῇσι· 165
Θυγατέρες δ' ἀνὰ δώματ', ἰδὲ νυοί, ὠδύροντο,
Τῶν μιμνησκόμεναι, οἳ δὴ πολέες τε καὶ ἐσθλοὶ
Χερσὶν ὑπ' Ἀργείων κέατο ψυχὰς ὀλέσαντες.
Ἔστη δὲ παρὰ Πρίαμον Διὸς ἄγγελος, ἠδὲ προσηύδα,
Τυτθὸν φθεγξαμένη, τὸν δὲ τρόμος ἔλλαβε γυῖα· 170
'Θάρσει, Δαρδανίδη Πρίαμε, φρεσὶ, μηδέ τι τάρβει·
'Οὐ μὲν γάρ τοι ἐγὼ κακὸν ὀσσομένη τόδ' ἱκάνω,
'Ἀλλ' ἀγαθὰ φρονέουσα· Διὸς δέ τοι ἄγγελός εἰμι,
'Ὅς σευ, ἄνευθεν ἐὼν, μέγα κήδεται, ἠδ' ἐλεαίρει·
'Λύσαθαί σ' ἐκέλευσεν Ὀλύμπιος Ἕκτορα δῖον, 175
'Δῶρα δ' Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνῃ,
'Οἶον, μηδέ τις ἄλλος ἅμα Τρώων ἴτω ἀνήρ·
'Κήρυξ τίς τοι ἕποιτο γεραίτερος, ὅς κ' ἰθύνοι
'Ἡμιόνας καὶ ἄμαξαν εὔτροχον, ἠδὲ κ' αὖτις
'Νεκρὸν ἄγοι προτὶ ἄστυ, τὸν ἔκτανε δῖος Ἀχιλλεύς· 180
'Μηδέ τί τοι θάνατος μελέτω φρεσὶ, μηδέ τι τάρβος·
'Τοῖος γάρ τοι πομπὸς ἅμ' ἕψεται Ἀργειφόντης,
'Ὅς σ' ἄξει, εἴως κεν ἄγων Ἀχιλῆϊ πελάσσῃ.
'Αὐτὰρ ἐπὴν ἀγαγήσιν ἔσω κλισίην Ἀχιλῆος,
'Οὔτ' αὐτὸς κτενέει, ἀπό τ' ἄλλους πάντας ἐρύξει· 185

162. ΕΦΥ. Ἔδεινον, ἴφριχον.
163. ΕΝ. Οὕτως φησὶν αὐτὸν κεκαλύφθαι τῇ χλανίδι ἐντετυπωμένος ἱματίοις ὅλον τὸ σῶμα, ὥστε μόνον τὸν τῆς μελῶν τύπον φαίνεσθαι.
164. ΚΟ. Κοινῶς μ, τὰ κόπρια· οὗ δὲ, ἡ κόνις.
165. ΚΑ. Καθιχίατο, καθιστάτα.
168. ΚΕ. Ἔκειντο.
185. ΕΡΥΞ. Ἐφίξει, κωλύσει.

‘ Οὔτε γὰρ ἔς᾽ ἄφρων, ὅτ᾽ ἄσκοπος, ὅτ᾽ ἀλιτήμων·
‘ Ἀλλὰ μάλ᾽ ἐνδυκέως ἱκέτεω πεφιδήσεται ἀνδρός.’
Ἡ μὲν ἄρ᾽ ὣς εἰποῦσ᾽ ἀπέβη πόδας ὠκέα Ἶρις.
Αὐτὰρ ὅγ᾽ υἷας ἄμαξαν ἐΰτροχον ἡμιονείην
Ὁπλίσαι ἠνώγει, πείρινθα δὲ δῆσαι ἐπ᾽ αὐτῆς· 190
Αὐτὸς δ᾽ ἐς θάλαμον κατεβήσατο κηώεντα,
Κέδρινον, ὑψόροφον, ὃς γλήνεα πολλὰ κεχάνδει,
Ἐς δ᾽ ἄλοχον Ἑκάβην ἐκαλέσσατο, φώνησέν τε·
‘ Δαιμονίη, Διόθεν μοι Ὀλύμπιος ἄγγελος ἦλθε,
‘ Λύσασθαι φίλον υἱὸν, ἰόντ᾽ ἐπὶ νῆας Ἀχαιῶν, 195
‘ Δῶρα δ᾽ Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνῃ.
‘ Ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ, τί τοι φρεσὶν εἴδεται εἶναι;
‘ Αἰνῶς γάρ μ᾽ αὐτόν γε μένος καὶ θυμὸς ἀνώγει
‘ Κεῖσ᾽ ἰέναι ἐπὶ νῆας ἔσω στρατὸν εὐρὺν Ἀχαιῶν.’
Ὣς φάτο· κώκυσεν δὲ γυνὴ, καὶ ἀμείβετο μύθῳ· 200
‘ Ὤ μοι, πῇ δή τοι φρένες οἴχονθ᾽, ἧς τὸ πάρος περ
‘ Ἔκλε᾽ ἐπ᾽ ἀνθρώπους ξείνους, ἠδ᾽ οἷσιν ἀνάσσεις;
‘ Πῶς ἐθέλεις ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἶος,
‘ Ἀνδρὸς ἐς ὀφθαλμοὺς, ὅς τοι πολέας τε καὶ ἐσθλοὺς
‘ Υἱέας ἐξενάριζε; σιδήρειόν νύ τοι ἦτορ· 205
‘ Εἰ γάρ σ᾽ αἱρήσει καὶ ἐσόψεται ὀφθαλμοῖσιν
‘ Ὠμηστὴς καὶ ἄπιστος ἀνὴρ ὅδε, οὔ σ᾽ ἐλεήσει,

189. ΗΜΙ. Πρὸς ἡμιόνων ζεῦξιν ἐπιτηδείαν.

190. ΟΠΛΙ. Κατασκευάσαι, ἑτοιμάσαι. ΠΕΙ. Τὸ ἐπικείμενον τῇ ἁμάξῃ πλινθίον, ἐφ᾽ ᾧ φέρουσι τὰ φορτία· ὃ καὶ ὑποφορτιδίαν καλοῦσιν.

191. ΚΗ. Τεθυμιωμένον, εὐώδη.

192. ΚΕ. Ἐκ κεδρίνων ξύλων ἔχοντα τὴν ὀροφὴν ὑψηλήν. ΓΛΗΝ. Ποικίλης θήκας ἄξια, κόσμια, ἢ χρήματα, κατὰ Ἡλείους· οἱ γὰρ ἀξιοθέατα· γλήνη γὰρ, παρὰ τὸ γλαμυρὸν, ἤτοι δ.ύγρον· ὅθεν Ἀρχέδημος ὁ Γλάμων· καὶ παροιμία· Ἐν τυφλῶν πόλει Γλάμυρος βασιλεύει· ἢ ἀπὸ μέρους εἴρηκε· γλήνας γὰρ πυρίως, τὰ ἀκροκόσμια λέγουσι.

194. ΔΙΟ. Παρὰ τοῦ Διός.

198. ΑΙ. Λίαν, πάνυ.

202. ΕΚΛΕ. Ἐνδόξως ἐφημίζω.

205. ΣΙ. Ἰσχυρὰ ψυχὴ, ἐξ οὗ ἀπηνὴς καὶ σκληρά.

206. ΑΙ. Λήψεται.

207. ΩΜΗ. Ὠμὸς τὸν τρόπον· ἢ τὰ ὠμοφάγα θηρία.

Οὐδέ τί σ' αἰδέσεται· νῦν δὲ κλαίωμεν ἄνευθεν
Ἥμενοι ἐν μεγάρῳ· τῷ δ' ὥς ποθι μοῖρα κραταιὴ
Γεινομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκον αὐτή,
Ἀργίποδας κύνας ἆσαι, ἑῶν ἀπάνευθε τοκήων,
Ἀνδρὶ πάρα κρατερῷ, τοῦ ἐγὼ μέσον ἦπαρ ἔχοιμι
Ἑσθέμεναι προσφῦσα· τότ' ἄντιτα ἔργα γένοιτο
Παιδὸς ἐμοῦ· ἐπεὶ οὔ ἑ κακιζόμενόν γε κατέκτα,
Ἀλλὰ πρὸ Τρώων καὶ Τρωϊάδων βαθυκόλπων
Ἑσταότ', ὅτε φόβου μεμνημένον, ὅτ' ἀλεωρῆς.'
Τὴν δ' αὖτε προσέειπε γέρων Πρίαμος θεοειδής·
Μή μ' ἐθέλοντ' ἱέναι κατερύκανε, μηδέ μοι αὐτὴ
Ὄρνις ἐνὶ μεγάροισι κακὸς πέλευ· οὐδέ με πείσεις.
Εἰ μὲν γάρ τίς μ' ἄλλος ἐπιχθονίων ἐκέλευεν,
Ἢ οἱ μάντεές εἰσι, θυοσκόοι, ἢ ἱερῆες,
Ψεῦδός κεν φαίμεν, καὶ νοσφιζοίμεθα μᾶλλον·
Νῦν δ', αὐτὸς γὰρ ἄκουσα θεοῦ, καὶ ἐσέδρακον ἄντην,
Εἶμι, καὶ οὐχ ἅλιον ἔπος ἔσσεται· εἰ δέ μοι αἶσα
Τεθνάμεναι παρὰ νηυσὶν Ἀχαιῶν χαλκοχιτώνων,
Βούλομαι· αὐτίκα γάρ με κατακτείνειεν Ἀχιλλεύς,
Ἀγκὰς ἑλόντ' ἐμὸν υἱόν, ἐπὴν γόου ἐξ ἔρον εἴην.'
Ἦ, καὶ φωριαμῶν ἐπιθήματα κάλ' ἀνέῳγεν·
Ἔνθεν δώδεκα μὲν περικαλλέας ἔξελε πέπλους,
Δώδεκα δ' ἁπλοΐδας χλαίνας, τόσσους δὲ τάπητας,
Τόσσα δὲ φάρεα καλά, τόσους δ' ἐπὶ τοῖσι χιτῶνας.

211. ΑΡ. Ταχύποδας.
213. ΠΡΟΣ. Προσιλθοῦσα. ΑΝ. Ἀντιτιμώρητα, ἐν μέρει τινὶ τιμωρίαν λαμβάνοντα.
214. ΟΥ. Οὐ διειλῶντα αὐτόν.
219. ΟΡ. Κακὸς οἰωνὸς, καὶ μάντις.
221. ΘΥΟ. Οἱ τὰς θυσίας ἐπιτιλοῦντες, καὶ δι' αὐτῶν μαντευόμενοι· ἢ οἱ λιβανομάντεις. ΙΕ. Θῦται.
222. ΝΟΣ. Ἀποτρεπόμεσθα.
227. ΕΞ. Τὴν ἐπιθυμίαν πληρώσαιμι.
228. ΦΩ. Κιβωτίων. ΕΠΙ. Πώματα. ΑΝΕ. Ἤοιξεν, ἀνέῳγεν.
230. ΑΠΛΟ. Ἁπλᾶς.

Χρυσῆ δὲ ϛήσας ἔφερεν δέκα πάντα τάλαντα·
Ἐκ δὲ δύ' αἴθωνας τρίποδας, πίσυρας δὲ λέβητας,
Ἐκ δὲ δέπας περικαλλὲς, ὅ οἱ Θρῆκες πόρον ἄνδρες
Ἐξεσίην ἐλθόντι, μέγα κτέρας· ἠδέ νυ τῇ περ 235
Φείσατ' ἐνὶ μεγάροις ὁ γέρων· περὶ δ' ἤθελε θυμῷ
Λύσαθαι φίλον υἱόν· ὁ δὲ Τρῶας μὲν ἅπαντας
Αἰθέσης ἀπέεργεν, ἔπεσσ' αἰχροῖσιν ἐνίσσων·
"Ἐρρετε, λωβητῆρες, ἐλεγχέες· οὔ νυ κ' ὑμῖν
Οἶκοι ἔνεϛι γόος, ὅτι μ' ἤλθετε κηδήσοντες; 240
Ἦ ἔνεθ', ὅτι μοι Κρονίδης Ζεὺς ἄλγε' ἔδωκε,
Παῖδ' ὀλέσαι τὸν ἄριϛον; ἀτὰρ γνώσεθε κ' ὔμμες·
Ῥηΐτεροι γὰρ μᾶλλον Ἀχαιοῖσιν δὴ ἔσεθε,
Κείνου τεθνειῶτος, ἐναιρέμεν· αὐτὰρ ἔγωγε,
Πρὶν ἀλαπαζομένην τε πόλιν, κεραϊζομένην τε, 245
Ὀφθαλμοῖσιν ἰδεῖν, βαίην δόμον Ἄϊδος εἴσω.'
Ἦ, κ' σκηπανίῳ δίεπ' ἀνέρας· οἱ δ' ἴσαν ἔξω,
Σπερχομένοιο γέροντος· ὁ δ' υἱάσιν οἷσιν ὁμόκλα,
Νεικείων Ἕλενόν τε, Πάριν τ', Ἀγάθωνά τε δῖον,
Πάμμονά τ', Ἀντίφονόν τε, βοὴν ἀγαθόν τε Πολίτην, 250
Δηΐφοβόν τε, κ' Ἱππόθοον, κ' Δῖον ἀγαυόν.
Ἐννέα τοῖς ὁ γεραιὸς ὁμοκλήσας ἐκέλευε·
"Σπεύσατέ μοι, κακὰ τέκνα, καλήφονες· αἴθ' ἅμα πάντες

232. ΤΑ. Νῦν, χρυσῆ.
235. ΕΞΕ. Κατὰ δημοσίας ἔξοδον προσδοκίας.
238. ΑΙΣ. Χαλεποῖς.
239. ΕΡ. Φθείρεσθε. ΛΩ. Ὑβρισταί. ΕΛΕΓ. Ἐποπτίδιοι.
240. ΚΗ. Πενθήσοντες.
241. ΟΥ. Ἢ ἰφήδεσθέ μοι, καὶ ἐπὶ ταῖς συμφοραῖς εὐφραίνεσθε; ἀπὸ τοῦ ἅναθαι· ἢ ἐκφαυλίζετε κ' μικρὸν ἡγεῖσθε;
245. ΚΕ. Πορθημένην.
247. ΔΙ. Διώκει, ἢ διεξῄει.
248. ΣΠΕΡ. Ἐπειγομένου. ΟΜΟ. Διεκελεύετο μετὰ ὀνείδους.
250. ΠΟ. Νῦν, ὄνομα κύριον.
251. ΔΗΙ. Ἀλεξάνδρῳ τοξευθέντος ὑπὸ Φιλοκτήτου, Πρίαμος τὴν Ἑλένης γάμον ἔπαθλον ἔθηκε τῷ ἀριϛεύσαντι καλὰ τὴν μάχην. Δηΐφοβος δὲ γενναίως ἀγωνισάμενος ἔγημεν αὐτήν· ἡ ἱϛορία παρὰ Λυκόφρονι.
253. ΚΛ. Ἄξιοι καταφρονεῖσθαι.

Ἕκτορος ὠφέλετ' ἀντὶ θοῆς ἐπὶ νηυσὶ πεφάσθαι.
Ὦ μοι ἐγὼ πανάπτμος, ἐπεὶ τέκον υἷας ἀρίστους 255
Τροίῃ ἐν εὐρείῃ, τῶν δ' ὅτινά φημι λελεῖφθαι·
Μήστορά τ' ἀντίθεον, καὶ Τρωΐλον ἱππιοχάρμην,
Ἕκτορά θ', ὃς θεὸς ἔσκε μετ' ἀνδράσιν, οὐδὲ ἐώικει
Ἀνδρός γε θνητοῦ παῖς ἔμμεναι, ἀλλὰ θεοῖο·
Τοὺς μὲν ἀπώλεσ' Ἄρης, τὰ δ' ἐλέγχεα πάντα λέλειπται, 260
Ψευσάμά τ', ὀρχηστά τε, χοροιτυπίῃσιν ἄριστοι,
Ἀρνῶν ἠδ' ἐρίφων ἐπιδήμιοι ἁρπακτῆρες.
Οὐκ ἂν δή μοι ἅμαξαν ἐφοπλίσσαιτε τάχιστα,
Ταῦτά τε πάντ' ἐπιθεῖτε, ἵνα πρήσσωμεν ὁδοῖο;
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πατρὸς ὑποδδείσαντες ὁμοκλὴν 265
Ἐκ μὲν ἄμαξαν ἄειραν ἐύτροχον ἡμιονείην,
Καλὴν, πρωτοπαγῆ· πείρινθα δὲ δῆσαν ἐπ' αὐτῆς,
Κάδδ' ἀπὸ πασσαλόφιν ζυγὸν ἤρεον ἡμιόνειον,
Πύξινον, ὀμφαλόεν τ', εὖ οἰήκεσσιν ἀρηρός·
Ἐκ δ' ἔφερον ζυγόδεσμον ἅμα ζυγῷ ἐννεάπηχυ· 270
Καὶ τὸ μὲν εὖ κατέθηκαν ἐϋξέστῳ ἐπὶ ῥυμῷ,
Πέζῃ ἔπι πρώτῃ, ἐπὶ δὲ κρίκον ἔστορι βάλλον·
Τρὶς δ' ἑκάτερθεν ἔδησαν ἐπ' ὀμφαλόν· αὐτὰρ ἔπειτα
Ἑξείης κατέδησαν, ὑπὸ γλωχῖνα δ' ἕκαμψαν·
Ἐκ θαλάμου δὲ φέροντες ἐϋξέστου ἐπ' ἀπήνης 275

254. ΠΕ. Ἀναιρεῖσθαι.
255. ΠΑ. Παντελῶς δυστυχής.
257. ΙΠ. Ἤτοι ἀφ' ἵππων μαχόμενον, ἢ ἵπποις χαίροντα.
261. ΧΟ. Εἰς χορὸς ἐπιτήδειοι.
262. ΕΠΙ. Τὰ τῶν πολιτῶν ἁρπάζοντες, καὶ ὁ τὰ τῆ πολεμίων.
267. ΠΡΩ. Πρώτως πεπηγεῖσαν, ὅ ἐστιν, ἰσόχως· πρῶτον πεπηγυῖαν, ὅ ἐστι, καινήν· ἔστι γὰρ, τὸ μὲν τάξιως, τὸ δὲ, ποιότητος.
269. ΟΜ. Νῦν, κεκοσμημένον.
272. ΕΠΙ. Ἀντὶ τοῦ, τῷ δὲ ὀκκάβῳ τὸν ἵστορα ἔβαλον. ΕΣΤΟ. Τῷ ἀνειμένῳ πασσάλῳ κατὰ τὸ ῥυμοῦ τὸ ζυγοῦ· τινὲς δὲ γράφουσιν ἕκτορι, οἷον ἰχέτορι.
273. ΟΜ. Ἐπὶ τὸ μέσον τοῦ ζυγοῦ.
274. ΓΛΩ. Τὴν γωνίαν· λέγει δὲ τὸ τέλος ὃ ἱμάντος. ΕΚ. Ἔδησαν, καθῆψαν.
275. ΑΠ. Ἐπὶ ὁ ἁμάξης.

Νήϊον Ἑκτορέης κεφαλῆς ἀπερείσι᾽ ἄποινα·
Ζεῦξαν δ᾽ ἡμιόνους κρατερώνυχας, ἐντεσιεργοὺς,
Τοὺς ῥά ποτε Πριάμῳ Μυσοὶ δόσαν, ἀγλαὰ δῶρα.
Ἵππους δὲ Πριάμῳ ὕπαγον ζυγὸν, οὓς ὁ γεραιὸς
Αὐτὸς ἔχων ἀτίταλλεν ἐϋξέσῳ ἐπὶ φάτνῃ· 280
Τὼ μὲν ζευγνύσθην ἐν δώμασιν ὑψηλοῖσι
Κήρυξ καὶ Πρίαμος, πυκινὰ φρεσὶ μήδε᾽ ἔχοντες.
Ἀγχίμολον δέ σφ᾽ ἦλθ᾽ Ἑκάβη τετιηότι θυμῷ,
Οἶνον ἔχουσ᾽ ἐν χειρὶ μελίφρονα δεξιτερῇφι,
Χρυσέῳ ἐν δέπαϊ, ὄφρα λείψαντε κιοίτην· 285
Στῆ δ᾽ ἵππων προπάροιθεν, ἔπος τ᾽ ἔφατ᾽, ἔκ τ᾽ ὀνόμαζε·
Τῆ, σπεῖσον Διὶ πατρὶ, καὶ εὔχεο οἴκαδ᾽ ἱκέσθαι
Ἀψ ἐκ δυσμενέων ἀνδρῶν· ἐπεὶ ἄρ σέ γε θυμὸς
Ὀτρύνει ἐπὶ νῆας, ἐμεῖο μὲν οὐκ ἐθελούσης.
Ἀλλ᾽ εὔχευ σύγ᾽ ἔπειτα κελαινεφέϊ Κρονίωνι, 290
Ἰδαίῳ, ὅστε Τροίην κατὰ πᾶσαν ὁρᾶται·
Αἴτει δ᾽ οἰωνὸν ταχὺν ἄγγελον, ὅστε οἱ αὐτῷ
Φίλτατος οἰωνῶν, καὶ εὐ κράτος ἐστὶ μέγιστον,
Δεξιόν· ὄφρα μιν αὐτὸς ἐν ὀφθαλμοῖσι νοήσας
Τῷ πίσυνος ἐπὶ νῆας ἴης Δαναῶν ταχυπώλων. 295
Εἰ δέ τοι οὐ δώσει ἑὸν ἄγγελον εὐρυόπα Ζεὺς,
Οὐκ ἂν ἔγωγέ σ᾽ ἔπειτα ἐποτρύνουσα κελοίμην
Νῆας ἐπ᾽ Ἀργείων ἰέναι, μάλα περ μεμαῶτα.
Τὴν δ᾽ ἀπαμειβόμενος προσέφη Πρίαμος θεοειδής·
Ὦ γύναι, οὐ μέν τοι τόδ᾽ ἐφιεμένη ἀπιθήσω· 300

277. ΕΝ. Τοὺς ὑποζυγίους, μὴ ψιλῶς κωτυφόρους, ἀλλὰ τήν τε ἅμαξαν καὶ τὴν πείρινθον ἕλκοντας· ἄπιρ καὶ ἔντεα φησί.

278. ΜΥ. Ἔθνος βάρβαρον.

279. ΥΠΑ. Ὑπὸ τὸ ζυγὸν ἤγον.

283. ΑΓ. Νῦν, μετ᾽ ὀλίγον.

287. ΤΗ. Δέξαι, λάβε.

292. ΟΙ. Ὄρνιν.

293. ΕΥ. Ὃς ἰσχυρότατός ἐστι τῶν λοιπῶν ὀρνίθων.

296. ΕΟΝ. Ἀγαθὸν, ἴδιον.

300. ΕΦΙ. Ἐντελλομένη, ἢ ὑποτιθεμένη.

'Εθλὸν γὰρ Διὶ χεῖρας ἀναχέομεν, αἴ κ' ἐλεήσῃ.'
Ἦ ῥα, καὶ ἀμφίπολον ταμίην ὤτρυν' ὁ γεραιὸς
Χερσὶν ὕδωρ ἐπιχεῦαι ἀκήρατον· ἡ δὲ παρέστη
Χέρνιβον ἀμφίπολος, πρόχοόν θ' ἅμα, χερσὶν ἔχουσα.
Νιψάμενος δὲ κύπελλον ἐδέξατο ἧς ἀλόχοιο· 305
Εὔχετ' ἔπειτα σὰς μέσῳ ἕρκεϊ, λεῖβε δὲ οἶνον,
Οὐρανὸν εἰσανιδών· καὶ φωνήσας ἔπος ηὔδα·
'Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε, μέγιστε,
'Δός μ' ἐς Ἀχιλλῆος φίλον ἐλθεῖν, ἠδ' ἐλεεινόν·
'Πέμψον δ' οἰωνὸν ταχὺν ἄγγελον, ὅστε σοὶ αὐτῷ 310
'Φίλτατος οἰωνῶν, καὶ εὐ κράτος ἐστὶ μέγιστον,
'Δεξιόν· ὄφρα μιν αὐτὸς ἐν ὀφθαλμοῖσι νοήσας
'Τῷ πίσυνος ἐπὶ νῆας ἴω Δαναῶν ταχυπώλων.'
Ὣς ἔφατ' εὐχόμενος, τοῦ δ' ἔκλυε μητιέτα Ζεύς·
Αὐτίκα δ' αἰετὸν ἦκε, τελειότατον πετεηνῶν, 315
Μόρφνον, θηρητῆρ', ὃν καὶ περκνὸν καλέουσιν.
Ὅσση δ' ὑψορόφοιο θύρη θαλάμοιο τέτυκται
Ἀνέρος ἀφνειοῖο, ἐϋκλῆϊς, ἀραρυῖα·
Τόσσ' ἄρα τοῦ ἑκάτερθεν ἔσαν πτερά· εἵσατο δὲ σφιν
Δεξιὸς αἰζῆας ὑπὲρ ἄσεος· οἱ δὲ ἰδόντες 320
Γήθησαν, καὶ πᾶσαν ἐνὶ φρεσὶ θυμὸς ἰάνθη.
Σπερχόμενος δ' ὁ γέρων ξεστοῦ ἐπεβήσατο δίφρου

302. ΤΑ. Πρεσβύτου.
303. ΑΚΗ. Ἀδιάφθορον.
304. ΧΕΡ. Νῦν, τὸ ἀγχοῦν, τὸ ὑποδιεχόμενον τὸ ταῖς χερσὶν ἐπιβαλλόμενον ὕδωρ, ὃ καὶ λέβητά φησι. ΠΡΟ. Τὸν παρ' ἡμῖν καλούμενον, ξίστον.
306. ΕΡ. Νῦν, περιβολαίῳ, περιφράγματι.
309. ΕΛΕ. Ἐλέου ἄξιον.
315. ΤΕ. Νῦν, ἐπιτελεστατόν.
316. ΜΟΡ. Ἤτοι, περὶ φόνους μεμαρτυρότα, ἢ φόνου· ἢ μέλαινα· ἢ ἄρπαγα· οἱ δὲ, αὐτοῦ εἶδος. ΠΕΡΚ. Τὸν αὐτὸν τῷ περκνοῦντι, μέλαιναν· ἀφ' οὗ καὶ τὸν μελανόμενον καρπὸν περκάζειν λέγομεν.
317. ΤΥ. Ὑψηλοστέγου, ὑψηλοῦ.
318. ΕΥ. Εὖ τοῖς κλεισὶν ἠρμοσμένη, ἀσφαλής· δίκαστον καὶ ἐφ' ὅν· ὦ ἢ εὔπλειστος.
319. ΕΙ. Ἐφάνη, ἄρτιον.
322. ΣΠΕΡ. Σεσείσθη.

Ἐκ δ' ἔλασε προθύροιο καὶ αἰθούσης ἐριδούπου.
Πρόσθε μὲν ἡμίονοι ἕλκον τετράκυκλον ἀπήνην,
Τὰς Ἰδαῖος ἔλαυνε δαΐφρων· αὐτὰρ ὄπισθεν 325
Ἵπποι, τοὺς ὁ γέρων ἐφέπων μάστιγι κέλευε
Καρπαλίμως κατὰ ἄστυ· φίλοι δ' ἅμα πάντες ἕποντο,
Πόλλ' ὀλοφυρόμενοι, ὡσεὶ θάνατόνδε κιόντα.
Οἱ δ' ἐπεὶ οὖν πόλιος κατέβαν, πεδίον δ' ἀφίκοντο,
Οἱ μὲν ἄρ' ἄψορροι προτὶ Ἴλιον ἀπονέοντο, 330
Παῖδες καὶ γαμβροί· τὼ δ' οὐ λάθον εὐρύοπα Ζῆν',
Ἐς πεδίον προφανέντε· ἰδὼν δ' ἐλέησε γέροντα.
Αἶψα δ' ἄρ' Ἑρμείαν, υἱὸν φίλον, ἀντίον ηὔδα·
'Ἑρμεία, σοὶ γάρ τε μάλιστά γε φίλτατόν ἐστιν
'Ἀνδρὶ ἑταιρίσσαι, καί τ' ἔκλυες, ᾧ κ' ἐθέλῃθα, 335
'Βάσκ' ἴθι, καὶ Πρίαμον κοίλας ἐπὶ νῆας Ἀχαιῶν
'Ὡς ἄγαγ', ὡς μήτ' ἄρ τις ἴδῃ, μήτ' ἄρ τε νοήσῃ
'Τῶν ἄλλων Δαναῶν, πρὶν Πηλεϊωνάδ' ἱκέσθαι.'
Ὡς ἔφατ'· ὀδ' ἀπίθησε διάκτορος Ἀργειφόντης·
Αὐτίκ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα, 340
Ἀμβρόσια, χρύσεια, τά μιν φέρον ἠμὲν ἐφ' ὑγρὴν,
Ἠδ' ἐπ' ἀπείρονα γαῖαν, ἅμα πνοιῇς ἀνέμοιο·
Εἵλετο δὲ ῥάβδον, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει,
Ὧν ἐθέλει, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει·
Τὴν μετὰ χερσὶν ἔχων πέτετο κρατὺς Ἀργειφόντης. 345
Αἶψα δ' ἄρα Τροίην τε καὶ Ἑλλήσποντον ἵκανε·
Βῆ δ' ἰέναι, κούρῳ αἰσυμνητῆρι ἐοικώς,

323. ΕΡΙ. Μεγαλόηχε.
324. ΤΕ. Τετράτροχον. ΑΠΗ. Ἅμαξαν.
326. ΕΦΕ. Ἐπακολουθῶν, ἐπιδιώκων.
335. ΕΤΑΙ. Ἑταίρῳ βοηθῆσαι.
342. ΑΠΕΙ. Μεγάλην, ἢ κυκλοτερῆ.
343. ΘΕΛ. Πρὸς ὃ θέλει, ἀμαυροῖ.
347. ΑΙ. Βασιλικῷ νέῳ· οἱ δὲ, ἀντὶ τοῦ ἐντίμῳ, τηροῦντι τὰ αἴσια, ὅ ἐστι, τὰ δίκαια.

Πρῶτον ὑπηνήτῃ, τοῦ περ χαριεστάτη ἥβη.
Οἱ δ' ἐπεὶ ὃν μέγα σῆμα παρὲξ Ἴλοιο ἔλασσαν,
Στῆσαν ἄρ' ἡμιόνους τε καὶ ἵππους, ὄφρα πίοιεν, 350
Ἐν ποταμῷ· δὴ γὰρ καὶ ἐπὶ κνέφας ἤλυθε γαῖαν·
Τὸν δ' ἐξ ἀγχιμόλοιο ἰδὼν ἐφράσσατο κήρυξ
Ἑρμείαν, πρὸς δὲ Πρίαμον φάτο, φώνησέν τε·
'Φράζεο, Δαρδανίδη· φραδέος νόου ἔργα τέτυκται·
'Ἄνδρ' ὁρόω, τάχα δ' ἄμμε διαρράισεσθαι ὀΐω. 355
'Ἀλλ' ἄγε δὴ φεύγωμεν ἐφ' ἵππων· ἤ μιν ἔπειτα
'Γούνων ἁψάμενοι λιτανεύσομεν, αἴ κ' ἐλεήσῃ.'
Ὣς φάτο· σὺν δὲ γέροντι νόος χύτο, δείδιε δ' αἰνῶς·
Ὀρθαὶ δὲ τρίχες ἔσαν ἐνὶ γναμπτοῖσι μέλεσσι·
Στῆ δὲ ταφών· αὐτὸν δ' Ἐριούνιος ἐγγύθεν ἐλθὼν, 360
Χεῖρα γέροντος ἑλὼν, ἐξείρετο καὶ προσέειπε·
'Πῇ, πάτερ, ὧδ' ἵππους τε καὶ ἡμιόνους ἰθύνεις
'Νύκτα δι' ἀμβροσίην, ὅτε θ' εὕδουσι βροτοὶ ἄλλοι;
'Οὐδὲ σύγ' ἔδδεισας μένεα πνείοντας Ἀχαιοὺς,
'Οἵ τοι δυσμενέες καὶ ἀνάρσιοι ἐγγὺς ἔασιν; 365
'Τῶν εἴ τίς σε ἴδοιτο, θοὴν διὰ νύκτα μέλαιναν,
'Τοσσάδ' ὀνείατ' ἄγοντα, τίς ἂν δή τοι νόος εἴη;
'Οὔτ' αὐτὸς νέος ἐσσὶ, γέρων δέ τοι ὄτος ὀπηδεῖ,
'Ἄνδρ' ἀπαμύναιθαι, ὅτε τις πρότερος χαλεπήνῃ·

348. ΠΡΩ. Ἀρχομένῳ γενειάζειν· ὑπήνας δὲ καλοῦντες αἱ τρίχες, αἱ περὶ τὰ χείλη· ὁ μύραξ ἄρτι φυόμενος· οἱ δὲ κοινῶς εἶπον τὸ γένειον. ΧΑ. Ὡραία ἀκμή.

349. ΣΗ. Παρήλασαν τὸν Ἴλου τόπον, ἢ τάφον.

352. ΑΓ. Ἐκ δὲ συνίγγυς.

354. ΦΡΑ. Συνετοῦ νοῦ, καὶ ἄριστα βουλεύεσθαι δυναμένου, ὁ παρὼν καιρὸς δεῖται.

355. ΔΙ. Διαφθαρήσεσθαι.

358. ΣΥΝ. Τὸ ἐξῆς, συνεχύθη αὐτοῦ ὁ νοῦς.

359. ΟΡ. Ἀντὶ τοῦ, ἔφριξαν.

360. ΤΑ. Ἐκπλαγείς. ΕΡΙ. Μεγαλωφελής.

362. ΙΟΥ. Ἐπ' εὐθείας ἐλαύνεις.

365. ΑΝΑΡ. Ἄδικοι ἐχθροί.

369. ΑΠΑ. Ἀποκωλύσαι, ἀπαλλάξαι. ΧΑ. Κακώσει, ἢ ἀδικήσει.

'Αλλ' ἐγὼ ἠδέν σε ῥέζω κακὸν, ἠδέ κεν ἄλλον 370
Σεῦ ἀπαλεξήσαιμι· φίλῳ δέ σε πατρὶ ἐΐσκω.'
Τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
Οὕτω πῃ τάδε γ' ἐστὶ, φίλον τέκος, ὡς ἀγορεύεις·
'Αλλ' ἔτι τις καὶ ἐμεῖο θεῶν ὑπερέοχεθε χείρα,
Ὅς μοι τοιόνδ' ἧκεν ὁδοιπόρον ἀντιβολῆσαι, 375
Αἴσιον, οἷος δὴ σὺ δέμας καὶ εἶδος ἀγητὸς,
Πέπνυσαί τε νόῳ, μακάρων δ' ἔξ ἐσσι τοκήων.'
Τὸν δ' αὖτε προσέειπε διάκτορος Ἀργειφόντης·
Ναὶ δὴ ταῦτά γε πάντα, γέρον, κατὰ μοῖραν ἔειπας·
'Αλλ' ἄγε μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον, 380
Ἦέ πῃ ἐκπέμπεις κειμήλια πολλὰ καὶ ἐσθλὰ
Ἄνδρας ἐς ἀλλοδαπὸς, ἵνα περ τάδε τοι σόα μίμνῃ;
Ἦ ἤδη πάντες καταλείπετε Ἴλιον ἱρὴν
Δειδιότες; τοῖος γὰρ ἀνὴρ ὤριστος ὄλωλε
Σὸς παῖς· οὐ μὲν γάρ τι μάχης ἐπεδεύετ' Ἀχαιῶν.' 385
Τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
Τίς δὲ σύ ἐσσι, φέριστε, τέων δ' ἔξ ἐσσι τοκήων,
Ὅς μοι καλὰ τὸν οἶτον ἀπότμου παιδὸς ἔνισπες;
Τὸν δ' αὖτε προσέειπε διάκτορος Ἀργειφόντης·
Πειρᾷ ἐμεῖο, γεραιὲ, καὶ εἴρεαι Ἕκτορα δῖον· 390
Τὸν μὲν ἐγὼ μάλα πολλὰ μάχῃ ἔνι κυδιανείρῃ
Ὀφθαλμοῖσιν ὄπωπα, καὶ εὖτ' ἐπὶ νηυσὶν ἐλάσσας
Ἀργείους κτείνεσκε, δαΐζων ὀξέϊ χαλκῷ·
Ἡμεῖς δ' ἑστάοτες θαυμάζομεν· οὐ γὰρ Ἀχιλλεὺς

370. ΟΥ. Νῦν, ἠδαμῶς.
371. ΑΠΑ. Ἀποστρέψαιμι, βοηθήσαιμι.
375. ΟΔΟΙ. Σύνοδον.
376. ΑΙ. Δεξιὸν, δίκαιον. ΑΓΗ. Θαυμαστός.
377. ΠΕΠ. Συνετὸς; εἶ, πεπαίδευσαι.
387. ΤΕ. Τίνων;
388. ΟΙ. Μόρον. ΑΠΟΤ. Πολυπότμου, δυστυχοῦς.
390. ΠΕΙ. Πειράζεις με, ὦ γέρον.
391. ΚΥ. Ἐν ᾗ δοξάζονται οἱ ἄνδρες.

Εἶα μάρναθαι, κεχολωμένος Ἀτρείωνι. 395
Τῷ γὰρ ἐγὼ θεράπων, μία δ' ἤγαγε νηῦς εὐεργής·
Μυρμιδόνων δ' ἐξ εἰμι· πατὴρ δέ μοί ἐστι Πολύκτωρ·
Ἀφνειὸς μὲν ὅδ' ἐστὶ, γέρων δὲ δὴ, ὡς σύ περ ὧδε·
Ἑξ δέ οἱ υἷες ἔασιν, ἐγὼ δέ τοι ἕβδομός εἰμι·
Τῶν μέτα παλλόμενος, κλήρῳ λάχον ἐνθάδ' ἕπεσθαι· 400
Νῦν δ' ἦλθον πεδίονδ' ἀπὸ νηῶν· ἠῶθεν γὰρ
Θήσονται περὶ ἄστυ μάχην ἐλίκωπες Ἀχαιοί.
Ἀχαλόωσι γὰρ οἵγε καθήμενοι, ὐδὲ δύνανται
Ἰφθιν ἐσσυμένως πολέμου βασιλῆες Ἀχαιῶν.
Τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής· 405
Εἰ μὲν δὴ θεράπων Πηληϊάδεω Ἀχιλῆος
Εἶς, ἄγε δή μοι πᾶσαν ἀληθείην κατάλεξον,
Ἦ ἔτι παρ νήεσσιν ἐμὸς παῖς, ἠέ μιν ἤδη
Ἤσι κυσὶν μελεΐστι τεταμὼν πρὸς θῆκεν Ἀχιλλεύς.
Τὸν δ' αὖτε προσέειπε διάκτορος Ἀργειφόντης· 410
Ὦ γέρον, ὔπω τόνδε κύνες φάγον, ὐδ' οἰωνοί·
Ἀλλ' ἔτι κεῖνος κεῖται Ἀχιλλῆος παρὰ νηῒ
Αὔτως ἐν κλισίῃσι· δυωδεκάτη δέ οἱ ἠὼς
Κειμένῳ, ὐδέ τί οἱ χρὼς σήπεται, ὐδέ μιν εὐλαὶ
Ἔδουσ', αἵ ῥά τε φῶτας ἀρηϊφάτους κατέδουσιν. 415
Ἦ μέν μιν περὶ σῆμα ἑοῦ ἑτάροιο φίλοιο
Ἕλκει ἀκηδέως, ἠὼς ὅτε δῖα φανείη·

396. ΜΙΑ. Ἑταῖρον καὶ φίλον ἑαυτὸν βούλεται συνῆσαι Ἀχιλλεῖ ὁ Ἑρμῆς πρὸς πλείστα πίστιν· οἱ γὰρ τοιοῦτοι μιᾶς νυὸς ἐπιβαίνουσιν.

400. ΜΕ. Μετ' αὐτῶν κληρούμενος· παλοὶ γὰρ, οἱ κλῆροι.

403. ΑΣ. Δυσακαχετοῦσι, λυποῦνται.

404. ΙΣ. Ἐπίχειν, κωλύσαι.

409. ΜΕ. Κατὰ μίλος.

413. ΑΥ. Ματαίως, ἀνεπιμελήτως ἐν τῇ σκηνῇ.

414. ΕΥ. Σκύλακες.

415. ΑΡΗ. Τοὺς ἐν πολέμῳ ἀκηρεμίους, ἢ ὑπὸ ξίφους· ἄρης γὰρ, ὁ σίδηρος.

417. ΑΚΗ. Ἀφροντίστως, ἀ πολεμικῶς, ἀλλ' ὑβριστικῶς.

Οὐδέ μιν αἰσχύνει· θειοῖό κεν αὐτὸς ἐπελθὼν,
Οἷον ἐερσήεις κεῖται, περὶ δ' αἷμα νένιπται,
Οὐδέ ποθι μιαρός· σὺν δ' ἕλκεα πάντα μέμυκεν, 420
Ὅσσ' ἐτύπη· πολέες γὰρ ἐπ' αὐτῷ χαλκὸν ἔλασσαν·
Ὡς τοι κήδονται μάκαρες θεοὶ υἷος ἑῆος,
Καὶ νέκυός περ ἐόντος· ἐπεί σφι φίλος περὶ κῆρι.
Ὡς φάτο· γήθησεν δ' ὁ γέρων, καὶ ἀμείβετο μύθῳ·
Ὦ τέκος, ἦ ῥ' ἀγαθὸν καὶ ἐναίσιμα δῶρα διδῦναι 425
Ἀθανάτοις· ἐπεὶ ἄμμε ποτ' ἐμὸς παῖς, εἴπερ ἔην γε,
Λήθετ' ἐνὶ μεγάροισι θεῶν, οἳ Ὄλυμπον ἔχουσι·
Τῷ οἱ ἀπεμνήσαντο καὶ ἐν θανάτοιό περ αἴσῃ.
Ἀλλ' ἄγε δὴ τόδε δέξαι ἐμεῦ πάρα καλὸν ἄλεισον·
Αὐτόν τε ῥύσαι, πέμψον δέ με, σύν γε θεοῖσιν, 430
Ὄφρα κεν ἐς κλισίην Πηληϊάδεω ἀφίκωμαι.
Τὸν δ' αὖτε προσέειπε διάκτορος Ἀργειφόντης·
Πειρᾶς ἐμεῖο, γεραιὲ, νεωτέρου, ἠδέ με πείσεις·
Ὃς με κέλῃ σέο δῶρα παρεξ Ἀχιλῆα δέχεσθαι·
Τὸν μὲν ἐγὼ δείδοικα, καὶ αἰδέομαι περὶ κῆρι 435
Συλεύειν, μή μοί τι κακὸν μετόπισθε γένηται.
Σοὶ δ' ἂν ἐγὼ πομπὸς καί κε κλυτὸν Ἄργος ἱκοίμην,
Ἐνδυκέως ἐν νηῒ θοῇ, ἢ πεζὸς ὁμαρτέων·
Οὐκ ἄν τίς τοι, πομπὸν ὀνησσάμενος, μαχέσαιτο.

418. ΑΙΣ. Αἰκίζει. ΘΕΙ. Θαυμάσειας ἄν.
419. ΕΕΡ. Κάθυγρος, μιαρός.
420. ΜΙΑ. Μιμιασμένος. ΜΕ. Συμμέμυκεν.
421. ΕΤΥ. Ἐκ χειρὸς ἐτρώθη.
425. ΕΝΑΙ. Καθήκοντα. ΔΙ. Δῦναι.
426. ΕΙ. Ἕως περ ἦν.
428. ΑΠΕΜ. Ἐπιμνημόνευσαν. ΑΙ. Εἱμαρμένῃ.
429. ΑΛΕΙ. Ποτήριον· κυρίως δὲ, τὸ τετορνευμένον.
430. ΣΥΝ. Εἰ οἱ θεοὶ μὴ ἀντιπράττοιεν, ἀλλὰ βοηθοῖεν.
433. ΠΕΙ. Πειράζεις.
434. ΚΕ. Κελεύεις.
436. ΣΥ. Συλᾶν, γυμνοῦν.
438. ΟΜΑΡ. Συντυχὼν, ἀκολουθῶν.
439. ΟΝΟ. Οὐκ ἀναμαχεσθῇ καταφρονήσας ἐμοῦ παραπέμποντος. ΟΝΟΣ. Καταφρονήσας.

Ἦ, καὶ ἐπαΐξας Ἐριήνιος ἅρμα καὶ ἵππους 440
Καρπαλίμως μάστιγα καὶ ἡνία λάζετο χερσίν·
Ἐν δ' ἔπνευσ' ἵπποισι καὶ ἡμιόνοις μένος ἠΰ.
Ἀλλ' ὅτε δὴ πύργοις τε νεῶν καὶ τάφρον ἵκοντο,
Οἱ δὲ νέον περὶ δόρπα φυλακτῆρες πονέοντο·
Τοῖσι δ' ἐφ' ὕπνον ἔχευε διάκτορος Ἀργειφόντης 445
Πᾶσιν· ἄφαρ δ' ὤϊξε πύλας, καὶ ἀπῶσεν ὀχῆας,
Ἐς δ' ἄγαγε Πρίαμόν τε καὶ ἀγλαὰ δῶρ' ἐπ' ἀπήνης.
Ἀλλ' ὅτε δὴ κλισίην Πηληϊάδεω ἀφίκοντο
Ὑψηλὴν, τὴν Μυρμιδόνες ποίησαν ἄνακτι,
Δῶρ' ἐλάτης κέρσαντες· ἀτὰρ καθύπερθεν ἔρεψαν 450
Λαχνήεντ' ὄροφον, λειμωνόθεν ἀμήσαντες·
Ἀμφὶ δέ οἱ μεγάλην αὐλὴν ποίησαν ἄνακτι
Σταυροῖσιν πυκινοῖσι· θύρην δ' ἔχε μοῦνος ἐπιβλὴς
Εἰλάτινος, τὸν τρεῖς μὲν ἐπιῤῥήσσεσκον Ἀχαιοὶ,
Τρεῖς δ' ἀναοίγεσκον μεγάλην κληῖδα θυράων, 455
Τῶν ἄλλων· Ἀχιλεὺς δ' ἄρ' ἐπιῤῥήσσεσκε καὶ οἶος.
Δή ῥα τόθ' Ἑρμείας ἐριήνιος ᾤξε γέροντι,
Ἐς δ' ἄγαγε κλυτὰ δῶρα ποδώκεϊ Πηλείωνι,
Ἐξ ἵππων δ' ἀπέβαινεν ἐπὶ χθονὶ, φώνησέν τε·
«Ὦ γέρον, ἤτοι ἐγὼ θεὸς ἄμβροτος εἰλήλουθα 460
«Ἑρμείας· σοὶ γάρ με πατὴρ ἅμα πομπὸν ὄπασσεν·
«Ἀλλ' ἤτοι μὲν ἐγὼ πάλιν εἴσομαι, οὐδὲ Ἀχιλῆος

444. ΔΟΡ. Δεῖπνα.
446. ΑΠΩ. Ἀπώσατο. ΟΧΗ. Μοχλούς.
450. ΔΟΥ. Νῦν, ξύλα. ΚΕΡ. Περικοψάμενος, ῥίσαντες. ΕΡΕ. Ἐστέγασαν.
451. ΔΑΧ. Τὸν δασύν· λέγει δὲ τὴν ἀπὸ τῆς καλάμης ὕλην, καὶ τὰ τούτων κόμης· ὄροφος γὰρ, εἶδος καλάμου, πρὸς ὀροφὴν ἐπιτηδείου. ΛΕΙ. Ἐκ λειμῶνος θερίσαντες.
453. ΣΤΑΥ. Ὀξέσι ξύλοις, σκόλοψι. ΘΥ. Αὐτὸ τὸ σῶμά φησιν, ὃ ἐπεῖχεν ὁ ἐπιβλὴς μοχλός· τὴν δὲ θύραν μονόθυρον χρὴ νοεῖν. ΕΠΙ. Ὁ τῇ θύρᾳ ἐπιβαλλόμενος μοχλός.
454. ΕΙ. Ἐλάτη, εἶδος δένδρου.
456. ΕΠΙΡ. Ἐπέβαλλεν, ἐπέκρουεν, ἢ μετετίθετο.
460. ΑΜ. Ὁ μὴ βροτὸς, οἷος θεὸς ἄφθαρτος.

‘ Ὀφθαλμοὺς εἴσειμι· νεμεσσητὸν δέ κεν εἴη,
‘ Ἀθάνατον θεὸν ὧδε βροτοὺς ἀγαπαζέμεν ἄντην.
‘ Τύνη δ᾽ εἰσελθὼν λάβε γούνατα Πηλείωνος, 465
‘ Καί μιν ὑπὲρ πατρὸς καὶ μητέρος ἠϋκόμοιο
‘ Λίσσεο, καὶ τέκεος· ἵνα οἱ σὺν θυμὸν ὀρίνῃς.’
Ὣς ἄρα φωνήσας ἀπέβη πρὸς μακρὸν Ὄλυμπον
Ἑρμείας· Πρίαμος δ᾽ ἐξ ἵππων ἆλτο χαμᾶζε,
Ἰδαῖον δὲ κατ᾽ αὖθι λίπεν· ὁ δὲ μίμνεν ἐρύκων 470
Ἵππους ἡμιόνους τε· γέρων δ᾽ ἰθὺς κίεν οἴκου,
Τῇ ῥ᾽ Ἀχιλεὺς ἵζεσκε, Διὶ φίλος· ἐν δέ μιν αὐτὸν
Εὗρ᾽· ἕταροι δ᾽ ἀπάνευθε καθείατο· τῷ δὲ δύ᾽ οἴω,
Ἥρως Αὐτομέδων τε, καὶ Ἄλκιμος ὄζος Ἄρηος,
Ποίπνυον παρεόντε· νέον δ᾽ ἀπέληγεν ἐδωδῆς 475
Ἔδων καὶ πίνων, ἔτι καὶ παρέκειτο τράπεζα.
Τοὺς δ᾽ ἔλαθ᾽ εἰσελθὼν Πρίαμος μέγας, ἄγχι δ᾽ ἄρα τοῦ
Χερσὶν Ἀχιλλῆος λάβε γούνατα, καὶ κύσε χεῖρας
Δεινὰς, ἀνδροφόνους, αἳ οἱ πολέας κτάνον υἷας.
Ὡς δ᾽ ὅταν ἄνδρ᾽ ἄτη πυκινὴ λάβῃ, ὅς τ᾽ ἐνὶ πάτρῃ 480
Φῶτα κατακτείνας ἄλλον ἐξίκετο δῆμον,
Ἀνδρὸς ἐς ἀφνειοῦ, θάμβος δ᾽ ἔχει εἰσορόωντας·
Ὡς Ἀχιλεὺς θάμβησεν, ἰδὼν Πρίαμον θεοειδέα·
Θάμβησαν δὲ καὶ ἄλλοι, ἐς ἀλλήλους δὲ ἴδοντο.
Τὸν καὶ λισσόμενος Πρίαμος πρὸς μῦθον ἔειπε· 485
‘ Μνῆσαι πατρὸς σοῖο, θεοῖς ἐπιείκελ᾽ Ἀχιλλεῦ,

463. ΟΦ. Εἰς τοὺς ὀφθαλμοὺς εἰσέρχομαι.
464. ΑΓΑ. Ἀγαπᾷν.
475. ΕΔΩ. Τροφῆς.
476. ΕΤΙ. Φασὶ γὰρ τοῖς παλαιοῖς μὴ ὅλως αἴρεσθαι τὴν τράπεζαν, χωρὶς εἰ μὴ διὰ τὴν Πατρόκλου λύπην.
478. ΚΥ. Ἐφίλησεν.
480. ΩΣ. Καὶ τὰ ἑξῆς. Ἔθος ἦν παρὰ τοῖς παλαιοῖς τὸν ἀκούσιον φόνον ἐργασάμενον φεύγειν ἐκ τῆς πατρίδος, καὶ παραγίγνεσθαι εἴς τινος οἰκίαν ἀνδρὸς πλουσίου, καὶ καθίζειν ἐπὶ τῆς οἰκίας συγκεκαλυμμένον, καθαρσίων δεόμενον.

Τηλίκυ, ὥσπερ ἐγὼν, ὀλοῷ ἐπὶ γήραος ἀδῷ.
Καὶ μέν πυ κεῖνον περιναιέται ἀμφὶς ἐόντες
Τείρυσ', ἀδέ τίς ἐςιν ἀρὴν καὶ λοιγὸν ἀμῦναι·
Ἀλλ' ἤτοι κεῖνός γε, σέθεν ζώοντος ἀκούων, 490
Χαίρει τ' ἐν θυμῷ, ἐπί τ' ἔλπεται ἤματα πάντα
Ὄψεσθαι φίλον υἱὸν, ἀπὸ Τροίηθεν ἰόντα·
Αὐτὰρ ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷας ἀρίςους
Τροίῃ ἐν εὐρείῃ, τῶν δ' ὅτινά φημι λελεῖφθαι.
Πεντήκοντά μοι ἦσαν, ὅτ' ἤλυθον υἷες Ἀχαιῶν· 495
Ἐννεακαίδεκα μέν μοι ἴης ἐκ νηδύος ἦσαν,
Τοὺς δ' ἄλλους μοι ἔτικτον ἐνὶ μεγάροισι γυναῖκες.
Τῶν μὲν πολλῶν θοῦρος Ἄρης ὑπὸ γούνατ' ἔλυσεν·
Ὃς δέ μοι οἶος ἔην, εἴρυτο δὲ ἄςυ καὶ αὐτοὺς,
Τὸν σὺ πρώην κτείνας, ἀμυνόμενον περὶ πάτρης, 500
Ἕκτορα· τοῦ νῦν εἵνεκ' ἱκάνω νῆας Ἀχαιῶν,
Λυσόμενος παρὰ σεῖο, φέρω δ' ἀπερείσι' ἄποινα.
Ἀλλ' αἰδεῖο θεοὺς, Ἀχιλεῦ, αὐτόν τ' ἐλέησον,
Μνησάμενος σοῦ πατρός· ἐγὼ δ' ἐλεεινότερός περ
Ἔτλην δ', οἷ' ὄπω τις ἐπιχθόνιος βροτὸς ἄλλος, 505
Ἀνδρὸς παιδοφόνοιο ποτὶ ςόμα χεῖρ' ὀρέγεσθαι.
Ὣς φάτο· τῷ δ' ἄρα πατρὸς ὑφ' ἵμερον ὦρσε γόοιο,
Ἁψάμενος δ' ἄρα χειρὸς, ἀπώσατο ἦκα γέροντα.
Τὼ δὲ μνησαμένω, ὁ μὲν Ἕκτορος ἀνδροφόνοιο,
Κλαῖ' ἀδινὰ, προπάροιθε ποδῶν Ἀχιλῆος ἑλυθείς· 510
Αὐτὰρ Ἀχιλλεὺς κλαῖεν ἑὸν πατέρ', ἄλλοτε δ' αὖτε

487. ΤΗ. Τοιαύτην ἡλικίαν ἔχοντος.
488. ΑΜ. Περὶ αὐτὸν οἰκοῦντες.
489. ΑΡΗΝ. Νῦν, βλάβην.
491. ΕΛΠ. Ἐπεὶ ἐλπίζεται.
496. ΙΗΣ. Μιᾶς. ΝΗ. Γαστρός.
500. ΑΜΥ. Βοηθοῦντα.
503. ΑΙ. Αἰδοῦ.
506. ΑΝ. Τοῦ φονέως μιν τὸ παιδὸν τὰς χεῖρας προσάγειν τῷ ςόματι καὶ φιλεῖν.
507. ΥΦ. Ἐπιθυμίαν θρήνου ἐνέβαλεν.
510. ΕΛΥ. Εἰλυθείς.

Πάτροκλον· τῶν δὲ ϛοναχὴ κατὰ δῶματ' ὀρώρει.
Αὐτὰρ ἐπεί ῥα γόοιο τετάρπετο δῖος Ἀχιλλεὺς,
Καί οἱ ἀπὸ ϖραπίδων ἦλθ' ἵμερος, ἠδ' ἀπὸ γυίων,
Αὐτίκ' ἀπὸ θρόνυ ὦρτο, γέροντα δὲ χειρὸς ἀνίϛη, 515
Οἰκτείρων ϖολιόν τε κάρη, ϖολιόν τε γένειον·
Καί μιν φωνήσας ἔπεα ϖτεροέντα ϖροσηύδα·
Ἆ δεῖλ', ἦ δὴ ϖολλὰ κάκ' ἄνοχεο σὸν κατὰ θυμόν.
Πῶς ἔτλης ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἶος,
Ἀνδρὸς ἐς ὀφθαλμὺς, ὅς τοι ϖολέας τε καὶ ἐσθλὺς 520
Τέκας ἐξεναρίζα; σιδήρειόν νύ τοι ἦτορ.
Ἀλλ' ἄγε δὴ κατ' ἄρ' ἕζευ ἐπὶ θρόνυ· ἄλγεα δ' ἔμπης
Ἐν θυμῷ κατακεῖσθαι ἐάσομεν, ἀχνύμενοί περ·
Οὐ γάρ τις ϖρῆξις ϖέλεται κρυεροῖο γόοιο.
Ὡς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι, 525
Ζώειν ἀχνυμένυς· αὐτοὶ δέ τ' ἀκηδέες εἰσί.
Δοιοὶ γάρ τε ϖίθοι κατακείαται ἐν Διὸς οὔδει
Δώρων, οἷα δίδωσι, κακῶν, ἕτερος δὲ ἑάων·
ὯΙ μὲν καμμίξας δώῃ Ζεὺς τερπικέραυνος,
Ἄλλοτε μέν τε κακῷ ὅγε κύρεται, ἄλλοτε δ' ἐσθλῷ· 530
ὯΙ δέ κε τῶν λυγρῶν δώῃ, λωβητὸν ἔθηκε,

513. ΤΕ. Ἐτέρφθη.
524. ΚΡΥ. Δεινῦ, φρικτῦ.
526. ΑΚΗ. Ἄλυτοι.
527. ΔΟΙ. Εἰς παραμυθίαν Πριάμυ ὁ ποιητὴς εἰσήγαγε τὸ Ἀχιλλέα λέγοντα ταῦτα· ἐπεί τοι μόνων ἀγαθῶν δωρητικὺς ἐπίϛαται Ὅμηρος τὺς θεὺς, λέγων· θεοὶ, δωτῆρες ἑάων· ἴδιον γὰρ θεῖον δῶρον, τὸ ἀγαθόν· ζητῦσι δέ τινες ἀπὸ τύτων τῶν ἐπῶν, πῶς ἐνταῦθα μέν φησιν ὁ ποιητὴς ἐκ θεῶν εἶναι τὰ κακὰ τοῖς ἀνθρώποις· ἐν δὲ τῇ Α. τῆς Ὀδυσσείας, καὶ αὐτούς φησιν ἐπισπάσαι τὰ κακὰ τοὺς ἀνθρώπυς·

Ἐξ ἡμέων γάρ φασι κάκ' ἔμμεναι, οἱ δὲ καὶ αὐτοὶ
Σφῆσιν ἀταϑαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχυσι.

Ῥητέον οὖν, ὅτι ἐνταῦθα Ἀχιλλεύς ἐϛιν ὁ λέγων ὡς θεῶν εἶναι τὰ κακὰ, ἀγνοῶν τὴν ἀλήθειαν· ἐν ᾗ τῇ Ὀδυσσείᾳ Ζεὺς, ὃς σαφῶς ἐπιϛάμενος λέγει τὴν ἀλήθειαν· λύεται ἓν τὸ ζήτημα ϖροσώϖῳ.

528. ΕΑ. Ἀγαθῶν.
529. ΚΑΜ. Συμμίξας.
530. ΚΥ. Ἀντὶ τοῦ, ὁτὲ μὲν ἐν κακοῖς γίγνεται, ὁτὲ δὲ ἐν ἀγαθοῖς. ΚΥ. Ἐντυγχάνει, κυριεύει.
531. ΛΥ. Χαλεπῶν, φαύλων. ΔΩ. Ἐπονείδιϛον, κακόν.

Καί ἑ κακὴ βέβρωσις ἐπὶ χθόνα δῖαν ἐλαύνει,
Φοιτᾷ δ', ὅτε θεοῖσι τετιμένος, ὅτε βροτοῖσιν.
Ὣς μὲν καὶ Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα
Ἐκ γενετῆς· πάντας γὰρ ἐπ' ἀνθρώπους ἐκέκασο
Ὄλβῳ τε, πλούτῳ τε, ἄνασσε δὲ Μυρμιδόνεσσι,
Καί οἱ ἀθανάτῳ ἐόντι θεὰν ποίησαν ἄκοιτιν·
Ἀλλ' ἐπὶ καὶ τῷ θῆκε θεὸς κακόν, ὅστις οἱ ἔπι
Παίδων ἐν μεγάροισι γονὴ γένετο κρείοντος,
Ἀλλ' ἕνα παῖδα τέκεν πεπαρώριον· ἠδέ νυ τόνγε
Γηράσκοντα κομίζω, ἐπεὶ μάλα τηλόθι πάτρης
Ἧμαι ἐνὶ Τροίῃ, σέ τε κήδων, ἠδὲ σὰ τέκνα.
Καί σε, γέρον, τὸ πρὶν μὲν ἀκούομεν ὄλβιον εἶναι,
Ὅσσον Λέσβος ἄνω, Μάκαρος ἕδος, ἐντὸς ἐέργει,
Καὶ Φρυγίη καθύπερθε, καὶ Ἑλλήσποντος ἀπείρων·
Τῶν σε, γέρον, πλούτῳ τε καὶ υἱάσι φασὶ κεκάσθαι.
Αὐτὰρ ἐπεί τοι πῆμα τόδ' ἤγαγον οὐρανίωνες,
Αἰεί τοι περὶ ἄστυ μάχαι τ' ἀνδροκτασίαι τε·
Ἄνχεο, μηδ' ἀλίασον ὀδύρεο σὸν κατὰ θυμόν.
Οὐ γάρ τι πρήξεις ἀκαχήμενος υἷος ἕηος,
Οὐδέ μιν ἀνστήσεις, πρὶν καὶ κακὸν ἄλλο πάθῃθα.'
Τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
Μή μέ πω ἐς θρόνον ἷζε, διοτρεφές, ὄφρα κεν Ἕκτωρ

532. ΒΟΥ. Κυρίως μὲν, ὁ μέγας καὶ χαλεπὸς λιμός· νῦν δὲ, ἀντὶ τοῦ μεγάλης αὐτίας καὶ λύπης κεῖται ἡ λέξις· ἔνιοι δὲ βέβρωσιν, τὸν οἶκτον ἐξεδέξαντο.

533. ΦΟΙ. Ἐπιπορεύεται, ἐπέρχεται. ΤΕ. Τετιμημένος.

535. ΓΕ. Ἀπὸ γενεᾶς.

536. ΟΛ. Εὐδαιμονία.

539. ΓΟ. Γένησις. ΚΡΕΙ. Κρατῶν.

540. ΠΑ. Παντελῶς ἄωρον· ἀποθανούμενον, καὶ νέον κομιδῇ δύσμορον.

541. ΚΟ. Ἐπιμελείας ἀξιῶν.

542. ΚΗ. Λυπῶν.

544. ΕΔ. Ἀντὶ τοῦ, οἰκητήριον· ἔκτισε γὰρ τὴν Λέσβον Μάκαρ, ὁ Κρινάκου, καὶ ἐβασίλευσεν αὐτῆς. ΕΕΡ. Ἀποχωρίζει, διορίζει.

545. ΑΠ. Μέγας.

546. ΚΕ. Κεκοσμῆσθαι.

551. ΑΝ. Οὐδαμῶς ἀνστήσεις, τοῦτο γὰρ ἀδύνατον. ΠΡΙΝ. Πρὶν ἄλλο γένηταί σοι κακόν· οἷον, πολλὰ καὶ ἄλλα κακὰ παθοῖς.

‘ Κεῖται ἐνὶ κλισίῃσιν ἀκηδής· ἀλλὰ τάχιστα
‘ Λῦσον, ἵν' ὀφθαλμοῖσιν ἴδω· σὺ δὲ δέξαι ἄποινα 555
‘ Πολλὰ, τά τοι φέρομεν· σὺ δὲ τῶνδ', ἀπόναιο, καὶ ἔλθοις
‘ Σὴν ἐς πατρίδα γαῖαν, ἐπεί με πρῶτον ἔασας
‘ Αὐτόν τε ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο.'
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
‘ Μηκέτι νῦν μ' ἐρέθιζε, γέρον· νοέω δὲ καὶ αὐτὸς 560
‘ Ἕκτορά τοι λῦσαι· Διόθεν δέ μοι ἄγγελος ἦλθε,
‘ Μήτηρ, ἥ μ' ἔτεκεν, θυγάτηρ ἁλίοιο γέροντος.
‘ Καὶ δέ σε γιγνώσκω, Πρίαμε, φρεσὶν, ἠδέ με λήθεις,
‘ Ὅτι θεῶν τίς σ' ἦγε θοὰς ἐπὶ νῆας Ἀχαιῶν·
‘ Οὐ γάρ κεν τλαίη βροτὸς ἐλθέμεν, ἠδὲ μάλ' ἡβῶν, 565
‘ Ἐς στρατόν· ἠδὲ γὰρ ἂν φυλάκας λάθοι, ἠδέ κ' ὀχῆας
‘ Ῥεῖα μετοχλίσσειε θυράων ἡμετεράων.
‘ Τῷ νῦν μή μοι μᾶλλον ἐν ἄλγεσι θυμὸν ὀρίνῃς,
‘ Μή σε, γέρον, ἠδ' αὐτὸν ἐνὶ κλισίῃσιν ἐάσω,
‘ Καὶ ἱκέτην περ ἐόντα, Διὸς δ' ἀλίτωμαι ἐφετμάς.' 570
Ὣς ἔφατ'· ἔδδεισεν δ' ὁ γέρων, καὶ ἐπείθετο μύθῳ.
Πηλείδης δ' οἴκοιο, λέων ὡς, ἆλτο θύραζε,
Οὐκ οἶος· ἅμα τῷγε δύω θεράποντες ἕποντο,
Ἥρως Αὐτομέδων τε καὶ Ἄλκιμος, ὅς ῥα μάλιστα
Τί' Ἀχιλεὺς ἑτάρων, μετὰ Πάτροκλόν γε θανόντα. 575
Οἳ τόθ' ὑπὸ ζυγόφιν λύον ἵππους ἠμιόνους τε,
Ἐς δ' ἄγαγον κήρυκα καλήτορα τοῖο γέροντος·
Κάδδ' ἐπὶ δίφρου εἷσαν· ἐϋξέστου δ' ἀπ' ἀπήνης

556. ΑΠΟ. Ἀπολαύσειας.
557. ΕΑ. Εὔφραινας.
559. ΥΠ. Τοῦτον δὲ διωῶς ὑποβλεψάμενος, ἐπεὶ δῶρον ὑπέμνησε.
566. ΦΥ. Φύλακας· τῇ τάσει δὲ ἀναγνωστέον ὡς ἀγαθύς.
567. ΜΕ. Μετακινήσειε.
569. ΜΗ. Λείπει τὸ, ζῶντα.
572. ΘΥ. Ἕξω.
577. ΚΑ. Ἐπιθετικῶς τὸν κήρυκα, ἀπὸ τοῦ βοᾶν καὶ συγκαλεῖν τὸν ἴχλον.

Ἤρεον Ἕκτορέης κεφαλῆς ἀπερείσι' ἄποινα.
Κάδδ' ἔλιπον δύο φάρε', ἐύννητόν τε χιτῶνα, 580
Ὄφρα νέκυν πυκάσας δώῃ οἴκόνδε φέρεσθαι.
Δμωὰς δ' ἐκκαλέσας λεῦσαι κέλετ', ἀμφί τ' ἀλεῖψαι,
Νόσφιν ἀειράσας, ὡς μὴ Πρίαμος ἴδοι υἱόν·
Μὴ ὁ μὲν ἀχνυμένῃ κραδίῃ χόλον οὐκ ἐρύσαιτο,
Παῖδα ἰδὼν, Ἀχιλῆϊ δ' ὀρινθείη φίλον ἦτορ, 585
Καί ἑ κατακτείνειε, Διὸς δ' ἀλίτηται ἐφετμάς.
Τὸν δ' ἐπεὶ ἓν δμωαὶ λεῦσαν καὶ χρῖσαν ἐλαίῳ,
Ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλον, ἠδὲ χιτῶνα,
Αὐτὸς τόνγ' Ἀχιλεὺς λεχέων ἐπέθηκεν ἀείρας,
Σὺν δ' ἕταροι ἤειραν ἐϋξέσην ἐπ' ἀπήνην. 590
Ὤμωξέν τ' ἄρ' ἔπειτα, φίλον δ' ὀνόμηνεν ἑταῖρον·
« Μή μοι, Πάτροκλε, σκυδμαινέμεν, εἴ κε πύθηαι
« Εἰν Ἀϊδός περ ἐὼν, ὅτι Ἕκτορα δῖον ἔλυσα
« Πατρὶ φίλῳ· ἐπεὶ οὔ μοι ἀεικέα δῶκεν ἄποινα·
« Σοὶ δ' αὖ ἐγὼ καὶ τῶνδ' ἀποδάσσομαι, ὅσσ' ἐπέοικεν.» 595
Ἦ ῥα, καὶ ἐς κλισίην πάλιν ἤϊε δῖος Ἀχιλλεύς·
Ἕζετο δ' ἐν κλισμῷ πολυδαιδάλῳ, ἔνθεν ἀνέστη,
Τοίχῳ τῷ ἑτέρῳ, πρὸς δὲ Πρίαμον φάτο μῦθον·
« Υἱὸς μέν δή τοι λέλυται, γέρον, ὡς ἐκέλευες,
« Κεῖται δ' ἐν λεχέεσσ', ἅμα δ' ἠοῖ φαινομενῇφιν 600
« Ὄψεαι αὐτὸς ἄγων· νῦν δὲ μνησώμεθα δόρπου.
« Καὶ γάρ τ' ἠΰκομος Νιόβη ἐμνήσατο σίτου,

579. ΗΡΕ. Ἤρεον, ἐκάταζον.
580. ΕΥ. Καλὰς νενομίσθαι.
584. ΧΟ. Οὐ κατάσχῃ ἐπὶ τῇ πεσοῦσῃ τὴν ὀργήν.
592. ΣΚΥΔ. Σκύζεσθαι, ὀργίζεσθαι.
594. ΕΠΕΙ. Ἐπεὶ οὐκ αὐτοῦ μοι παρέσχε λύτρα, ἀλλὰ τοὐναντίον πολυτελῆ.
597. ΚΑΙ. Θρόνῳ.
602. ΝΙΟ. Νιόβη θυγάτηρ μὲν ἦν Ταντάλου, γυνὴ δὲ Ἀμφίονος· συνοικοῦσα δὲ αὐτῷ, παῖδας ἔσχε δυοκαίδεκα· ἓξ μὲν θηλείας, ἓξ δὲ ἄρρενας· ἐπαρθεῖσά τε τῷ πλήθει τῶν παίδων καὶ τῇ

Τῆπερ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ἄλοντο,
Ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες·
Τὰς μὲν Ἀπόλλων πέφνεν ἀπ' ἀργυρέοιο βιοῖο, 605
Χωόμενος Νιόβῃ, τὰς δ' Ἄρτεμις ἰοχέαιρα,
Οὕνεκ' ἄρα Λητοῖ ἰσάσκετο καλλιπαρήῳ·
Φῆ δοιὼ τεκέειν, ἡ δ' αὐτὴ γείνατο πολλώς·
Τὼ δ' ἄρα, καὶ δοιώ περ ἐόντ', ἀπὸ πάντας ὄλεσσαν.
Οἱ μὲν ἄρ' ἐννῆμαρ κέατ' ἐν φόνῳ, οὐδέ τις ἦεν 610
Κατθάψαι· λαοὺς δὲ λίθους ποίησε Κρονίων·
Τοὺς δ' ἄρα τῇ δεκάτῃ θάψαν θεοὶ οὐρανίωνες.
Ἡ δ' ἄρα σίτου μνήσατ', ἐπεὶ κάμε δακρυχέουσα.
Νῦν δέ που ἐν πέτρῃσιν, ἐν οὔρεσιν οἰοπόλοισιν,
Ἐν Σιπύλῳ, ὅθι φασὶ θεάων ἔμμεναι εὐνὰς 615
Νυμφάων, αἵτ' ἀμφ' Ἀχελώϊον ἐρρώσαντο,
Ἔνθα, λίθος περ ἐοῦσα, θεῶν ἐκ, κήδεα πέσσει.
Ἀλλ' ἄγε δὴ καὶ νῶϊ μεδώμεθα, διὲ γεραιὲ,
Σίτου, ἔπειτά κεν αὖτε φίλον παῖδα κλαίοιμεν,
Ἴλιον εἰσαγαγών· πολυδάκρυτος δέ τοι ἔσται.' 620
Ἦ, καὶ ἀναΐξας ὀϊν ἄργυφον ὠκὺς Ἀχιλλεὺς

καλλονῇ, ὠνείδιζε τῇ Λητοῖ ὅτι δύο μόνους ἐγέννησεν, Ἀπόλλωνα καὶ Ἄρτεμιν, καὶ ὅτι εὐτεκνοτέρα αὐτῆς ἐστιν· ἀγανακτήσαντες δὲ οἱ θεοὶ, ἔπεμψαν τοῖς παισὶν αὐτοῖς θάνατον. Καὶ Ἀπόλλων μὲν τοὺς ἄρρενας ἀναιρεῖ κυνηγετοῦντας ἐν Κιθαιρῶνι· Ἄρτεμις δὲ τὰς θηλείας ἐν οἴκου ὔσας. Θρηνοῦσαν οὖν τὴν Νιόβην ἀφάτως τὸ τοιοῦτον δυςύχημα, Ζεὺς ἐλεήσας, εἰς λίθον μετέβαλεν, ὃς καὶ μέχρι νῦν ἐν Σιπύλῳ τῆς Φρυγίας ὁρᾶται παρὰ πάντων, πηγὰς δακρύων προϊέμενος· ἡ ἱςορία παρ' Εὐφορίωνι.

607. ΙΣΑ. Ἐξισοῦτο.

611. ΑΑ. Ἀντὶ Ὃ, λιθίνους τὰς ψυχὰς, καὶ ἀσυμπαθεῖς ἐποίησε, πρὸς τὸ μὴ θάψαι.

614. ΟΓ. Ἐρήμοις.

615. ΣΙ. Ἐν ὄρει, τῆς Λυδίας, καὶ Μαγνησίας.

616. ΝΥΜ. Νῦν, θεῶν. ΑΙΓ. Αἵτινες περὶ τὸ ὕδωρ χορεύουσιν· ἤτοι ἀπὸ τοῦ Ἀχελῴου ποταμοῦ, τοῦ ἐν Αἰτωλίᾳ, ὃς ὠνόμασαι ἀπὸ τοῦ τὰ ἄχη λύειν· ἢ ὅτι Ἀχελῷος κοινῶς καλεῖται πᾶν ὕδωρ· ἢ διὰ τὸ η Ἀχελήϊον. Ἀχέλης γὰρ ποταμὸς ἀπὸ Σιπύλου ῥέει εἰς τὴν Σμυρναίων γῆν.

617. ΘΕ. Τὰς ἐκ θεῶν αὐτῇ ἐπιφερομένας συμφορὰς ἐν ἑαυτῇ ἔχει.

618. ΜΕ. Φροντίσωμεν.

621. ΑΡ. Δαμπρὸν, ἢ λευκόν.

Σφάξ· ἕταροι δ' ἔδερόν τε καὶ ἄμφεπον εὖ κατὰ κόσμον,
Μίσυλλόν τ' ἄρ' ἐπισαμένως, πεῖράν τ' ὀβελοῖσιν,
Ὤπτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα.
Αὐτομέδων δ' ἄρα σῖτον ἑλὼν ἐπένειμε τραπέζῃ 625
Καλοῖς ἐν κανέοισιν· ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύς.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Ἤτοι Δαρδανίδης Πρίαμος θαύμαζ' Ἀχιλῆα,
Ὅσσος ἔην, οἷός τε· θεοῖσι γὰρ ἄντα ἐώκει. 630
Αὐτὰρ Δαρδανίδην Πρίαμον θαύμαζεν Ἀχιλλεὺς,
Εἰσορόων ὄψιν τ' ἀγαθὴν, καὶ μῦθον ἀκούων.
Αὐτὰρ ἐπεὶ τάρπησαν ἐς ἀλλήλους ὁρόωντες,
Τὸν πρότερος προσέειπε γέρων Πρίαμος θεοειδής·
'Λέξον νῦν με τάχιστα, διοτρεφὲς, ὄφρα κεν ἤδη 635
'Ὕπνῳ ὕπο γλυκερῷ ταρπώμεθα κοιμηθέντες·
'Οὐ γάρ πω μύσαν ὄσσε ὑπὸ βλεφάροισιν ἐμοῖσιν,
'Ἐξ οὗ σῆς ὑπὸ χερσὶν ἐμὸς πάϊς ὤλεσε θυμόν·
'Ἀλλ' αἰεὶ στενάχω καὶ κήδεα μυρία πέσσω,
'Αὐλῆς ἐν χόρτοισι κυλινδόμενος κατὰ κόπρον. 640
'Νῦν δὴ καὶ σίτου πασάμην, καὶ αἴθοπα οἶνον
'Λαυκανίης καθέηκα· πάρος γε μὲν ἔτι πεπάσμην.'
Ἦ ῥ', Ἀχιλεὺς δ' ἑτάροισιν ἰδὲ δμωῇσι κέλευσε
Δέμνι' ὑπ' αἰθούσῃ θέμεναι, καὶ ῥήγεα καλὰ
Πορφύρε' ἐμβαλέειν, στορέσαι τ' ἐφύπερθε τάπητας, 645

622. ΑΜ. Περιεῖπον, περὶ αὐτὸν ἠσχολοῦντο.
625. ΕΠ. Ἐπεμέρισεν.
630. ΟΣ. Ἡλίκος.
632. ΑΓΑ. Νῦν, ἐπὶ τοῦ εἴδους.
633. ΤΑΡ. Ἐκορέσθησαν, ἐτέρφθησαν.
635. ΑΕΞ. Νῦν, κοίμισον.
640. ΑΥ. Ἐν τοῖς περιφράγμασι τῆς αὐλῆς, ὅ ἐστιν, ὑπαιθρίοις.
641. ΠΑ. Ἐγευσάμην.
642. ΛΑΥ. Λαιμῷ. ΠΕ. Οὐκ ἐγευσάμην.
644. ΔΕ. Τὰς κοίτας. ΡΗ. Τὰ βαπτὰ γρώματα.

Χλαίνας τ' ἐνθέμεναι ὄλας καθύπερθεν ἔσαθαι.
Αἱ δ' ἴσαν ἐκ μεγάροιο, δάος μετὰ χερσὶν ἔχουσαι·
Αἶψα δ' ἄρ' ἐσόρεσαν δοιὼ λέχε' ἐγκονέουσαι.
Τὸν δ' ἐπικερτομέων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
'Ἕκτος μὲν δὴ λέξο, γέρον φίλε· μήτις Ἀχαιῶν 650
'Ἐνθάδ' ἐπέλθῃσιν βουληφόρος, οἵ τέ μοι αἰεὶ
'Βουλὰς βουλεύουσι παρήμενοι, ἥ θέμις ἐστί·
'Τῶν εἴ τίς σε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν,
'Αὐτίκ' ἂν ἐξείποι Ἀγαμέμνονι ποιμένι λαῶν,
'Καί κεν ἀνάβλησις λύσιος νεκροῖο γένηται. 655
'Ἀλλ' ἄγε μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον,
'Ποσσῆμαρ μέμονας κτερεϊζέμεν Ἕκτορα δῖον,
'Ὄφρα τέως αὐτός τε μένω καὶ λαὸν ἐρύκω.'
Τὸν δ' ἠμείβετ' ἔπεια γέρων Πρίαμος θεοειδής·
'Εἰ μὲν δή μ' ἐθέλεις τελέσαι τάφον Ἕκτορι δίῳ, 660
'Ὧδέ κέ μοι ῥέζων, Ἀχιλεῦ, κεχαρισμένα θείης.
'Οἶθα γὰρ, ὡς κατὰ ἄστυ ἐέλμεθα, τηλόθι δ' ὕλη
'Ἀξέμεν ἐξ ὄρεος· μάλα δὲ Τρῶες δεδίασιν.
'Ἐννῆμαρ μέν κ' αὐτὸν ἐνὶ μεγάροις γοάοιμεν,
'Τῇ δεκάτῃ δέ κε θάπτοιμεν, δαινῦτό τε λαός· 665
'Ἐνδεκάτῃ δέ κε τύμβον ἐπ' αὐτῷ ποιήσαιμεν,
'Τῇ δὲ δυωδεκάτῃ, πολεμίζομεν, εἴπερ ἀνάγκη.'
Τὸν δ' αὖτε προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
'Ἔσται τοι καὶ ταῦτα, γέρον Πρίαμ', ὡς σὺ κελεύεις·
'Σχήσω γὰρ τόσσον πόλεμον χρόνον, ὅσσον ἄνωγας.' 670
Ὣς ἄρα φωνήσας, ἐπὶ καρπῷ χεῖρα γέροντος

648. ΕΓ. Ἐνιφγῆσαι, σπεύδεσθαι.
657. ΠΟΣ. Πόσαις ἡμέραις. ΚΤΕ. Ἐνταφιάζειν.
661. ΘΕΙ. Ποιήσεις.
665. ΔΑΙ. Τὸ παρίδειπνον λέγει.
671. ΕΠΙ. Ἐδεξιώσατο τὸν γέροντα· ἐζήτηται δὲ, πῶς Ἀχιλλεὺς χωρὶς τῶν βασιλέων ἐπαγγέλλεται τῷ Πριάμῳ ταῦτα, ἅπερ ὑπεσχνεῖτο· ῥητέον οὖν, ὅτι Ἀχιλλεὺς τὰ τῶν πολέμων ἐπιτέτραπτο

Ἕλλαβε δεξιτερὴν, μήπως δείσειε ἐνὶ θυμῷ.
Οἱ μὲν ἄρ' ἐν προδόμῳ δόμου αὐτόθι κοιμήσαντο
Κήρυξ καὶ Πρίαμος, πυκινὰ φρεσὶ μήδε' ἔχοντες·
Αὐτὰρ Ἀχιλλεὺς εὖδε μυχῷ κλισίης εὐπήκτου· 675
Τῷ δ' ἄρ Βρισηΐς παρελέξατο καλλιπάρηος.
Ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταὶ
Εὗδον παννύχιοι, μαλακῷ δεδμημένοι ὕπνῳ·
Ἀλλ' οὐχ Ἑρμείαν ἐριούνιον ὕπνος ἔμαρπτεν,
Ὁρμαίνοντ' ἀνὰ θυμὸν, ὅπως Πρίαμον βασιλῆα 680
Νηῶν ἐκπέμψειε, λαθὼν ἱερεὺς πυλωρούς.
Στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν·
Ὦ γέρον, οὔ νύ τί σοί γε μέλει κακόν· οἷον ἔθ' εὕδεις
Ἀνδράσιν ἐν δηΐοισιν, ἐπεί σ' εἴασεν Ἀχιλλεύς·
Καὶ νῦν μὲν φίλον υἱὸν ἐλύσαο, πολλὰ δ' ἔδωκας· 685
Σεῖο δέ κεν ζωοῦ καὶ τρὶς τόσα δοῖεν ἄποινα
Παῖδες τοὶ μετόπισθε λελειμμένοι, αἴ κ' Ἀγαμέμνων
Γνοίη σ' Ἀτρείδης γνώωσι δὲ πάντες Ἀχαιοί.
Ὣς ἔφατ'· ἔδδεισεν δ' ὁ γέρων, κήρυκα δ' ἀνίστη.
Τοῖσι δ' ἄρ' Ἑρμείας ζεῦξ' ἵππους ἡμιόνους τε· 690
Ῥίμφα δ' ἄρ' αὐτὸς ἔλαυνε κατὰ στρατὸν, οὐδέ τις ἔγνω.
Ἀλλ' ὅτε δὴ πόρον ἵξον ἐυῤῥεῖος ποταμοῖο
Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς,
Ἑρμείας μὲν ἔπειτ' ἀπέβη πρὸς μακρὸν Ὄλυμπον.
Ἠὼς δὲ κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν· 695
Οἱ δ' εἰς ἄστυ ἔλων οἰμωγῇ τε στοναχῇ τε
Ἵπποις, ἡμίονοι δὲ νέκυν φέρον· οὐδέ τις ἄλλος
Ἔγνω πρόσθ' ἀνδρῶν καλλιζώνων τε γυναικῶν·

πάντα, καὶ αὐτὸς εἶχε τὴν ἐξουσίαν πάντων τῶν τοῦ πολέμου ἀποχῶν τε καὶ συμβολῶν.

673. ΠΡΟ. Τῷ περὶ τοῦ θαλάμου εἴκω.

696. ΕΛ. Ἕλκουσι. ΟΙ. Ὀδυρμῷ.

Ἀλλ' ἄρα Κασσάνδρῃ, ἰκέλη χρυσῇ Ἀφροδίτῃ,
Πέργαμον εἰσαναβᾶσα, φίλον πατέρ' εἰσενόησεν 700
Ἑσταότ' ἐν δίφρῳ, κήρυκά τε ἀσυβοώτην·
Τὸν δ' ἄρ' ἐφ' ἡμιόνων ἴδε κείμενον ἐν λεχέεσσι·
Κώκυσέν τ' ἄρ' ἔπεσα, γέγωνέ τε πᾶν κατὰ ἄστυ·
"Ὄψεσθε, Τρῶες, καὶ Τρωάδες, Ἕκτορ' ἰόντες,
Εἴποτε καὶ ζώοντι μάχης ἐκ νοστήσαντι 705
Χαίρετ'· ἐπεὶ μέγα χάρμα πόλει τ' ἦν, παντί τε δήμῳ."
Ὣς ἔφατ'· οὐδέ τις αὐτόθ' ἐνὶ πτόλεϊ λίπετ' ἀνὴρ,
Οὐδὲ γυνή· πάντας γὰρ ἀάχετον ἵκετο πένθος·
Ἀγχοῦ δὲ ξύμβληντο πυλάων νεκρὸν ἄγοντα
Πρῶται τόνγ' ἄλοχός τε φίλη καὶ πότνια μήτηρ 710
Τιλλέσθην, ἐπ' ἄμαξαν εὔτροχον αἴξασαι,
Ἁπτόμεναι κεφαλῆς· κλαίων δ' ἀμφίς αθ' ὅμιλος.
Καί νύ κε δὴ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
Ἕκτορα δακρυχέοντες ὀδύροντο πρὸ πυλάων,
Εἰ μὴ ἄρ' ἐκ δίφροιο γέρων λαοῖσι μετηύδα· 715
"Εἴξατέ μοι, ἀρεῦσι διελθέμεν· αὐτὰρ ἔπεσα
"Ἄσεσθε κλαυθμοῖο, ἐπὴν ἀγάγοιμι δόμονδε."
Ὣς ἔφαθ'· οἱ δὲ διέκησαν, καὶ εἶξαν ἀπήνῃ.
Οἱ δ' ἐπεὶ εἰσάγαγον κλυτὰ δώματα, τὸν μὲν ἔπεσα
Τρητοῖς ἐν λεχέεσσι θέσαν, παρὰ δ' εἶσαν ἀοιδοὺς, 720
Θρήνων ἐξάρχους, οἵτε στονόεσσαν ἀοιδὴν
Οἱ μὲν ἄρ' ἐθρήνεον, ἐπὶ δὲ στενάχοντο γυναῖκες.
Τῇσιν δ' Ἀνδρομάχη λευκώλενος ἦρχε γόοιο,

701. ΑΣΤΥ. Ἐπιθετικῶς τὸ κήρυκα· ἀπὸ δὲ ἐν τῷ ἄστει βοᾶν.
704. ΟΥ. Θεάσεσθε.
708. ΑΑΣ. Ἀνυπομόνητον, ἀκατάσχετον.
709. ΞΥΜ. Συνέτυχον, ἀπήντησαν.
716. ΟΥ. Ἡμιόνοις.
720. ΤΡΗ. Καλῶς κατεσκευασμένοις, τετρημένοις. ΑΟΙ. Νῦν, τὰς θρηνῳδούς· ἦσαν δὲ ἤτοι Κλείτος καὶ Ἐπιμήδης.

Ἕκτορος ἀνδροφόνοιο κάρη μετὰ χερσὶν ἔχουσα·
"Ἄνερ, ἀπ' αἰῶνος νέος ὤλεο, καδδέ με χήρην 725
Λείπεις ἐν μεγάροισι· παῖς δ' ἔτι νήπιος αὔτως,
Ὃν τέκομεν σύ τ' ἐγώ τε δυσάμμοροι, οὐδέ μιν οἴω
Ἥβην ἵξεσθαι· πρὶν γὰρ πόλις ἤδε κατ' ἄκρης
Πέρσεται· ἦ γὰρ ὄλωλας ἐπίσκοπος, ὅστε μιν αὐτὴν
Ῥύσκευ, ἔχες δ' ἀλόχους κεδνὰς, καὶ νήπια τέκνα· 730
Αἳ δή τοι τάχα νηυσὶν ὀχήσονται γλαφυρῇσι,
Καὶ δὴ ἐγὼ μετὰ τῇσι· σὺ δ' αὖ, τέκος, ἢ ἐμοὶ αὐτῇ
Ἕψεαι, ἔνθα κεν ἔργα ἀεικέα ἐργάζοιο,
Ἀεθλεύων πρὸ ἄνακτος ἀμειλίχου· ἤ τις Ἀχαιῶν
Ῥίψει, χειρὸς ἑλὼν, ἀπὸ πύργου, λυγρὸν ὄλεθρον, 735
Χωόμενος· ὦ δή που ἀδελφεὸν ἔκτανεν Ἕκτωρ,
Ἢ πατέρ', ἠὲ καὶ υἱόν· ἐπεὶ μάλα πολλοὶ Ἀχαιῶν
Ἕκτορος ἐν παλάμῃσιν ὀδάξ ἕλον ἄσπετον ὕδας.
Οὐ γὰρ μείλιχος ἔσκε πατὴρ τεὸς ἐν δαὶ λυγρῇ·
Τῷ καί μιν λαοὶ μὲν ὀδύρονται κατὰ ἄστυ. 740
Ἀρητὸν δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκας,
Ἕκτορ, ἐμοὶ δὲ μάλιστα λελείψεαι ἄλγεα λυγρά.
Οὐ γάρ μοι θνήσκων λεχέων ἐκ χεῖρας ὄρεξας·
Οὐδέ τί μοι εἶπες πυκινὸν ἔπος, ὅττί κεν αἰεὶ
Μεμνήμην νύκτας τε καὶ ἤματα δακρυχέουσα.' 745
Ὣς ἔφατο κλαίουσ'· ἐπὶ δὲ στενάχοντο γυναῖκες.

725. ΑΙ. Ἀπὸ τοῦ βίου, ἀπὸ τοῦ χρόνου τῆς τῶν ἀνθρώπων ζωῆς.
728. ΗΒΗΝ. Νεότητος ἀκμήν. ΙΗ. Ἀφικέσθαι.
729. ΕΠΙΣ. Φύλαξ.
730. ΡΥΣ. Συνεῖχες, ἔσωζες, ἐρρύου. ΕΧΕΣ. Εἶχες, ἐφύλαττες. ΚΕΔ. Κηδεμονικὰς, σώφρονας.
731. ΟΧΗ. Ἐπιβήσονται.
733. ΑΕΙ. Χαλεπά.
734. ΑΕΘ. Κακοπαθῶν, πονῶν. ΠΡΟ. Ὑπὸ δεσπότου. ΑΜΕΙ. Ἀπηνῶς, χαλεπῶς.
735. ΡΙΨ. Ἐντεῦθεν κινηθέντες οἱ μετ' Ὅμηρον ποιηταὶ, μιμούμενοι κατὰ τῶν τείχους ὑπὸ τῶν Ἑλλήνων εἰσάγουσι τὸν Ἀστυάνακτα.
741. ΑΡΗ. Ἐπάρωσον, χαλεπῶς.

‘ Κεῖται ἐνὶ κλισίῃσιν ἀκηδὴς· ἀλλὰ τάχιστα
‘ Λῦσον, ἵν' ὀφθαλμοῖσιν ἴδω· σὺ δὲ δέξαι ἄποινα 555
‘ Πολλὰ, τά τοι φέρομεν· σὺ δὲ τῶνδ' ἀπόναιο, καὶ ἔλθοις
‘ Σὴν ἐς πατρίδα γαῖαν, ἐπεί με πρῶτον ἔασας
‘ Αὐτόν τε ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο.’
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
‘ Μηκέτι νῦν μ' ἐρέθιζε, γέρον· νοέω δὲ καὶ αὐτὸς 560
‘ Ἕκτορά τοι λῦσαι· Διόθεν δέ μοι ἄγγελος ἦλθε,
‘ Μήτηρ, ἥ μ' ἔτεκεν, θυγάτηρ ἁλίοιο γέροντος.
‘ Καὶ δέ σε γιγνώσκω, Πρίαμε, φρεσὶν, οὐδέ με λήθεις,
‘ Ὅτι θεῶν τίς σ' ἦγε θοὰς ἐπὶ νῆας Ἀχαιῶν·
‘ Οὐ γάρ κεν τλαίη βροτὸς ἐλθέμεν, οὐδὲ μάλ' ἡβῶν, 565
‘ Ἐς στρατόν· οὐδὲ γὰρ ἂν φυλάκους λάθοι, οὐδέ κ' ὀχῆας
‘ Ῥεῖα μετοχλίσσειε θυράων ἡμετεράων.
‘ Τῷ νῦν μή μοι μᾶλλον ἐν ἄλγεσι θυμὸν ὀρίνῃς,
‘ Μή σε, γέρον, οὐδ' αὐτὸν ἐνὶ κλισίῃσιν ἐάσω,
‘ Καὶ ἱκέτην περ ἐόντα, Διὸς δ' ἀλίτωμαι ἐφετμάς.’ 570
Ὣς ἔφατ'· ἔδδεισεν δ' ὁ γέρων, καὶ ἐπείθετο μύθῳ.
Πηλείδης δ' οἴκοιο, λέων ὡς, ἆλτο θύραζε,
Οὐκ οἶος· ἅμα τῷγε δύω θεράποντες ἕποντο,
Ἤρως Αὐτομέδων τε καὶ Ἄλκιμος, ὅς ῥα μάλιστα
Τί' Ἀχιλεὺς ἑτάρων, μετὰ Πάτροκλόν γε θανόντα. 575
Οἳ τόθ' ὑπὸ ζυγόφιν λύον ἵππους ἠμιόνους τε,
Ἐς δ' ἄγαγον κήρυκα καλήτορα τοῖο γέροντος·
Κάδδ' ἐπὶ δίφρου εἷσαν· ἐϋξέστου δ' ἀπ' ἀπήνης

556. ΑΠΟ. Ἀπολαύσειας.
557. ΕΑ. Εὔφρανας.
559. ΥΠ. Τοῦτον δὲ διινῶς ὑποβλεψάμενος, ἐπεὶ δῶρον ὑπέμνησε.
566. ΦΥ. Φύλακας· τῇ τάσει δὲ ἀναγνωστέον ὡς ἀγαθούς.
567. ΜΕ. Μετακινήσειε.
569. ΜΗ. Λείπει τὸ, ζῶντα.
572. ΘΥ. Ἕξω.
577. ΚΑ. Ἐπιθετικῶς τὸν κήρυκα, ἀπὸ τοῦ βοᾶν καὶ συγκαλεῖν τὸν ἶχλον.

Ἤρεον Ἕκτορέης κεφαλῆς ἀπερείσι' ἄποινα.
Κάδδ' ἔλιπον δύο φάρε', ἐύννητόν τε χιτῶνα, 580
Ὄφρα νέκυν πυκάσας δώῃ οἴκόνδε φέρεσθαι.
Δμωὰς δ' ἐκκαλέσας λοῦσαι κέλετ', ἀμφί τ' ἀλεῖψαι,
Νόσφιν ἀειράσας, ὡς μὴ Πρίαμος ἴδοι υἱόν·
Μὴ ὁ μὲν ἀχνυμένῃ κραδίῃ χόλον οὐκ ἐρύσαιτο,
Παῖδα ἰδὼν, Ἀχιλῆϊ δ' ὀρινθείη φίλον ἦτορ, 585
Καί ἑ κατακτείνειε, Διὸς δ' ἀλίτηται ἐφετμάς.
Τὸν δ' ἐπεὶ οὖν δμωαὶ λοῦσαν καὶ χρῖσαν ἐλαίῳ,
Ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλον, ἠδὲ χιτῶνα,
Αὐτὸς τόνγ' Ἀχιλεὺς λεχέων ἐπέθηκεν ἀείρας,
Σὺν δ' ἕταροι ἤειραν εὐξέστην ἐπ' ἀπήνην. 590
Ὤμωξέν τ' ἄρ' ἔπειτα, φίλον δ' ὀνόμηνεν ἑταῖρον·
'Μή μοι, Πάτροκλε, σκυδμαινέμεν, εἴ κε πύθηαι
'Εὖν Ἀϊδός περ ἐών, ὅτι Ἕκτορα δῖον ἔλυσα
'Πατρὶ φίλῳ· ἐπεὶ οὔ μοι ἀεικέα δῶκεν ἄποινα·
'Σοὶ δ' αὖ ἐγὼ καὶ τῶνδ' ἀποδάσσομαι, ὅσσ' ἐπέοικεν.' 595
Ἦ ῥα, καὶ ἐς κλισίην πάλιν ἤϊε δῖος Ἀχιλλεύς·
Ἕζετο δ' ἐν κλισμῷ πολυδαιδάλῳ, ἔνθεν ἀνέστη,
Τοίχῳ τῷ ἑτέρῳ, πρὸς δὲ Πρίαμον φάτο μῦθον·
'Υἱὸς μέν δή τοι λέλυται, γέρον, ὡς ἐκέλευες,
'Κεῖται δ' ἐν λεχέεσσ', ἅμα δ' ἠοῖ φαινομενῇφιν 600
'Ὄψεαι αὐτὸς ἄγων· νῦν δὲ μνησώμεθα δόρπου.
'Καὶ γάρ τ' ἠΰκομος Νιόβη ἐμνήσατο σίτου,

579. ΗΡΕ. Ἤρων, ἐδάσαζον.
580. ΕΥ. Καλῶς νενησμένον.
584. ΧΟ. Οὐ καταίσχει ἐπὶ τῇ παιδὶ τὴν ὀργήν.
592. ΣΚΥΔ. Σκύζεσθαι, ὀργίζεσθαι.
594. ΕΠΕΙ. Ἐπεὶ σὺν αὐτοῖς μοι παρέχει λύτρα, ἀλλὰ τοὐναντίον πολυτελῆ.
597. ΚΑΙ. Θρόνῳ.
602. ΝΙΟ. Νιόβη θυγάτηρ μὲν ἦν Ταντάλου, γυνὴ δὲ Ἀμφίονος· συνοικοῦσα δὲ αὐτῷ, παῖδας ἔσχε δυοκαίδεκα· ἓξ μὲν θηλείας, ἓξ δὲ ἄρρενας· ἐπαρθεῖσά τι τῷ πλήθει τῶν παίδων καὶ τῇ

Τῆπερ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ἄλοντο,
Ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες·
Τὰς μὲν Ἀπόλλων πέφνεν ἀπ' ἀργυρέοιο βιοῖο, 605
Χωόμενος Νιόβῃ, τὰς δ' Ἄρτεμις ἰοχέαιρα,
Οὕνεκ' ἄρα Λητοῖ ἰσάσκετο καλλιπαρήῳ·
Φῆ δοιὼ τεκέειν, ἡ δ' αὐτὴ γείνατο πολλώς·
Τὼ δ' ἄρα, καὶ δοιώ περ ἐόντ', ἀπὸ πάντας ἔλεσσαν.
Οἱ μὲν ἄρ' ἐννῆμαρ κέατ' ἐν φόνῳ, οὐδέ τις ἦεν 610
Κατθάψαι· λαοὺς δὲ λίθους ποίησε Κρονίων·
Τοὺς δ' ἄρα τῇ δεκάτῃ θάψαν θεοὶ οὐρανίωνες.
Ἡ δ' ἄρα σίτου μνήσατ', ἐπεὶ κάμε δακρυχέουσα.
Νῦν δέ που ἐν πέτρῃσιν, ἐν οὔρεσιν οἰοπόλοισιν,
Ἐν Σιπύλῳ, ὅθι φασὶ θεάων ἔμμεναι εὐνὰς 615
Νυμφάων, αἵτ' ἀμφ' Ἀχελώϊον ἐρρώσαντο,
Ἔνθα, λίθος περ ἐοῦσα, θεῶν ἐκ, κήδεα πέσσει.
Ἀλλ' ἄγε δὴ καὶ νῶϊ μεδώμεθα, διὲ γεραιὲ,
Σίτου, ἔπειτά κεν αὖτε φίλον παῖδα κλαίοιεν,
Ἴλιον εἰσαγαγών· πολυδάκρυτος δέ τοι ἔσται.' 620
Ἦ, καὶ ἀναΐξας ὀϊν ἄργυφον ὠκὺς Ἀχιλλεὺς

καλλονῇ, ὠνείδιζε τῇ Λητοῖ ὅτι δύο μόνους ἐγέννησεν, Ἀπόλλωνα καὶ Ἄρτεμιν, καὶ ὅτι εὐτεκνοτέρα αὐτῆς ἐστιν· ἀγανακτήσαντες δὲ οἱ θεοὶ, ἔπεμψαν τοῖς παισὶν αὐτοῖς θάνατον. Καὶ Ἀπόλλων μὲν τοὺς ἄρρενας ἀναιρεῖ κυνηγετοῦντας ἐν Κιθαιρῶνι· Ἄρτεμις δὲ τὰς θηλείας ἐπ' οἴκου ὔσας. Θρηνοῦσαν οὖν τὴν Νιόβην ἀφάτως τὸ τοιοῦτον δυσύχημα, Ζεὺς ἐλεήσας, εἰς λίθον μετέβαλεν, ὃς καὶ μέχρι νῦν ἐν Σιπύλῳ τῆς Φρυγίας ὁρᾶται παρὰ πάντων, πηγὰς δακρύων προϊέμενος· ἡ ἱστορία παρ' Εὐφορίωνι.

607. ΙΣΑ. Ἐξισοῦτο.

611. ΛΑ. Ἀντὶ Ὃ, λιθίνους τὰς ψυχὰς, καὶ ἀσυμπαθεῖς ἐποίησε, πρὸς τὸ μὴ θάψαι.

614. ΟΙ. Ἐρήμοις.

615. ΣΙ. Ἐν ὄρει τῆς Λυδίας, καὶ Μαγνησίας.

616. ΝΥΜ. Νῦν, θεῶν. ΑΙΤ. Αἵτινες περὶ τὸ ὕδωρ χορεύουσιν· ἤτοι ἀπὸ τοῦ Ἀχελῴου ποταμοῦ, τοῦ ἐν Αἰτωλίᾳ, ὃς ὠνόμασται ἀπὸ τοῦ τὰ ἄχη λύειν· ἢ ὅτι Ἀχελῷος κοινῶς καλεῖται πᾶν ὕδωρ· ἢ διὰ τὸ η Ἀχελήϊον. Ἀχέλης γὰρ ποταμὸς ἀπὸ Σιπύλου ῥέει εἰς τὴν Σμυρναίων γῆν.

617. ΘΕ. Τὰς ἐκ θεῶν αὐτῇ ἐπιφερομένας συμφορὰς ἐν ἑαυτῇ ἔχει.

618. ΜΕ. Φροντίσωμεν.

621. ΑΡ. Λαμπρὸν, ἢ λευκόν.

Σφάξ· ἕταροι δ' ἔδερόν τε καὶ ἄμφεπον εὖ κατὰ κόσμον,
Μίσυλλόν τ' ἄρ' ἐπισαμένως, πειράν τ' ὀβελοῖσιν,
Ὠπήσάν τε περιφραδέως, ἐρύσαντό τε πάντα.
Αὐτομέδων δ' ἄρα σῖτον ἑλὼν ἐπένειμε τραπέζῃ 625
Καλοῖς ἐν κανέοισιν· ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύς.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Ἤτοι Δαρδανίδης Πρίαμος θαύμαζ' Ἀχιλῆα,
Ὅσσος ἔην, οἷός τε· θεοῖσι γὰρ ἄντα ἐώκει. 630
Αὐτὰρ Δαρδανίδην Πρίαμον θαύμαζεν Ἀχιλλεὺς,
Εἰσορόων ὄψιν τ' ἀγαθὴν, καὶ μῦθον ἀκούων.
Αὐτὰρ ἐπεὶ τάρπησαν ἐς ἀλλήλους ὁρόωντες,
Τὸν πρότερος προσέειπε γέρων Πρίαμος θεοειδής·
« Λέξον νῦν με τάχιστα, διοτρεφὲς, ὄφρα κεν ἤδη 635
« Ὕπνῳ ὑπὸ γλυκερῷ ταρπώμεθα κοιμηθέντες·
« Οὐ γάρ πω μύσαν ὄσσε ὑπὸ βλεφάροισιν ἐμοῖσιν,
« Ἐξ οὗ σῆς ὑπὸ χερσὶν ἐμὸς πάϊς ὤλεσε θυμόν·
« Ἀλλ' αἰεὶ στενάχω καὶ κήδεα μυρία πέσσω,
« Αὐλῆς ἐν χόρτοισι κυλινδόμενος κατὰ κόπρον. 640
« Νῦν δὴ καὶ σίτου πασάμην, καὶ αἴθοπα οἶνον
« Λαυκανίης καθέηκα· πάρος γε μὲν ὅτι πεπάσμην.»
Ἦ ῥ', Ἀχιλεὺς δ' ἑτάροισιν ἰδὲ δμωῇσι κέλευσε
Δέμνι' ὑπ' αἰθούσῃ θέμεναι, καὶ ῥήγεα καλὰ
Πορφύρε' ἐμβαλέειν, στορέσαι τ' ἐφύπερθε τάπητας, 645

622. ΑΜ. Περιείπον, περὶ αὐτὸν ἠσχολοῦντο.
625. ΕΠ. Ἐπεμέρισεν.
630. ΟΣ. Ἡλίκος.
632. ΑΓΑ. Νῦν, ἐπὶ τοῦ εἴδους.
633. ΤΑΡ. Ἐκορέσθησαν, ἐτέρφθησαν.
635. ΔΕΞ. Νῦν, κοίμισον.
640. ΑΥ. Ἐν τοῖς περιφράγμασι τῆς αὐλῆς, ὅ ἐστιν, ὑπαιθρίοις.
641. ΠΑ. Ἐγευσάμην.
642. ΛΑΥ. Λαιμῷ. ΠΕ. Οὐκ ἐγευσάμην.
644. ΔΕ. Τὰς κοίτας. ΡΗ. Τὰ βαπτὰ στρώματα.

Χλαίνας τ' ἐνθέμεναι ἔλας καθύπερθεν ἔσαθαι.
Αἱ δ' ἴσαν ἐκ μεγάροιο, δάος μετὰ χερσὶν ἔχουσαι·
Αἶψα δ' ἄρ' ἐσόρεσαν δοιὼ λέχε' ἐγκονέουσαι.
Τὸν δ' ἐπικερτομέων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
'Ἕκτος μὲν δὴ λέξο, γέρον φίλε· μήτις Ἀχαιῶν 650
'Ἐνθάδ' ἐπέλθῃσιν βουληφόρος, οἵ τέ μοι αἰεὶ
'Βουλὰς βουλεύουσι παρήμενοι, ἧ θέμις ἐστί·
'Τῶν εἴ τίς σε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν,
'Αὐτίκ' ἂν ἐξείποι Ἀγαμέμνονι ποιμένι λαῶν,
'Καί κεν ἀνάβλησις λύσιος νεκροῖο γένηται. 655
'Ἀλλ' ἄγε μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον,
'Ποσσῆμαρ μέμονας κτερεϊζέμεν Ἕκτορα δῖον,
'Ὄφρα τέως αὐτός τε μένω καὶ λαὸν ἐρύκω.'
Τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
'Εἰ μὲν δή μ' ἐθέλεις τελέσαι τάφον Ἕκτορι δίῳ, 660
'Ὧδέ κέ μοι ῥέζων, Ἀχιλεῦ, κεχαρισμένα θείης.
'Οἶθα γὰρ, ὡς κατὰ ἄστυ ἐείλμεθα, τηλόθι δ' ὕλη
'Ἀξέμεν ἐξ ὄρεος· μάλα δὲ Τρῶες δεδίασιν.
'Ἐννῆμαρ μέν κ' αὐτὸν ἐνὶ μεγάροις γοάοιμεν,
'Τῇ δεκάτῃ δέ κε θάπτοιμεν, δαινῦτό τε λαός· 665
'Ἐνδεκάτῃ δέ κε τύμβον ἐπ' αὐτῷ ποιήσαιμεν,
'Τῇ δὲ δυωδεκάτῃ, πολεμίζομεν, εἴπερ ἀνάγκη.'
Τὸν δ' αὖτε προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
'Ἔσται τοι καὶ ταῦτα, γέρον Πρίαμ', ὡς σὺ κελεύεις·
'Σχήσω γὰρ τόσσον πόλεμον χρόνον, ὅσσον ἄνωγας.' 670
Ὣς ἄρα φωνήσας, ἐπὶ καρπῷ χεῖρα γέροντος

648. ΕΓ. Ἐνιγεῦσαι, σπεύδουσαι.
657. ΠΟΣ. Πόσαις ἡμέραις. ΚΤΕ. Ἐνταφιάζειν.
661. ΘΕΙ. Ποιήσεις.
665. ΔΑΙ. Τὸ παρίδιμπνον λέγει.
671. ΕΠΙ. Ἐδεξιώσατο τ' γέροντα· ἐζήτηται δὲ, πῶς Ἀχιλλεὺς χωρὶς τῶν βασιλέων ἐπαγγέλλε) τῷ Πριάμῳ ταῦτα, ἅπερ ὑπεχνεῖτο· ῥητέον οὖν, ὅτι Ἀχιλλεὺς τὰ τῶν πολέμων ἐκκτέτραπτο

Ἔλλαβε δεξιτερὴν, μήπως δείσειε ἐνὶ θυμῷ.
Οἱ μὲν ἄρ' ἐν προδόμῳ δόμου αὐτόθι κοιμήσαντο
Κήρυξ καὶ Πρίαμος, πυκινὰ φρεσὶ μήδε' ἔχοντες·
Αὐτὰρ Ἀχιλλεὺς εὖδε μυχῷ κλισίης εὐπήκτου· 675
Τῷ δ' ἄρ Βρισηΐς παρελέξατο καλλιπάρηος.
Ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταὶ
Εὗδον παννύχιοι, μαλακῷ δεδμημένοι ὕπνῳ·
Ἀλλ' οὐχ Ἑρμείαν ἐριούνιον ὕπνος ἔμαρπτεν,
Ὁρμαίνοντ' ἀνὰ θυμὸν, ὅπως Πρίαμον βασιλῆα 680
Νηῶν ἐκπέμψειε, λαθὼν ἱερεὺς πυλαωρούς.
Στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν·
Ὦ γέρον, οὔ νύ τί σοί γε μέλει κακόν· οἷον ἔθ' εὕδεις
Ἀνδράσιν ἐν δηΐοισιν, ἐπεί σ' εἴασεν Ἀχιλλεύς·
Καὶ νῦν μὲν φίλον υἱὸν ἐλύσαο, πολλὰ δ' ἔδωκας· 685
Σεῖο δέ κεν ζωοῦ καὶ τρὶς τόσα δοῖεν ἄποινα
Παῖδες τοὶ μετόπισθε λελειμμένοι, αἴ κ' Ἀγαμέμνων
Γνοίη σ' Ἀτρείδης γνώωσι δὲ πάντες Ἀχαιοί.
Ὣς ἔφατ'· ἔδδεισεν δ' ὁ γέρων, κήρυκα δ' ἀνίστη.
Τοῖσι δ' ἄρ' Ἑρμείας ζεῦξ' ἵππους ἡμιόνους τε· 690
Ῥίμφα δ' ἄρ' αὐτὸς ἔλαυνε κατὰ στρατὸν, οὐδέ τις ἔγνω.
Ἀλλ' ὅτε δὴ πόρον ἵξον ἐυῤῥεῖος ποταμοῖο
Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς,
Ἑρμείας μὲν ἔπειτ' ἀπέβη πρὸς μακρὸν Ὄλυμπον.
Ἠὼς δὲ κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν· 695
Οἱ δ' εἰς ἄστυ ἔλων οἰμωγῇ τε στοναχῇ τε
Ἵπποις, ἡμίονοι δὲ νέκυν φέρον· οὐδέ τις ἄλλος
Ἔγνω πρόσθ' ἀνδρῶν καλλιζώνων τε γυναικῶν·

πάντα, καὶ αὐτὸς εἶχε τὴν ἐξουσίαν πάντων τῶν τοῦ πολέμου ἀποχῶν τε καὶ συμβολῶν.

673. ΠΡΟ. Τῷ περὶ τοῦ θαλάμου εἴκω.

696. ΕΛ. Ἔλεγον. ΟΙ. Ὀδυρμῷ.

Ἀλλ' ἄρα Κασσάνδρῃ, ἰκέλη χρυσῇ Ἀφροδίτῃ,
Πέργαμον εἰσαναβᾶσα, φίλον πατέρ' εἰσενόησεν 700
Ἑσταότ' ἐν δίφρῳ, κήρυκά τε ἀσυβοώτην·
Τὸν δ' ἄρ' ἐφ' ἡμιόνων ἴδε κείμενον ἐν λεχέεσσι·
Κώκυσέν τ' ἄρ' ἔπειτα, γέγωνέ τε πᾶν κατὰ ἄστυ·
"Ὄψεσθε, Τρῶες, καὶ Τρωάδες, Ἕκτορ' ἰόντες,
"Εἴποτε καὶ ζώοντι μάχης ἐκ νοστήσαντι 705
"Χαίρετ'· ἐπεὶ μέγα χάρμα πόλει τ' ἦν, παντί τε δήμῳ."
Ὣς ἔφατ'· οὐδέ τις αὐτόθ' ἐνὶ πτόλεϊ λίπετ' ἀνὴρ,
Οὐδὲ γυνή· πάντας γὰρ ἀάχετον ἵκετο πένθος·
Ἀγχοῦ δὲ ξύμβληντο πυλάων νεκρὸν ἄγοντα
Πρῶται τόγ' ἄλοχός τε φίλη καὶ πότνια μήτηρ 710
Τιλλέσθην, ἐπ' ἄμαξαν εὔτροχον αἴξασαι,
Ἁπτόμεναι κεφαλῆς· κλαίων δ' ἀμφίς αθ' ὅμιλος.
Καί νύ κε δὴ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
Ἕκτορα δακρυχέοντες ὀδύροντο πρὸ πυλάων,
Εἰ μὴ ἄρ' ἐκ δίφροιο γέρων λαοῖσι μετηύδα· 715
"Εἴξατέ μοι, ἀρεῦσι διελθέμεν· αὐτὰρ ἔπειτα
"Ἄσεσθε κλαυθμοῖο, ἐπὴν ἀγάγοιμι δόμονδε."
Ὣς ἔφαθ'· οἱ δὲ διέκησαν, καὶ εἶξαν ἀπήνῃ.
Οἱ δ' ἐπεὶ εἰσάγαγον κλυτὰ δώματα, τὸν μὲν ἔπειτα
Τρητοῖς ἐν λεχέεσσι θέσαν, παρὰ δ' εἷσαν ἀοιδοὺς, 720
Θρήνων ἐξάρχους, οἵτε στονόεσσαν ἀοιδὴν
Οἱ μὲν ἄρ' ἐθρήνεον, ἐπὶ δὲ στενάχοντο γυναῖκες.
Τῇσιν δ' Ἀνδρομάχη λευκώλενος ἦρχε γόοιο,

701. ΑΣΤΥ. Ἐπιθελικῶς τὸ κήρυκα· ἀπὸ δ' ἐν τῷ ἄστει βοᾶν.
704. ΟΥ. Θεάσεσθε.
708. ΑΑΣ. Ἀνυπομόνητον, ἀκατάσχετον.
709. ΞΥΜ. Συνέτυχον, ἀπήντησαν.
716. ΟΥ. Ἡμιόνοις.
720. ΤΡΗ. Καλῶς κατεσκευασμένοις, τετρημένοις. ΑΟΙ. Νῦν, τὲς θρηνῳδούς· ἦσαν δὲ ἔτοι Κλεῖτος καὶ Ἐπιμήδης.

Ἕκτορος ἀνδροφόνοιο κάρη μετὰ χερσὶν ἔχουσα·
"Ἄνερ, ἀπ' αἰῶνος νέος ὤλεο, καδδέ με χήρην 725
Λείπεις ἐν μεγάροισι· παῖς δ' ἔτι νήπιος αὔτως,
Ὃν τέκομεν σύ τ' ἐγώ τε δυσάμμοροι, οὐδέ μιν οἴω
Ἥβην ἵξεσθαι· πρὶν γὰρ πόλις ἤδε κατ' ἄκρης
Πέρσεται· ἦ γὰρ ὄλωλας ἐπίσκοπος, ὅστε μιν αὐτὴν
Ῥύσκευ, ἔχες δ' ἀλόχους κεδνὰς, καὶ νήπια τέκνα· 730
Αἳ δή τοι τάχα νηυσὶν ὀχήσονται γλαφυρῇσι,
Καὶ δὴ ἐγὼ μετὰ τῇσι· σὺ δ' αὖ, τέκος, ἢ ἐμοὶ αὐτῇ
Ἕψεαι, ἔνθα κεν ἔργα ἀεικέα ἐργάζοιο,
Ἀεθλεύων πρὸ ἄνακτος ἀμειλίχου· ἤ τις Ἀχαιῶν
Ῥίψει, χειρὸς ἑλὼν, ἀπὸ πύργου, λυγρὸν ὄλεθρον, 735
Χωόμενος· ὦ δή που ἀδελφεὸν ἔκτανεν Ἕκτωρ,
Ἢ πατέρ', ἠὲ καὶ υἱόν· ἐπεὶ μάλα πολλοὶ Ἀχαιῶν
Ἕκτορος ἐν παλάμῃσιν ὀδάξ ἕλον ἄσπετον ὀδμάς.
Οὐ γὰρ μείλιχος ἔσκε πατὴρ τεὸς ἐν δαὶ λυγρῇ·
Τῷ καί μιν λαοὶ μὲν ὀδύρονται κατὰ ἄστυ. 740
Ἀρητὸν δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκας,
Ἕκτορ, ἐμοὶ δὲ μάλιστα λελείψεται ἄλγεα λυγρά.
Οὐ γάρ μοι θνήσκων λεχέων ἐκ χεῖρας ὄρεξας·
Οὐδέ τί μοι εἶπες πυκινὸν ἔπος, ὅττί κεν αἰεὶ
Μεμνήμην νύκτας τε καὶ ἤματα δακρυχέουσα.' 745
Ὣς ἔφατο κλαίουσ'· ἐπὶ δὲ στενάχοντο γυναῖκες.

725. ΑΙ. Ἀπὸ τῆ βίου, ἀπὸ τῆ χρόνου τῆς τῶν ἀνθρώπων ζωῆς.
728. ΗΒΗΝ. Νεότητος ἀκμήν. ΙΞ. Ἀφικέσθαι.
729. ΕΠΙΣ. Φύλαξ.
730. ΡΥΣ. Συνεῖχες, ἔσωζες, ἐρρύου. ΕΧΕΣ. Εἶχες, ἐφύλαττες. ΚΕΔ. Κηδεμονικὰς, σώφρονας.
731. ΟΧΗ. Ἐπιβήσονται.
733. ΑΕΙ. Χαλεπά.
734. ΑΕΘ. Κακοπαθῶν, πονῶν. ΠΡΟ. Ὑπὲρ δεσπότου. ΑΜΕΙ. Ἀπηνῶς, χαλεπῶ.
735. ΡΙΨ. Ἐντεῦθεν κινηθέντες οἱ μεθ' Ὅμηρον ποιηταὶ, μιμούμενοι κατὰ τῶ τείχους ὑπὸ τῶν Ἑλλήνων εἰσάγεσθαι τὸν Ἀστυάνακτα.
741. ΑΡΗ. Ἐπάρατον, χαλεπόν.

Τῇσιν δ' αὖθ' Ἑκάβη ἀδινῇ ἐξῆρχε γόοιο·
"Ἕκτορ, ἐμῷ θυμῷ πάντων πολὺ φίλτατε παίδων,
Ἦ μέν μοι ζωός περ ἐών, φίλος ἦθα θεοῖσιν,
Οἱ δ' ἄρα σεῦ κήδοντο καὶ ἐν θανάτοιό περ αἴσῃ· 750
Ἄλλους μὲν γὰρ παῖδας ἐμοὺς πόδας ὠκὺς Ἀχιλλεὺς
Πέρναχ', ὅντιν' ἕλεσκε, πέρην ἁλὸς ἀτρυγέτοιο,
Ἐς Σάμον, ἐς τ' Ἴμβρον, καὶ Λῆμνον ἀμιχθαλόεσσαν·
Σεῦ δ' ἐπεὶ ἐξέλετο ψυχὴν τανάηκεϊ χαλκῷ,
Πολλὰ ῥυσάζεσκεν ἑοῦ περὶ σῆμ' ἑτάροιο, 755
Πατρόκλου, τὸν ἔπεφνες· ἀνέστησεν δέ μιν ὀρθὸν ὥς.
Νῦν δέ μοι ἐρσήεις καὶ πρόσφατος ἐν μεγάροισι
Κεῖσαι, τῷ ἴκελος, ὅντ' ἀργυρότοξος Ἀπόλλων
Οἷς ἀγανοῖς βελέεσσιν ἐποιχόμενος κατέπεφνεν."
Ὣς ἔφατο κλαίουσα, γόον δ' ἀλίαστον ὄρινε. 760
Τῇσι δ' ἔπειθ' Ἑλένη τριτάτη ἐξῆρχε γόοιο·
"Ἕκτορ, ἐμῷ θυμῷ δαέρων πολὺ φίλτατε πάντων,
Ἦ μέν μοι πόσις ἐστὶν Ἀλέξανδρος θεοειδής,
Ὅς μ' ἄγαγε Τροίηνδ'· ὡς πρὶν ὤφελλον ὀλέσθαι.
Ἤδη γὰρ νῦν μοι τόδε εἰκοστὸν ἔτος ἐστίν, 765
Ἐξ οὗ κεῖθεν ἔβην, καὶ ἐμῆς ἀπεληλύθα πάτρης·
Ἀλλ' οὔπω σεῦ ἄκουσα κακὸν ἔπος, ὀρθὸν ἀσύφηλον.
Ἀλλ' εἴ τίς με καὶ ἄλλος ἐνὶ μεγάροισιν ἐνίσποι

747. ΑΔΙ. Συνεχῶς, οἰκτρῶς.
753. ΑΜΙΧ. Ἤτοι ἀπρόσμικτον, ἢ ῥᾳδίως οὐ μίγνυται· ἢ ἀπὸ τῆς θαλάσσης οὖσαν, καθ' ὃ ἁλίμενός ἐστιν· ἢ διὰ τοὺς ἐνοικοῦντας ἀγρίους καὶ θηριώδεις, καὶ ληστρικὸν βίον ἐπανηρημένους· ἔνιοι δὲ οὐχ ὕτως, ἀλλὰ τὴν ὁμιχλώδη ἀπέδωκαν.
754. ΤΑ. Μακρῷ, ἀπωξυμμένῳ.
755. ΡΥ. Εἵλκεν, ἔρυσεν.
757. ΕΡ. Ἀνθηρός. ΠΡΟ. Νεωστὶ πεφονευμένος.
758. ΟΝΤ. Ἀντὶ ὅ, ὃν συνέβη αἰφνιδίῳ καὶ ἐξεῖ θανάτῳ τελευτῆσαι.
759. ΑΓΑ. Πραίσιν· ἀνώδυνοι γάρ, οἱ ὀξεῖς θάνατοι.
765. ΕΙΚ. Δικαιτία γὰρ ἠθροίθη ὁ στρατὸς τῶν Ἑλλήνων, δικαιτία δὲ ἄλλη ἐπορθήθη ἡ Ἴλιος.
767. ΑΣΥ. Μετὰ ἀπάτης, βλασφημικόν, ὑβριστικόν.
768. ΕΝΙ. Ἐπιτελεῖται.

‘ Δαέρων, ἢ γαλόων, ἢ εἰνατέρων ἐϋπέπλων,
‘ Ἦ ἐκυρὴ, ἐκυρὸς δὲ, πατὴρ ὡς, ἤπιος αἰεὶ, 770
‘ Ἀλλὰ σὺ τόνγ᾽ ἐπέεσσι παραιφάμενος κατέρυκες,
‘ Σῇ τ᾽ ἀγαπροφροσύνῃ, ἠ σοῖς ἀγανοῖς ἐπέεσσι.
‘ Τῷ σέ θ᾽ ἅμα κλαίω καὶ ἔμ᾽ ἄμμορον, ἀχνυμένη κῆρ·
‘ Οὐ γάρ τίς μοι ἔτ᾽ ἄλλος ἐνὶ Τροίῃ εὐρείῃ
‘ Ἤπιος, ἠδὲ φίλος· πάντες δέ με πεφρίκασιν.’ 775
Ὣς ἔφατο κλαίουσ᾽· ἐπὶ δ᾽ ἔστενε δῆμος ἀπείρων.
Λαοῖσιν δ᾽ ὁ γέρων Πρίαμος μετὰ μῦθον ἔειπεν·
‘ Ἄξετε νῦν, Τρῶες, ξύλα ἄστυδε, μηδέ τι θυμῷ
‘ Δείσητ᾽ Ἀργείων πυκινὸν λόχον· ἦ γὰρ Ἀχιλλεὺς
‘ Πέμπων μ᾽ ὧδ᾽ ἐπέτελλε μελαινάων ἀπὸ νηῶν, 780
‘ Μὴ πρὶν πημανέειν, πρὶν δωδεκάτη μόλῃ ἠώς.’
Ὣς ἔφαθ᾽· οἱ δ᾽ ὑπ᾽ ἀμάξῃσιν βόας ἠμιόνους τε
Ζεύγνυσαν· αἶψα δ᾽ ἔπειτα πρὸ ἄστεος ἠγερέθοντο.
Ἐννῆμαρ μὲν τόγε ἀγίνεον ἄσπετον ὕλην·
Ἀλλ᾽ ὅτε δὴ δεκάτη ἐφάνη φαεσίμβροτος ἠὼς, 785
Καὶ τότ᾽ ἄρ᾽ ἐξέφερον θρασὺν Ἕκτορα δακρυχέοντες·
Ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν, ἐν δ᾽ ἔβαλον πῦρ.
Ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠὼς,
Τῆμος ἄρ᾽ ἀμφὶ πυρὴν κλυτὸν Ἕκτορος ἔγρετο λαός.
Αὐτὰρ ἐπεί ῥ᾽ ἤγερθεν, ὁμηγερέες τ᾽ ἐγένοντο, 790
Πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσαν αἴθοπι οἴνῳ
Πᾶσαν, ὁπόσσον ἐπέχε πυρὸς μένος· αὐτὰρ ἔπειτα

770. ΕΚΥ. Ἀνδρὸς μήτηρ, πενθερά.
771. ΠΑΡΑΙ. Παρειπὼν, παραμυθησάμενος.
772. ΑΓΑ. Πραότητι, φρενῶν προσηνεία.
773. ΑΜ. Κακόμοιρον.
775. ΠΕΦ. Νῦν, βδελύττονται, ὅ ἐστι, μισοῦσιν.
776. ΑΠΕΙ. Μέγας, πολύς.
781. ΠΗ. Βλάψειν, κακώσειν.
784. ΑΓΙ. Ἦγον.
785. ΦΑ. Ἡ φαίνουσα καὶ παρέχουσα τὸ φῶς τοῖς ἀνθρώποις.
787. ΥΠΑ. Τῇ ἀνωτάτῳ.

Ὀστέα λευκὰ λέγοντο κασίγνητοί θ', ἕταροί τε,
Μυρόμενοι, θαλερὸν δὲ κατείβετο δάκρυ παρειῶν.
Καὶ τάγε χρυσέῃν ἐς λάρνακα θῆκαν ἑλόντες, 795
Πορφυρέοις πέπλοισι καλύψαντες μαλακοῖσιν·
Αἶψα δ' ἄρ' ἐς κοίλην κάπετον θέσαν· αὐτὰρ ὕπερθε
Πυκνοῖσιν λάεσσι κατεστόρεσαν μεγάλοισι·
Ῥίμφα δὲ σῆμ' ἔχεαν, περὶ δὲ σκοποὶ εἵατο πάντη,
Μὴ πρὶν ἐφορμηθεῖεν ἐυκνήμιδες Ἀχαιοί. 800
Χεύαντες δὲ τὸ σῆμα πάλιν κίον· αὐτὰρ ἔπειτα
Εὖ συναγειράμενοι δάαντ' ἀρικυδέα δαῖτα
Δώμασιν ἐν Πριάμοιο διοτρεφέος βασιλῆος.
Ὣς οἵγ' ἀμφίεπον τάφον Ἕκτορος ἱπποδάμοιο.

793. ΑΕ. Συνίλεγον.
794. ΚΑ. Κατεφίριτο, κατέῤῥει.
795. ΑΑ. Κιβωτόν.
796. ΜΑ. Νῦν, ἀπαλοῖς.
797. ΚΑ. Τάφον, ὄρυγμα.
799. ΣΚΟ. Καλάσκοποι. ΕΙΑ. Ἐπάθηντο.
801. ΧΕΥ. Χώσαντες.
804. ΑΜ. Περιείπον, ἐχολῶντο.

ΤΕΛΟΣ ΤΗΣ ΙΛΙΑΔΟΣ.